318. *ἡμιδιπλοίδιον*] Amiculum muliebre. Idem infra *κροκωτίδιον* dicitur 331, *χιτώνιον* 374. *Διπλοῒς* seu *διπλοίδιον* tunicae muliebris pars superior, extrinsecus reduplicata (Anglice, the lappet or turn-over of the under garment) aut potius ipsa tunica fuisse videtur; *ἡμιδιπλοίδιον* autem forsan vocabatur aut quando plica exterior dimidia tunica tenus demittebatur, aut quando aut pectus aut tergum, non tamen utrumque, tegebat. Vide statuae muliebris effigiem apud Becker Char. Exc. I. p. 310. Cf. v. *διπλοΐζειν* Aesch. Ag. 835.

Schol. ἡμιδιπλοΐδιον: Τὸ γυναικεῖον ἱμάτιον, ἢ ἀναβόλαιον γυναικῶν.

319. *ὑφέλκομαι*] Idem fere quod *ὑποδοῦμαι.*

Schol. Περσικάς: Εἶδος ὑποδημάτων.

ὑφέλκομαι: Ἀντὶ τοῦ περιδεσμεύομαι, ὑποδέδεμαι.

320. *ἐν καθαρῷ*] In loco puro (sc. ab hominibus). Hom. Il. *θ'*. 491. *Τρώων αὖτ' ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ — ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος. κ'.* 199. *ψ'.* 61. *ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνας κλύζεσκον.* Soph. Oed. C. 1575. *ὃν* (Cerberum) — *κατεύχομαι ἐν καθαρῷ βῆναι ὁρμωμένῳ νερτέρας τῷ ξένῳ νεκρῶν πλάκας.* Pind. Ol. XI. 45. *ἐν καθαρῷ.* VI. 22. *καθαρὰ κέλευθος.* Plut. Sol. 22. *πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ.* Thes. 6. *οὐδὲν μέρος καθαρὸν ἀπὸ λῃστῶν.* Num. *ψόφων — καθαρὰς τὰς ὁδούς.* Idem Aemil. p. 185. *ὑπηρέται τε πολλοὶ — ἀναπεπταμένας τὰς ὁδοὺς καὶ καθαρὰς παρεῖχον* (open and clear). Phil. adv. Flacc. p. 535. *κἂν τῷ καθαρωτάτῳ στάντες ἀνεβόησαν ὁμοθυμαδόν.* Paus. IX. 22. 3. *χωρὶς δὲ τὰ ἱερὰ ὑπὲρ αὐτὰς ἐν καθαρῷ τέ ἐστι καὶ ἐκτὸς ἀνθρώπων.* Liv. 24, 14. campus purus ac patens. Hor. Epist. II. 2. 71. Purae sunt plateae, nihil ut meditantibus obstet. Plurale *ἐν καθαροῖς* est Plt. Legg. X. 910 Aa.

Schol. ἐν καθαρῷ: Οἷον ἐν ἐρημίᾳ.

321. *ἐν καλῷ*] Opportunum, commodum. Cf. Thesm. 292. *ποῦ καθίζωμ' ἐν καλῷ, τῶν ῥητόρων ἵν' ἐξακούω;* Plat. com. ap. Plut. Them. 32. *ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος.* Com. incert. ap. Dion. Chrys. Or. 64. *καὶ τοὐρανοῦ γ', ὥς φασιν, ἐστὶν ἐν καλῷ.* Soph. El. 384. *νῦν γὰρ ἐν καλῷ φρονεῖν.* Eur. Her. 971. *οὔκουν ἔτ' ἐστὶν ἐν καλῷ δοῦναι δίκην;* Thuc. V. 59. *ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι.* Lucian. Nav. 15. *οὕτως ἐπῆρέ σε καὶ οἰκία ἐν καλῷ τῆς πόλεως οἰκοδομηθεῖσα.* Theocrit.

XV. 73. *θάρσει, γύναι, ἐν καλῷ εἰμές.* 74. *κεὶς ὥρας — ἐν καλῷ εἴης.* Alciphr. III. 20. *τὸ καλὸν τοῦ θεάτρου.* Sic *ἐν εὐμαρεῖ* Eur. Hel. 1247. *ἐν εὐσεβεῖ* 1297. *ἐν ἁγνῷ* Aesch. Suppl. 221.

323 *γέρων ὤν —*] *Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή,* ut ait Euripides Thesm. 413.

325—326. "Videntur tragoediae esse versus: *ἀποπατητέον* pro *καρτερητέον* Aristophanes substituit." NAUCK. p. 658.

325. *ὑγιὲς οὐδέν*] Cf. Th. 636. *οὐδὲν ὑγιὲς γὰρ λέγει.* Pl. 355. Soph. Phil. 1006. *ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν.*

327. *γειτνιῶν*] Eadem forma est Dem. p. 1272. Lucian. de Hist. conscr. 55. Alia forma est *γειτονεῖν*, Aesch. Pers. 310. Plat. Polit. 271. Legg. VIII. 842 E. *γειτόνημα* Legg. IV. 705 A.

328. *νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος*] Sic Mysis in Terentii Andria 4, 6, 6. Quem video? estne hic Crito sobrinus Chrysidis? | Is est. Eun. 3, 4, 7. Sed quisnam a Thaïde exit? | Is est, an non est? Ipsus est. BR.

329. *τοῦτο τὸ πυρρόν*] His significatur color muliebris pallae qua indutus est Blepyrus; quam priusquam discernat ille nescio quis, Blepyrum, quem rubentem conspicit, a Cinesia cinaedo concacatum fuisse arbitratur. BR. Cf. 1061. *αὐτοῦ τι δρῶντα πυρρὸν ὄψει μ' αὐτίκα* | *ὑπὸ τοῦ δέους* (i. e. videbis me cacare). Ran. 308. 483. Eq. 900. Ach. 82.

330. *Κινησίας σου κατατετίληκεν*] Alludit ad *πυῤῥίχην Κινησίου*, de qua in Ranis v. 153., et quia idem iste *κατατετίληκε τῶν Ἑκαταίων.* Vide ad Ran. v. 366. BE.

σου κατατετίληκεν] Cf. Ran. 366. *ἢ κατατιλᾷ τῶν Ἑκαταίων κυκλίοισι χοροῖσιν ὑπᾴδων.* (Ubi schol: *Κινησίας δὲ τοῦτο πεποίηκε.*) Av. 1054. Cf. etiam schol. ad Ran. 153. App. Prov. IV. 81. *Τὰ Κινησίου δρᾷ: ἐπὶ τῶν μαλακῶν.* De Cinesia poëta v. Athen. 551 D.

Schol. *Κινησίας: οὗτος μαλακός.* R.

331 sq. Cf. Dem. p. 583. *ὥστε με — φοβηθέντα τὸν ὑμέτερον θόρυβον θοἰμάτιον προέσθαι καὶ μικροῦ γυμνὸν ἐν τῷ χιτωνίσκῳ γενέσθαι.*

332. *τὸ κροκωτίδιον*] Cf. Lys. 47. Plaut. Epid. II. 2. 47. Calthulam aut crocotulam. Virg. Aen. IX. 614. Vobis picta croco et splendenti murice vestis.

ἀμπισχόμενος] Aoristus verbi *ἀμπέχω*. Cf. Vesp. 1150. Aoristus activae vocis *ἀμπισχὼν* est Ran. 1063.

Schol. (*κροκώτιον: Ὑποκοριστικῶς. εἴρηται δ' ἐν Βατράχοις* [46] *ὅτι ἔνδυμά ἐστι Διονυσιακὸν ὁ κροκωτός. ἐνταῦθα δὲ δῆλον ὡς γυναικεῖον. ἀμπισχόμενος δὲ*) *περιβεβλημένος.*

335. *φράσαι*] Indicare, monstrare.

337. *ἐκτετρύπηκεν*] Schol: *λάθρα ἐξῆλθεν,* scilicet ut mus. Cf. Vesp. 140. 141. Infra 624. *τρύπημα* obscoeno sensu, quo fortasse nunc respicit senex. Hesychius, *Ἐκτρυπῆσαι: ἐξελθεῖν λεληθότως.* "Contrarium huic est *εἰστρυπᾶν*, quod Suidas exponit *παρεισέρχεσθαι.*"

Schol. *ἐκτετρύπηκεν: ἀντὶ τοῦ λάθρα ἐξῆλθεν.* R.

338. *ὃ καὶ δέδοικα μή —*] Cf. Eur. Ph. 263. *ὃ καὶ δέδοικα μή με δικτύων ἔσω | λαβόντες οὐκ ἐκφρῶσ' —*. 156. *ὃ καὶ δέδοικα μὴ σκοπῶσ' ὀρθῶς θεοί*. Hec. 13. *ὃ καί με γῆς | ὑπεξέπεμψεν· οὔτε γὰρ* etc. El. 274. Hom. Il. τ'. 176. *τὸ καὶ κλαίουσα τέτηκα*. Soph. Tr. 186.

μή τι δρᾷ νεώτερον] Anglice, lest she be after some mischief. Eur. Med. 37. *δέδοικα δ' αὐτὴν μή τι βουλεύῃ νέον*. Bacch. 320. *μηδὲν νέον δρᾶν*. Aliud significaret *μή τι δράσῃ*, sensu futuro. V. Elmsl. ad Med. 311. *ὀρρωδία μοι μή τι βουλεύσῃς* (*βουλεύῃς* Elmsl.) *κακόν*. Cf. Nub. 493.

Schol. νεώτερον: *Καινὸν καὶ ἄτοπον*.

339. *ταὐτὰ — ἐμοὶ πέπονθας*] Cf. Eur. Iph. T. 658. *Πυλάδη, πέπονθας ταὐτὸ* (*ταὐτὰ* Elmsl.) *πρὸς θεῶν ἐμοί*. Bacch. 189. *ταὐτά μοι πάσχεις ἄρα*. Cycl. 638. *ταὐτὸν πεπόνθατ' ἄρ' ἐμοί*. Ion. 330. *πέπονθέ τις σῇ μητρὶ ταὔτ' ἄλλη γυνή*. Epicratem Athen. 570 B. *πεπονθέναι δὲ ταὐτά μοι δοκεῖ | τοῖς αἰτοῖς*. Plat. Rep. 468 D. *πεισόμεσθα ἄρα, ἦν δ' ἐγώ, ταὐτά γε Ὁμήρῳ*. Euthyphr. 8 D.

340. *ᾗ ξύνειμ' ἐγώ*] Cf. 38. *ᾧ ξύνειμ' ἐγώ*. Soph. El. 562. *ἀνδρός, ᾧ τανῦν ξύνει*. 276. 358.

341. Cf. 527. Dem. p. 1259. *καὶ μετὰ ταῦτα ἐγὼ μὲν ἀπεκομίσθην γυμνός, οὗτοι δ' ᾤχοντο θοἰμάτιον λαβόντες μου*.

343. *οὔκουν — γ'*] Cf. 350.

344. Cf. Pl. 99. *καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων*.

345. *Λακωνικάς*] Atqui supra v. 314. dicebat *τὰς ἐμβάδας ζητῶν*. Distinguuntur autem haec duo clare in Vespis v. 1157. *ἄγε νῦν ἀποδύου τὰς καταράτους ἐμβάδας, | τασδὶ δ' ἀνύσας ὑπόδυθι τὰς Λακωνικάς*. BE.

346. *ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθείς*] Cf. ad Vesp. 1161. *ἔνθες πόδ', ὦ τᾶν*, etc. Ephipp. Athen. 509 C. *εὖ δ' ἐν πεδίλῳ πόδα τιθεὶς ὑποξύλῳ*.

ἱέμην] Proficiscebar. Cf. Eq. 625. *ἱέμην*. Vesp. 423. *ἵεσο*. Lys. 1259. Pherecrat. ap. Harpocration. p. 114, 9. *οὗτος, πόθεν ἥκεις; Β. εἰς Κολωνὸν ἱέμην*. Proverbium *ὄψ' ἦλθες, ἀλλ' εἰς τὸν Κολωνὸν ἵεσο* (ap. Polluc. VII. 133. et alios). Eur. Bacch. 628. *ἵεται — δόμων ἔσω*. Si vera hic est lectio *ἵεμαι*, conferre licebit Ran. 23. *τοῦτον δ' ὀχῶ, | ἵνα μὴ ταλαιπωροῖτο*.

Schol. (*κοθόρνω*: *Κόθορνος εἶδος ὑποδήματος, ἁρμόζον ἀμφοτέροις ποσί*).

347. *'γχέσαιμ' ἐς τὴν σισύραν*] Cf. Av. 792. *οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον*.

φανή] Schol: *λαμπρά, καθαρά*. Cf. Ach. 845. *χλαῖναν δ' ἔχων φανὴν δίει*.

Schol. (*τὴν σισύραν*: *Τὸ μαλλωτὸν στρῶμα. φανὴ δὲ λαμπρά, καθαρά*).

348. *γυνή — τῶν φίλων*] Cf. Ach. 515. *ἡμῶν γὰρ ἄνδρες*.

349. *γνώμην γ' ἐμήν*] Ut mihi quidem videtur. Cf. 153. Pac. 232. *ἐξιέναι γνώμην ἐμὴν μέλλει*. Vesp. 983. Aristid. p. 326. p. 86. Herod. IV. 59. *κατὰ γνώμην γε τὴν ἐμήν*. Plat. Soph. 225. *κατὰ γνώμην τὴν ἐμήν*.

Schol. γνώμην ἐμήν: *Οἷον κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν*.

350. *οὔκουν πονηρά γ' ἐστίν*] Saltem non mala est.

ὅ τι κἄμ' εἰδέναι] Cf. ad Thesm. 34. Plat. Theaet. 145 A. *οὐχ ὅσον γ' ἐμὲ εἰδέναι.*

Schol. *ὅσον ἐμὲ εἰδέναι.* R.

351. *ἱμονιάν τιν' ἀποπατεῖς*] Quasi funem cacas. Schol: *ὡς αὐτοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος.*

ἱμονιάν] Ran. 1297. Apollodor. Athen. 125 A. *τοῦ φρέατος εὐτρεπεῖς | τὰς ἱμονιὰς πεποίηκα.* Alex. Athen. 170 B. Lucian. VII. 10. *τοῦ ἡλίου καθάπερ ἱμονιᾷ τινι τὴν ἰκμάδα ἐκ τῆς θαλάσσης ἀνασπῶντος.*

ἀποπατεῖς] Proverbium Append. II. 66. *Ἐν Πυθίῳ κρεῖττον ἦν ἀποπατῆσαι.*

σ'] In fine versus, ut in Av. 1716. Soph. Oed. C. 17. Sic *μ'* in Ran. 298.

Schol. *ἱμονιάν*: *Ἱμονιὰ καλεῖται τὸ σχοινίον, ἐν ᾧ ἀρύονται τοῦ ὕδατος. ταῦτα δὲ λέγει ὡς αὐτοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος.*

354. *κἄγωγ'*] Sub. *βαδιοῦμαι.* Nisi reponendum *κἄμοιγ'* (*ὥρα βαδίζειν*).

355. *ἀχράς*] Quae alvum stringit. V. schol. Bekk. Anecd. p. 475, 10. *ἀχράς*: *ὁ καρπὸς τῆς ἀχέρδου.* Est autem *ἄχερδος* prunus sylvestris, Anglice sloe. Alcaeus Anth. p. 272. *καὶ πνιγόεσσαν ἄχερδον ἀποστύφουσαν ὁδιτῶν | χείλεα.* De Alexidis loco vide Meinek. Fr. Com. III. p. 398.

Schol. *ἀχράς τις*: *Στένωσιν τῇ γαστρὶ παρέχει* (*ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν Νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον δὲ, ἀλλὰ καὶ παρ' Ἀλέξιδι· καὶ ἐν Ἀγρίοις Φερεκράτει, "πρὶν ἀναχυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω." ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀχράς.*)

356. *ἣν Θρασύβουλος εἶπε*] Cf. 22. *ἕδρας, | ἃς Φυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι.*

Θρασύβουλος] De hoc sic narrat scholiasta, *οὗτος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν.* Simillima de *ἀργυράγχῃ* Demosthenis narratio est apud Gellium N. A. XI. 9. DIND.

τοῖς Λακωνικοῖς] Pro *τοῖς Λάκωσι.* Sic *Ἀττικωνικὸς*, *Ἑλληνικὸς*, etc.

Schol. *Θρασύβουλος*: *Οὗτος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίων πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν.*

357. *Schol.* *οἷον ἐπίκειται καὶ θλίβει.* R.

359. *Schol.* *ἀλλ' ὅταν φάγω*: (*Ἀγωνιῶ δὲ, ἐὰν φάγω, οὕτω τὴν γαστέρα στενούμενος,*) *εἰς ποῖον τόπον χωρήσει ἡ ἔνδον κόπρος.*

361. Cf. Fr. 259. *οὐδεὶς βεβαλάνωκε τὴν θύραν.* Av. 1159. *ἅπαντ' ἐκεῖνα κεκύλωται πύλαις | καὶ βεβαλάνωται.* Vesp. 200. Supra 316. *ὁ δ' ἤδη τὴν θύραν | ἐπεῖχε κρούων μοὺ Κόπρειος.*

Schol. (*βεβαλάνωκεν*: *Ἐκλείδωσεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. ταῦτα δ' εἴρηται καὶ ἐν ἄλλοις.*)

362. *ἄνθρωπος Ἀχραδούσιος* idem valet quod v. 317. *ὁ Κοπρεαῖος.* Finxit autem a praecedenti *ἀχρὰς* gentile nomen, quasi a pago aliquo

Attico. Saepe jocum petit e pagorum nominibus comicus. Vide ad Ran. 426. BR. Cf. Dem. p. 568. *Νικήρατος Ἀχερδούσιος*. Aeschin. I. 110. *Πάμφιλος ὁ Ἀχερδούσιος*. Incert. ap. Etym. M. p. 181, 3. *μοχθηρὸς ὢν καὶ τὴν γνώμην (τὴν φύσιν* vel *τὸν τρόπον?) Ἀχερδούσιος*. Sic *Σέβῖνος — ἀναφλύστιος* Ran. 427. *Προξενίδης ὁ Κομπασεὺς* Av. 1126. *Φιλοκράτης ὁ Στρούθιος* 1077. *Παιονίδης Κινησίας* Lys. 852.

Schol. Ἀχραδούσιος: παρὰ τὴν ἀχράδα. ἔστι δὲ δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς Ἀχερδούς. R.

364. *τῶν κατὰ πρωκτόν*] Sub. *ἰατρῶν*. Dobraeus apte confert Herodot. II. 84. *οἱ μὲν γὰρ ὀφθαλμῶν ἰητροὶ κατεστέασι — οἱ δὲ τῶν κατὰ νηδύν*. Bentleius Platonis verba, *διδάσκαλος τῶν κατὰ μουσικήν*. Adde Plut. Symp. IV. 1. 3. *οἱ περὶ ἅλα καὶ κύμινον*. Plat. Euthyd. 304. *οἳ νῦν σοφώτατοί εἰσι τῶν περὶ τοὺς τοιούτους λόγους*. Crat. 405 D. *οἱ κομψοὶ περὶ μουσικὴν καὶ ἀστρονομίαν*. Lach. 193. *τῶν ταῦτα δεινῶν*. Theag. 126. *ὅσοι τὰ πολιτικὰ δεινοὶ γεγόνασιν*. ibid. *τὰ ἱππικὰ — σοφὸς γενέσθαι*. ibid. *τοὺς δεινοὺς ὄντας ταῦτα*. Recte Brunckius: "*Οἱ κατὰ πρωκτὸν* sunt ii qui circa partem illam occupantur, qui in ea operam suam ponunt; sicque non minus quam medici innui possunt drauci [i. e. cinaedi], qua in ambiguitate consistit jocus." Sic nos dicimus eye-doctors, ear-doctors, etc.

365. *Schol. Ἀμύνων: Ῥήτωρ ἡταιρηκώς, οὐκ ἰατρός, ὁ Ἀμύνων*.

366. Cf. Th. 65. *Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ*. Xen. An. VII. 2. 8. *κελεύει πάσῃ τέχνῃ καὶ μηχανῇ πλεῦσαι*.

Ἀντισθένης Ἀντιφάτου Κυθήριος memoratur in Tit. Boeckh. T. I. n. 213. Idem, ut videtur, Xen. Mem. III. 4. Quem hic forsan tangi arbitratur Bergkius Comm. p. 86. Inepte autem medicus fuisse fingitur ab scholiasta. Imo ut mollis tangitur. Cf. 806 — 808.

Schol. Ἀντισθένην: ἰατρὸς θηλυδριώδης. καὶ οὗτος τῶν καταπρώκτων. R.

367. Cf. Eubul. com. III. 230. *ὡς χεζητιῶν | μακρὰν βαδίζων πολλὰ δ' ἐσθίων ἀνὴρ | δάκνων τὰ χείλη παγγέλοιός ἐστ' ἰδεῖν*.

ἕνεκά γε στεναγμάτων] Cf. 170. *αὐτὴ γὰρ ὑμῶν γ' ἕνεκά μοι λέξειν δοκῶ*. Dem. p. 32. *πάλαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει δίκην*. Xen. Mem. IV. 3. 3. *ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν*. Isocr. Or. XV. § 174. *ἀσφαλῶς ἂν ἔζων ἕνεκά γε τῶν συκοφαντῶν*. Antiph. V. 8. *ἕνεκά γε τοῦ πιστεύειν*.

στεναγμάτων] Quia nimirum inter cacandum difficulter egerat. BE. Allusio fortasse subest etiam ad vocem *στενοῦσθαι* vel *στένωσις* (v. schol. et confer Anglicum confined).

Schol. σφιγμάτων. R.

369. *ὦ πότνι' Εἰλείθυι'*] Haec quasi parturiens. Cf. Lys. 742. *ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου*. Terent. Andr. Juno Lucina, fer opem, obsecro. Loquitur autem more tragicorum. Prima syllaba producta in *πότνια*, ut in Lys. 742. et Philem. com. IV. 21. in parodia. "Mensura tragica. Cf. Lys. 742. Sed genus tantum loquendi tragicorum, non certum alicuius poetae versum imitatur: nam quominus sequentia *μή με*

περιΐδῃς tragoediae tribuamus obstat hiatus. Cf. Pors. ad Med. 284." (Bakh.)

μή με περιίδῃς διαῤῥαγέντα] Cf. 1054. μηδαμῶς με περιίδῃς | ἑλκόμενον ὑπὸ τῇσδ'. 1068. ὅτι μ' οὐ περιεῖδες ἐπιτριβέντ'. Pac. 10. εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν. Ach. 167. ταυτὶ περιόψεσθ', οἱ πρυτάνεις, πάσχοντά με —; 55.

Schol. Εἰλείθυια: Ἐπεὶ αἱ ὠδίνουσαι ἐπικαλοῦνται τὴν Εἰλείθυιαν. καὶ αὐτὸς οὖν στενοχωρούμενος ἐπικαλεῖται αὐτήν.

370. *Schol.* κατεχόμενον ὑπὸ τῆς κόπρου. R.

371. σκωραμίς] Formatum ut πυραμίς.

Schol. σκωραμίς: (Ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι,) σκωραμὶς (δὲ) ἐν ᾧ ἀποπατοῦσιν.

372. *Schol.* (οὗτος τί ποιεῖς: Ἀνήρ τις ἐπανιὼν ἀπὸ τῆς ἐκκλησίας Χρέμης.)

374. τὸ τῆς γυναικὸς δ'] Similis collocatio particulae γὰρ est Lys. 594. ὁ μὲν ἥκων γὰρ —.

377. νὴ Δί' ὄρθριον μὲν οὖν] Imo hercle primo diluculo. Ὄρθριον adverbiascit, ut infra 526. et fort. Av. 489. Thuc. V. 58. ὄρθιον (ὄρθριον recte plures mss.) ἑτέραν ἐπορεύοντο. Theocr. VII. 21. πᾷ δὴ σὺ μεσαμέριον πόδας ἕλκεις;

378. ἡ μίλτος] Vid. ad Acharn. 22. Herod. IV. 191. τὸ σῶμα χρίονται μίλτῳ. VII. 68. IV. 194. μιλτοῦνται πάντες οὗτοι. III. 58. νῆες μιλτηλιφέες. Hom. Il. β'. 637. νῆες μιλτοπάρῃοι.

Schol. ἡ μίλτος: Κατὰ γὰρ τὴν ἀγορὰν ἐσόβουν εἰς ἐκκλησίαν τοὺς Ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ. (μίλτος δὲ χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος [Il. B, 637] "νῆες μιλτοπάρῃοι." προσέῤῥαινον δὲ προσέβαλον. θύλακον δὲ ἀρτοθήκην σημαίνειν καὶ ἐν Πλούτῳ ζητητέον. αἰσχύνομαι, φησὶν, ἐπεὶ κενὸς ἔσται.)

379. γέλων παρέσχεν] Cf. Eq. 320.

Schol. ἔβαλλον κύκλῳ. R.

381. ὕστερος — ἦλθον] Cf. Vesp. 690. ὅστις ἂν ὑμῶν ὕστερος ἔλθῃ τοῦ σημείου 691. κἢν ὕστερος ἔλθῃ. Pac. 1009. ἥκειν ὕστερον εἰς τὴν ἀγοράν. Lys. 69. 326.

382. Cf. Av. 503. ὀβολὸν κατεβρόχθισα, κᾆτα κενὸν τὸν θύλακον οἴκαδ' ἀφεῖλκον. Vesp. 315. ἀνόνητον ἄρ', ὦ θυλάκιόν, σ' εἶχον ἄγαλμα. Versum post αἰσχύνομαι excidisse putat Elmsleius (ad Tyrwh. Conj. p. 76).

μὰ τὸν Δί' οὐδὲν ἄλλο γ' —] Subaudi ἔλαβον ex v. 380. Si quidem sanus est locus. Dindorfio probabilius videtur aliquid ante hunc versum excidisse. Qua suspicione fortasse nihil opus est; sunt enim haec verba responsio ad interrogationem Blepyri τὸ τριώβολον δῆτ' ἔλαβες; Itaque praecedentia εἰ γὰρ — αἰσχύνομαι quasi ἐν μέσῳ legenda erunt. "Faber vertit quasi esset οὐδὲν ἄλλο γ' ἤ. Alias vertendum: Nemo est coram quo magis erubescam quam coram sacco farinario. Nempe quia vacuus jam erit, postquam non accepi mercedem comitialem, unde farinam eram emturus. Ἀπὸ γὰρ τοῦδέ με τοῦ μισθαρίου — ἔχειν ἄλφιτα

δεῖ, ut ait judicum Chorus in Concionem iturus in Vespis v. 300. ad quem cum ibi puerorum grex dixisset: Quid si non exerceatur hodie judicium? Tunc ille ad saccum farinarium sermonem convertens dicit: *ἀνόνητόν ἄρα σ', ὦ θυλάκιόν, γ'* [*ἀνόνητον ἄρ', ὦ θυλάκιόν, σ'*] *εἶχον ἄγαλμα.*" (BE.)

Schol. τῶν ἀλφίτων, ἐπεὶ κενός ἐστι. R.

383. Colorem hinc duxit Dionysius Arch. Rom. VII. 17. *ὄχλος γάρ, ὅσος οὐδεπώποτ', ἐκεῖ συνῆλθεν.* MEIN.

384. Cf. Ach. 26. *ἀθρόοι καταρρέοντες*, Posidipp. com. IV. 523. *κινεῖ* (*κινεῖτ'*?) *ἀθρόος οὗτος* (*ὄχλος*).

385. *καὶ δῆτα*] Cf. Ach. 68. 142. Av. 511.

σκυτοτόμοις] Dicit hoc quia sutores albi essent, utpote qui sole non infuscantur, sed totos dies domi sedent et sub umbra opus faciunt. BE. Galen. vol. VI. p. 47. *ἐξ ἡλίου μελανότης, ἐκ μακρᾶς σκιατροφίας λευκότης.* DIND. Cf. proverbium apud schol. ad Pac. 1308. *οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος εἰ μὴ σκυτοτομεῖν.* Plaut. Aul. 1, 1, 33. tum autem interdiu | quasi claudus sutor domi sudat totos dies. 3, 5, 39. sedentarii sutores. Cf. 432. *τὸ σκυτοτομικὸν πλῆθος.*

ᾐκάζομεν] De verbo *εἰκάζειν* v. ad Vesp. 1308. 1311.

Schol. σκυτοτόμοι: Ἐπειδὴ οἱ σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται τοῦτο ἔφη.

386. *οὐ γὰρ ἀλλ'* —] Cf. ad Nub. 232.

ὑπερφυῶς ὡς λευκοπληθής] Cf. Pl. 750. *ὄχλος ὑπερφυὴς ὅσος.* Plat. Parm. 135. *θαυμαστῶς ὡς δυσανάπειστον εἶναι.* Clit. 407 E. *θαυμαστῶς ὡς ἐπαινῶ.* Phaed. 92 A. *θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ.* Pol. I. 331 A. *εὖ οὖν λέγει θαυμαστῶς ὡς σφόδρα.*

Schol. οὐ γάρ: καὶ γάρ. R.

387. *λευκοπληθής*] Anglice, filled with pale faces. Sc. ob frequentiam feminarum. Cf. 428. Th. 191. Ran. 1092. Eur. Bacch. 457. *λευκὴν δὲ χροιὰν εἰς παρασκευὴν ἔχεις, | οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς | τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.* Galen. VI. 47. *ἐξ ἡλίου μελανότης, ἐκ μακρᾶς σκιατροφίας λευκότης.* Long. I. *λευκὸς ὡς ἐξ ἄστεος γυνή.* Proverb. Append. II. 55. *Ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις.* Lucian. D. Mar. I. 2. *τὸ λευκὸν μονὸν — ἰδὲ σεαυτὴν οὐδὲν ἄλλο ἢ χρόαν λευκὴν ἀκριβῶς· οὐκ ἐπαινεῖται δὲ τοῦτο, ἢν μὴ ἐπιπρέπῃ αὐτῷ καὶ τὸ ἐρύθημα.* Id. Abd. 28. *ἐν σκιᾷ τετραφημένα καὶ λευκὰ αἵματος ἐνδείᾳ.* Nempe erat iste concio *λευκοπληθής*, quia *γυναικοπληθής*. Aesch. Pers. 125. *γυναικοπληθὴς ὅμιλος.* Suppl. 30. *ἀρσενοπληθῆ δ' | ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ.* Eur. Alc. 951. *σύλλογοι | γυναικοπληθεῖς.* Hec. 1136. *πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.* Herc. 1272. *τετρασκελῆ | κενταυροπληθῆ πόλεμον.* Suppl. 1219. *καὶ χαλκοπληθῆ Δαναϊδῶν ὁρμᾶν στρατόν.* Anaxandr. com. III. 183. *ἄνδρας μυριοπληθεῖς.*

388. *ὥστ' οὐκ ἔλαβον*] Sc. *τὸ τριώβολον.* Nempe propter ingentem multitudinem, quae aderat.

389. *πόθεν;*] Minime. Cf. 976. Vesp. 1115. Ran. 1455. Aelian. V. H. XIII. 2. *πλὴν οὐκ ἀπήντησε ταῦτα ταύτῃ· πόθεν;* Alciphr. I. 23. *πῶς γὰρ ἢ πόθεν;* Dem. p. 885, 16. *οὐκ ἔχων ἀποδοῦναι τὰ χρήματα τοῖς δανείσασι· πῶς γάρ;* p. 178, 35. Valck. ad Phoen. 1614. Suid: *πόθεν. ἀρνητικὸν, ἴσον τῷ οὐδαμῶς.*

390. *οὐδ'*] Sub. *ἂν ἔλαβες.*

ὅτε τὸ δεύτερον ἀλεκτρυὼν ἐφθέγγετ'] Cf. 31. S. Marc. Evang. XIV. 30. *πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι.* Juven. IX. 107. Quod tamen ad galli cantum facit ille secundi. Secunda proprie *ἀλεκτροφωνία* seu gallicinium est.

Schol. τὸ δεύτερον: Ὁ γὰρ ἀλεκτρυὼν τρίτον κοκκύζει.

392. Parodia verborum Aeschyli ex Myrmidonibus, *Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος | τὸν ζῶντα μᾶλλον.* Verba autem sunt Achillis Antilocho respondentis, qui primus ei Patrocli interfecti nuntium attulerat (cf. Hom. Il. *σ'*. 18), ut monuit jam Porsonus ad Med. 750. "Eandem sententiam expressit Euripides, Phoen. 1640: *ὥς σε στενάζω τῶν τεθνηκότων πλέον.*" (Bakh.)

Schol. ἀποίμωξόν με: Παρὰ τὸ ἐξ Αἰσχύλου Μυρμιδόνων "Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον."

393. *τἀμὰ γὰρ διοίχεται*] Recte Schol: *ἀντὶ τοῦ ἀπόλωλα.* Ut sit *τὰ ἐμὰ* pro *ἐγώ.* Euripides in Andromacha v. 234. *ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα.* BE. Jungenda haec esse cum praecedentibus monuit Porsonus ad Med. 750.

Schol. τἀμὰ γὰρ διοίχεται: Ἀντὶ τοῦ ἀπόλωλα.

394. Cf. Pac. 1191. *ἰοὺ ἰού· | ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους.* Theocr. XVIII. 4. *μέγα χρῆμα Λακαινᾶν.* Aelian. V. H. II. 13. *καὶ ἔτι ὄντων Διονυσίων πάμπολύ τι χρῆμα τῶν Ἑλλήνων σπουδῇ τῆς θέας ἀφίκετο.*

395. *ἐν ὥρᾳ*] Mature. Cf. Vesp. 242.

τί δ' ἄλλο γ' ἤ] Cf. ad Nub. 1495.

Schol. ἐν ὥρᾳ: Ἀντὶ τοῦ ὄρθρου.

397. *περὶ σωτηρίας γνώμας προθεῖναι τῇ πόλει*] Sententias urbis rogare de salute publica. Cf. Thuc. VI. 14. *καὶ σὺ, ὦ πρύτανι, γνώμας προτίθει αὖθις Ἀθηναίοις.*

398. *γλάμων*] Cf. Eccl. 254. Ran. 588.

παρείρπυσε] Anglice, crept forward. Pro *παρῄει* sive *παρῆλθε.* Cf. Hom. Il. *ψ'*. 225. Od. *α'*. 193. *ν'*. 220.

Schol. παρείρπυσεν: Ὡς ἐπὶ ὄφεως εἶπεν, ἐπειδὴ τυφλὸς ἦν.

399. *πόσον δοκεῖς*] Cf. ad Ach. 12.

400. *οὐ δεινὰ —;*] Ach. 770. 1079.

402. *ὃς αὐτὸς αὑτῷ —*] In hanc sententiam Aeschines contra Timarchum: *τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν, καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν, δημοσίᾳ δὲ χρηστόν. οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα*

τῶν λόγων ἐπιμεληθέντα πρότερον ἢ τοῦ βίου. BE. Cf. Eur. Her. 11. *σώζω τάδ' αὐτὸς δεόμενος σωτηρίας.*

αὐτὸς αὐτῷ] Ipse sibi. Nub. 407. Aesch. Ag. 845. *τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται.* Soph. Oed. C. 929. *σὺ δ' — αἰσχύνεις πόλιν | τὴν αὐτὸς αὑτοῦ.* Aj. 1132. *τούς γ' αὐτὸς αὑτοῦ πολεμίους.* Eur. Her. 814. *οὔτ' αὐτὸς αὑτοῦ δειλίαν (αἰδεσθείς).* Atticista anon. *Αὐτὸς αὑτὸν, ἀντὶ τοῦ ἐμαυτὸν* etc. Quae accepta refero Elmsleio ad Her. 814.

βλεφαρίδ'] Palpebrarum cilium.

Schol. οὐκ ἐσώσατο: *Ἀντὶ τοῦ οὐκ ἔσωσε.* R.

404. *σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ*] Similiter Eubulus Comicus apud Athenaeum II. p. 66. *κόκκον λαβοῦσα κνίδιον ἢ τοῦ πεπέριος, | τρίψασ' ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.* Ceterum Neoclidis oculos non mitioribus medicamentis curasse fingitur Aesculapius in Pluto 716 sq. BE. Cf. Eubul. ap. Athen. 65 C. *τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις.*

Schol. ὀπῷ: *Πάνυ γὰρ δριμύτατος ὁ ὀπός. τιθύμαλλος δὲ εἶδος βοτάνης δριμυτάτης. ἴσως δὲ αὕτη παρὰ Λάκωσιν εὑρίσκεται. εἰώθασι δὲ οἱ ἰατροὶ καὶ πατρίδας ὑπ' ἀλαζονείας τῶν βοτανῶν ὀνομάζειν, (οἷον Κυρηναϊκὸν ὀπὸν καὶ Σμυρναϊκόν. ἦν μέντοι διαβόητος καὶ ὁ Λακωνικὸς τιθύμαλλος).*

405. *τιθύμαλλον — τοῦ Λακωνικοῦ*] His, opinor, salse subindicatur vafrities ejus et perfidia. Perfidi enim et dolosi habebantur Lacones. *Τιθύμαλλος* est euphorbia, herba purgativa, cujus species septem enumerat Dioscorides IV. 165. Cf. Cratin. com. II. 215. *τιθύμαλλον καὶ σφάκον.* Quod ad constructionem, cf. 883. *μελύδριον εὕρουσαί τι τῶν Ἰωνικῶν.* Pac. 1154. *μυρρίνας — τῶν καρπίμων.* Fr. 84. *προσκεφάλαιον τῶν λινῶν.* 93. *Λαμπτρεὺς ἔγωγε τῶν κάτω.* 184. *κοπίδι τῶν μαγειρικῶν.* 284. *ἀμφορέα κενὸν λαβὼν | τῶν ἔνδοθεν.* Pherecr. II. 281. *ἰσχάδας — τῶν μελαινῶν.* ibid. *ἰσχάδας — τῶν πεφωγμένων.* II. 291. *σῦκα τῶν διφόρων.* Plat. com. Athen. 110 D. *ἄρτους — τῶν καθαρύλλων.* Antiphan. Athen. 686 B. *στεφάνους — τῶν χρηστῶν δύο.* Eubul. ap. Athen. 679 D. *στεφάνους — τῶν διεξηνθισμένων.* Id. 106 A. *καρῖδας δὲ τῶν κυφῶν.* Id. ap. Poll. VI. 67. *θύμον τε τῶν Ὑμηττίων.* Alexin Poll. X. 111. *λάρκον — τῶν ἀνθρακηρῶν.* Diphil. Athen. 67 D. *ὄξις — τῶν Κλεωναίων.* Archipp. com. II. 726. *στέφανον ἔχων τῶν ἐκκυλίστων.* Theophil. com. III. 627. *κύλικα — τῶν θηρικλείων.* Cephisodor. ap. Poll. VII. 87. *σανδάλιά τε τῶν λεπτοσχιδῶν.* Strattin com. II. 772. *ὑποδήματα — τῶν ἁπλῶν.* Philonid. ap. Poll. X. 115. *οἱ δίμυξοι τῶν λύχνων.* Hipparch. com. IV. 431. *γρῦπας — τῶν Περικῶν.* Polioch. Athen. 60 C. *λάχανα τῶν αὐτοχθόνων.* Philoxenus Athen. 685 D. *ἀμυγδαλίδες τε τῶν μαλακοφλοΐων.* Xen. An. IV. 1. 14. *γυναικὸς τῶν εὐπρεπῶν.* Symp. VII. 2. *τροχὸς τῶν κεραμεικῶν.* Theophr. Char. 5. *βακτηρίας τῶν σκολιῶν.* 21. *Θυριακὰς τῶν στρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος.* H. Pl. I. 14. *μηλέαι τῶν διφόρων.* Athen. 255 E. *ψιλοτάπιδι τῶν πάνυ πολυτελῶν.* Alciphr. III. 51. *ὀλύνθους — τῶν Ἀττικῶν.* Plut. Lys. 2. *πολυτελῆ χιτώνια τῶν Σικελικῶν.*

Pomp. 36. ἱμάτια τῶν πολυτελῶν. Anton. 4. σάγος περιέκειτο τῶν στερεῶν. 79. παρεζωσμένη — τῶν ληστρικῶν ξιφίδιον. Lucian. V. A. 19. παλάθας τῶν Καρικῶν. Pisc. 45. ἄρτους τῶν αὐτοπυριτῶν. Iup. Trag. 16. νεφέλην τῶν παχειῶν. D. D. M. VI. 2. δελφῖνα — τῶν ὠκέων. Icar. 3. γῦπα τῶν καρτερῶν. D. Mort. X. 9. λαβὼν πέλεκυν τῶν ναυπηγικῶν. Dial. mer. V. 4. ὅρμον — τῶν πολυτελῶν, καὶ ὀθόνας τῶν λεπτῶν. Fug. 20. ἐσθῆτας τῶν μαλακῶν. Aelian. V. H. XIV. 30. ὄρνιθας — τῶν ᾠδικῶν.

406. παραλείφειν] Cf. Aristot. Rhet. III. 2. ταῖς τίτθαις, αἳ — τῷ σιάλῳ τὰ παιδία παραλείφουσι.

407. Cf. Demosth. Epist. III. ταῦτα δ', εἰ μὲν παρῆν, λέγων ἂν ὑμᾶς ἐδίδασκον.

408. Εὐαίων] Hoc nomen legitur apud Demosthenem. Epithetum εὐαίων apud Sophoclem et Euripidem.

Schol. πένης οὗτος. R.

409. 410. Cf. Hippolochum Athen. p. 129 A. ἐπεισβάλλουσιν αὐλητρίδες — ἐμοὶ μὲν γυμναὶ δοκῶ (δοκοῦσαι?), πλὴν ἔλεγόν τινες αὐτὰς ἔχειν χιτῶνας. DOBR.

409. γυμνός] Ita dicitur qui tunicam tantum indutus est, nec pallium gerit. Cf. Lys. 151. Isocr. 615, 12. Plut. Ages. 34. Phoc. 4.

411. Cf. 631. δημοτικὴ — γνώμη. Nub. 205. τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον. Isocr. p. 143. Σόλων μὲν ὁ δημοτικώτατος γενόμενος.

412. Similiter Euripides Heracl. 10. τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς | σώζω τάδ', αὐτὸς δεόμενος σωτηρίας. Ubi nostrum locum apposuit Elmsleius.

412. σωτηρίας τετραστατήρου] Intelligit haud dubie pallium quod tanta pecunia, i. e. 16 drachmis constet. In Pluto v. 982 vetula adolescenti pro pallio fortasse pretiosiori viginti drachmas numerat.

416. ἥλιος τραπῇ] Solstitio hiberno. KUST. Xen. Mem. IV. 3. 8. τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται —. Plut. Caes. 37. χειμῶνος ἐν τροπαῖς ὄντος. 52. περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν.

Schol. ἥλιος τραπῇ: Εἰς χειμερινὴν δηλονότι τροπήν.

417. πλευρῖτις] Celsus de Med. I. 3. Per autumnum vero propter coeli varietatem periculum maximum est. Itaque neque sine veste neque sine calceamentis prodire oportet, praecipueque diebus frigidioribus, neque sub dio noctu dormire, aut certe bene operiri. IV. 6. Alciphr. III. 42. λάβρως ἐπαιγίζων ὁ βορρᾶς δίεισί μοι τῶν πλευρῶν ὥσπερ βέλος.

λάβοι] Anglice, take, seize. Etiam νόσον λαβεῖν dicebant. Cf. ad Vesp. 1167.

Schol. πλευρῖτις: Εἶδος νοσήματος. R.

418. κλίνη — στρώματα] Cf. Ach. 1090. Antiph. com. III. 124. στρώματα, κλίνας. Diodor. com. III. 544. ἐστρωμένην κλίνην. ibid. κλίνας — ἐστρωμένας.

420. ἰέναι — ἐς τῶν σκυλοδεψῶν] Cf. Lys. 1065. ἥκετ' οὖν εἰς ἐμοῦ. 1070. χωρεῖτ' — εἰς ἑαυτῶν. 1210. ἴτω εἰς ἐμοῦ.

ἐς τῶν σκυλοδεψῶν] Cf. Lys. 407. *ἐν τῶν δημιουργῶν*. Nub. 964. *ἐς κιθαριστοῦ*. 973. *ἐν παιδοτρίβου*. 996. *εἰς ὀρχηστρίδος*. Th. 795. *ἐν ἀλλοτρίων*. Plat. com. Athen. 441 E. *ἐν τῷ καπήλῳ* (imo *ἐν τοῦ καπήλου*).

ἀποκλήῃ τῇ θύρᾳ] Cf. Vesp. 775. *οὐδείς σ' ἀποκλήσει θεσμοθέτης τῇ κιγκλίδι*. 334. Timocl. com. III. 607. *τῆς θύρας* (*ταῖς θύραις*?) *ἀπεκλειόμην*. Dem. p. 778. *κεκλειμένης σοι τῆς παρρησίας οὐ κιγκλίσιν οὐδὲ θύραις*. Eur. Hel. 977. *ὅρκοις κεκλῄμεθα*. et ad Ach. 127. Lys. 423. Horat. exclusus fore. Mus. Phil. Vol. I. p. 406. Subaudiendum vero *τις*. Nisi legendum *τις θύρᾳ* pro *τῇ θύρᾳ*.

421. Confer versum apud schol. Ran. 1488. *χειμῶνος ὄντος τρεῖς σισύρας ὑφείλετο*. Qui ex hoc versu corruptus videtur.

σισύρας] Cf. ad 347.

423. *Schol. ἀντέλεγεν*. R.

424. *τρεῖς χοίνικας*] Cf. Pac. 1144. *φασήλων — τρεῖς χοίνικας* 1217. *ἰσχάδων τρεῖς χοίνικας*. Fr. 79. *ἀλφίτων — τρεῖς χοίνικας*.

Schol. τοῖς πένησι. R.

425. *κλάειν μακρά*] Cf. ad Pl. 612.

Schol. κλάειν μακρά: Τοῦτο λέγει γέλωτος χάριν.

426. *ἵνα τοῦτ' ἀπέλαυσαν*] Cf. ad Vesp. 961.

Ναυσικύδους] Scholiastes ait hunc fuisse *ἀλφιταμοιβὸν* ex quorundam sententia; quod verum puto. Nam idem patet ex Xenophonte Apomn. II. 7. 6. ubi eum ex *ἀλφιτοποιΐας* divitem esse factum scribit: *εἶτ' οὐκ οἶσθ' ὅτι ἀφ' ἑνὸς μὲν τούτων ἀλφιτοποιΐας Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ καὶ πρὸς τούτοις καὶ ὗς πολλὰς καὶ βοῦς, καὶ περιποιεῖται τοσαῦτα ὡς* [*ὥστε*?] *καὶ τῇ πόλει πολλάκις λειτουργεῖν*. BE. De forma genitivi v. ad Vesp. 74. DIND. Nomen *Ναυσικύδης* (*ὁ Χολαργεύς*) legitur Plat. Gorg. 487.

τἀγαθόν] Ironice. Cf. Soph. Ant. 275. *τοῦτο τἀγαθὸν λαβεῖν*. 31. *τὸν ἀγαθὸν Κρέοντα*.

Schol. Ναυσικύδους: Οἱ μὲν ὅτι ἀλφιταμοιβός, οἱ δὲ ὅτι πένης, οἱ δὲ ὅτι οἱ ἀλφιταμοιβοὶ τοῦ Ναυσικύδους τοῦτο ἀπέλαυσαν.

427. *εὐπρεπής*] Cf. Th. 191. *σὺ δ' εὐπρόσωπος, λευκός, ἐξυρημένος,* | *γυναικόφωνος, ἁπαλός, εὐπρεπὴς ἰδεῖν*. Erat autem Praxagora uxor istius Blepyri. BE.

428. *Νικίᾳ*] Nicias, cujus hic mentio, diversus est a nobili expeditionis Siculae duce, hujus forte nepos, ut censet Palmerius. BR. Niciam eundem hic respici putat Bergk. (Comm. p. 86.) cujus mentio fit in Tit. ap. Boeckh. T. I. n. 213. *Νικίας Ἐπιγένους Κυδαθηναιεύς*. De Nicia enim Nicerati filio non agi posse, qui quo tempore docta sit haec fabula admodum fuisse puerum, id quod constare e Lysia in Polioch. p. 305. ed. Bekk.

ἀνεπήδησ'] Cf. Aesch. c. Ctes. 149. *ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ*. Andoc. I. 115. *ἐντεῦθεν* (*ἐνταῦθ'* requirit Bekk. absque causa) *ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει* etc. Phryn. Praep. Soph. p. 7, 10. *ἀναπηδᾶν ἐν δήμῳ. Κρατῖνος ἐπί τινος ἀκόσμως ἐν ταῖς ἐκκλησίαις ἀναπηδῶντος*.

Schol. γυναικώδης οὗτος. R.

431. εἶτ' ἐθορύβησαν, — ὡς εὖ λέγοι] Cf. Xen. An. ταῦτ' ἀκούσαντες οἱ στρατιῶται ἀνεθορύβησαν ὡς εὖ λέγοι. An. VI. 1. 30. ἐνταῦθα δὴ ὡς εὖ εἰπόντος τοῦ Ἀγάθωνος ἀνεθορύβησαν. Dem. p. 72. ταῦτ' ἀκούσαντες — καὶ θορυβοῦντες ὡς ὀρθῶς λέγεται etc. p. 97. εὐθὺς — θορυβεῖτε ὡς ὀρθῶς λέγει. Isocr. p. 288. ἐθορύβησαν, ὃ ποιεῖν εἰώθασιν ἐπὶ τοῖς χαριέντως διειλεγμένοις. Plut. Nic. 28. εἰπὼν ὅτι τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ οὐ μετρίως ἐθορυβήθη. Isocr. p. 281. ἐπῃνημένος δ' ἦν καὶ τεθορυβημένος (ὁ λόγος). Plat. Prot. 339. εἰπὼν οὖν ταῦτα πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων. Cf. ad Eq. 1380. καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.

432. τὸ σκυτοτομικὸν πλῆθος] Scilicet mulieres. Cf. 385. Quibus opponuntur οἱ ἐκ τῶν ἀγρῶν, i. e. viri. Cf. 279. 281.

433. νοῦν γὰρ εἶχον] Cf. Ran. 917. ἐγὼ δ' ἔχαιρον —. ΕΥ. ἠλίθιος γὰρ ἦσθα. Av. 1371. νοῦν ἄρ' ἕξεις νὴ Δία.

ἀνεβορβόρυξαν] Vox comica licentia ficta pro ἀνεβρύαξαν (Eq. 306), ut de turba rustica. Cf. Eq. 306. ὦ βορβοροτάραξι. De voce ἀναβορβορύζειν v. Hippocr. p. 1121. ed. Foës. Cf. v. ἀναθορυβεῖν, ἀναβοᾶν, etc.

Schol. ἀνεβορβόρυξαν: Ἀνετάραττον.

νοῦν γὰρ εἶχον νὴ Δία: Αἱ γυναῖκες εἰς ἄνδρας σκευασθεῖσαι.

434. κατεῖχε τῇ βοῇ] Vociferatione implebat, scilicet αὐτοὺς sive τὴν ἐκκλησίαν. Nub. 572. ὃς ὑπερλάμπροις ἀκτῖσιν κατέχει γῆς πέδον. Soph. Phil. 10. κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις.

435. τὰς μὲν γυναῖκας πόλλ' ἀγαθὰ λέγων] Cf. Nub. 910. ῥόδα μ' εἴρηκας. Eq. 810.

438. καὶ νὴ Δία καὶ συκοφάντην] Sic Nub. 663. τήν τε θήλειαν καλεῖς | ἀλεκτρυόνα καὶ ταὐτὸ καὶ τὸν ἄρρενα.

439. καὶ συκοφάντην] Etiam sycophantem.

440. τωνδί] Spectatorum, ut alibi non raro jocatur comicus.

Schol. ἄλλως ἀντὶ τοῦ ματαίως. τοῦτο δὲ ὡς ἐν ἐρωτήσει. R.

441. πρᾶγμ' — νουβυστικόν] Cf. Lys. 677. ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή. Pac. 38. μιαρὸν τὸ χρῆμα —. Vesp. 933. κλέπτον τὸ χρῆμα τἀνδρός. Av. 826. λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. Eupol. Athen. p. 623 E. καὶ μουσικὴ πρᾶγμ' ἐστὶ βαθὺ καὶ καμπύλον. Monost. 734. ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή. Eur. Orest. 70. ἄπορον χρῆμα δυστυχῶν δόμος. Herod. III. 53. τυραννὶς χρῆμα σφαλερόν. Plat. Ion. p. 534 B. κοῦφον χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερόν. Theocr. XV. 83. σοφόν τι χρῆμ' ὤνθρωπος. Lucian. Asin. ξένος πρᾶγμα εὐκαταφρόνητον. Heliod. Aethiop. VI. 9. ἄνθρωπος οὖσα πρᾶγμα ἀστάθμητον. Arrian. Cyneg. 34. ὅτι ἐπίβουλόν τι χρῆμα (ἡ ἀλώπηξ). Schol. ad Il. 22, 88. φίλοικτον χρῆμα ἡ γυνή.

νουβυστικόν] I. e. νοῦ βεβυσμένον. Hom. Od. δ'. 134. νήματος ἀσκητοῖο βεβυσμένον. Cf. Vesp. 1294. νουβυστικῶς.

Schol. νουβυστικόν: Νοῦ πεπληρωμένον.

10*

442. *τἀπόρρητ'* — *ἐκφέρειν*] Cf. Eq. 282. *νὴ Δί' ἐξάγων γε τἀπόρρηθ'* etc. Th. 363. *τἀπόρρητά τε τοῖσιν ἐχθροῖς* — *λέγουσ'*. Herod. V. 79. *ἐξέφερον τὸ χρηστήριον*. IX. 5. *τὸν λόγον* — *ἐξενεῖκαι ἐς τὸν δῆμον*. Eur. Hipp. 293. *κεἰ μὲν νοσεῖς τι τῶν ἀπορρήτων κακῶν,* — *εἰ δ' ἔκφορός σοι συμφορὰ* etc.

443. *ἐν Θεσμοφόροιν*] Cf. Th. 83. *κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον | ἐκκλησιάζειν*. 89. *ἐς Θεσμοφόροιν*. Similiter Lys. 2. *ἐς Πανός*. Pl. 411. *εἰς Ἀσκληπιοῦ*. Eq. 1312. *ἐπὶ τῶν σεμνῶν θεῶν*. Supra 420. *ἐς τῶν σκυλοδεψῶν*. Pl. 84. *ἐκ Πατροκλέους*. Plerumque additur articulus, ut in Th. 297.

ἐκφέρειν] Efferre, vulgare. Isocr. 161 D. *τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα*. Thesm. 472. *αὐταὶ γάρ ἐσμεν, κοὐδεμί' ἐκφορὰ λόγου*.

Schol. *ἀντὶ τοῦ τοὺς Ἀθηναίους*. R.

444. *βουλεύοντε*] Munere senatorio fungentes. Dem. p. 605. *οὗτος ἐβούλευε πέρυσιν*. p. 1152. *ὅσοι ἐβούλευον ἐπ' Ἀγαθοκλέους ἄρχοντος*. ibid. *τῶν τότε βουλευόντων*. Antiph. VI. 45. *ὁρῶντες δ' ἐμὲ βουλεύοντα καὶ εἰσιόντ' ἐς τὸ βουλευτήριον*. Isocr. p. 513. *βεβουλευκὼς ἐπὶ τῶν τριάκοντα*. Plut. Pomp. 14. *πρὸ ἡλικίας ἐβούλευε Πομπήϊος*. "Sane mireris miseros senes, qui modo tribus obolis, concionali mercede, sese caruisse dolebant, subito senatores factos." (Lenting.)

446. *συμβάλλειν*] Mutua dare. Cf. Dem. p. 901. *ὅπως μὴ ἀπολεῖ ἃ δι' ἐμοῦ τούτῳ συνέβαλεν*. p. 907. *συμβόλαια πολλοῖς συμβάλλοντες οὐδεμίαν πώποτε δίκην πρὸς ὑμᾶς εἰσήλθομεν*. Isae. X. 14. *ὁ γὰρ νόμος διαρρήδην κωλύει παιδὶ μὴ ἐξεῖναι συμβάλλειν μηδὲ γυναικὶ πέρα μεδίμνου κριθῶν*. Plat. Alc. I. 125. *τῶν καὶ συμβαλλόντων ἑαυτοῖς καὶ χρωμένων ἀλλήλοις*. ibid. *συμβαλλόντων πρὸς ἀλλήλους*.

Schol. *συμβάλλειν*: *Μεταδιδόναι, κιχρᾶν*.

447. *χρυσί'*] Ornamenta aurea muliebria. Cf. Lys. 1190. *χλανιδίων καὶ ξυστίδων καὶ χρυσίων*. Ach. 258.

448. *μόνας μόναις*] Quasi praecessisset, non *πρὸς ἀλλήλας*, sed *ἀλλήλαις*. Cf. Vesp. 1272. *μόνος μόνοις τοῖς Πενέσταισι ξυνῆν*. Soph. Aj. 467. *ξυμπεσὼν μόνος μόνοις*. 1283. *Ἕκτορος μόνος μόνου* — *ἦλθ' ἐναντίος*. Dem. p. 916. *σὺ δὲ μόνος μόνῳ φῂς δοῦναι τῷ ναυκλήρῳ τὸ χρυσίον*.

μαρτύρων ἐναντίον] Isae. Fr. VI. 1. *ὧν* (*μαρτύρων*) *ἐναντίον ἡμῖν ἀποδοῦναί φησιν*. Dem. 915. *ἴστε γὰρ δήπου πάντες ὅτι δανείζονται μὲν μετ' ὀλίγων μαρτύρων· ὅταν δ' ἀποδιδῶσι, πολλοὺς παρίστανται μάρτυρας, ἵνα ἐπιεικεῖς δοκῶσιν εἶναι περὶ τὰ συμβόλαια*. Id. in Mid. p. 538. *ἐγὼ δ' ὑπ' ἐχθροῦ* — *ἐναντίον πολλῶν καὶ ξένων καὶ πολιτῶν ὑβριζόμην*. Eq. 298. Theophr. Char. 14. *δεινὸς δὲ* (*ὁ ἀναίσθητος*) *καὶ ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον μάρτυρας παραλαβεῖν*.

449. *ἀποφέρειν*] I. q. *ἀποδιδόναι*, reddere.

ἀποστερεῖν] Anglice, keep back. Cf. ad Nub. 1464.

Schol. *ἀποδιδόναι*. R.

450. *Schol.* *τὸ ἀποστερεῖν*. R.

451. *μαρτύρων γ' ἐναντίον*] Et quidem coram testibus. Eadem vis particulae infra 1029.

452. *δικάζειν*] Lites intendere. Notandus articulus in fine versus. Cf. Aesch. Ag. 7. Sept. 366. Eum. 140. Soph. Ant. 409. Phil. 263. Oed. C. 351.

Schol. *εἰς ἀγορὰν φέρειν.* R.

453. *ἀλλὰ πολλὰ κἀγαθά*] Sc. *δρᾶν.* Nisi corrigendum *δρᾶν δὲ πολλὰ κἀγαθά*, aut excidit aliquid.

πολλὰ — κἀγαθά] Cf. Th. 351. *πολλὰ δοῦναι κἀγαθά.* Eq. 1276. *ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακά.* 735. Nub. 1374. *πολλοῖς κακοῖς καἰσχροῖσι.* Eur. Andr. 953. *ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι | δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.* Herod. VIII. 61. *τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε.* VIII. 89. *ἄλλοι πολλοί τε καὶ ὀνομαστοί.* IX. 107. *Ἀρταΰντην ἔλεγε πολλά τε καὶ κακὰ ἄλλα τε καὶ — ἄξιον εἶναι παντὸς κακοῦ.* Isac. VI. 26. *πολλῶν καὶ κακῶν ἦρξεν.* Andoc. de Myst. p. 13, 22. *καὶ ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά.* Dem. p. 569. *πολλὰ κἀγαθὰ ὑμᾶς εἰργασμένοι.* Isocr. p. 199. *πολλοὶ καὶ καλοὶ κἀγαθοί.* Horat. Serm. II. 3. 9. multa et praeclara minantis. Cf. ad Pac. 1008.

Schol. *βλάπτειν.* R.

454. *ἕτερά τε πλεῖστα*] Cf. Aesch. c. Ctes. 122. *τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος* etc.

457. *Schol.* *φήμ' ἐγώ: Ὡς φιλούντων αὐτῶν τὰ μὴ γενόμενα καινοποιεῖν.*

460 sq. Cf. Vesp. 300 sq.

462. *οὐδὲ — ἀρά μοι;*] Supplendum *ἔσται.* Cf. 672. *οὐδὲ κυβεύσουσ' ἄρ' ἄνθρωποι;* Thesm. 8. *οὐδ' ἄρ' ὁρᾶν δεῖ μ';* Nub. 1252. et ad Av. 91.

στένειν] Sc. quod mane expergiscendum est. Cf. Vesp. 774. *κἂν ἔγρῃ μεσημβρινός, | οὐδείς σ' ἀποκλῄσει θεσμοθέτης τῇ κιγκλίδι.*

πρᾶγμ' — μοι] Mihi opus erit. Cf. 670. *τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι;* Th. 244. *ἀλλ' οὐκέτ' οὐδὲν πρᾶγμά σοι (θαρρεῖν).* Eur. Med. 439. *κἀμοὶ μὲν οὐδὲν πρᾶγμα.* Av. 1308. *οὐ τἄρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι.*

464. *Ἀστεναχτὶ* legitur etiam Aesch. Fr. 297.

465. *τοῖσιν ἥλικοισι νῷν*] I. e. *τοῖς τηλικούτοις ἥλικοι* (vel *ἥλικω*) *νὼ ἐσμέν.* Anglice, to those of our age. Cf. Ach. 703. *ἄνδρα κυφὸν ἥλικον Θουκυδίδην.* Nub. 349. *ἢν μὲν ἴδωσι κομήτην, | ἄγριόν τινα τῶν λασίων τούτων, οἷόνπερ τὸν Ξενοφάντου.* Hermipp. II. 415. *τὴν κεφαλὴν ἔχει | ὅσην κολοκύντην.* Plat. Lach. 180. *οἱ ἥλικοι ἐγὼ ἔτι γιγνώσκομεν τοὺς νεωτέρους.* Soph. p. 241. *οἵῳ γε ἐμοὶ παντάπασι ἄπορον.* Plat. Parm. 161 B. *περὶ τοῦ τοιούτου ὁ λόγος — οἵου τοῦ ἑνός.* Xen. Hell. II. 3. 25. *γνόντες μὲν τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν.* Cyr. VI. 2. 2. *οἱ δὲ οἷοίπερ ὑμεῖς ἄνδρες — καταμανθάνουσιν.* Mem. I. 9. 3. *χαριζόμενον οἵῳ σοὶ ἀνδρί.* Thucyd. VII. 21. *πρὸς ἄνδρας τολμηροὺς οἵους καὶ (γε?) Ἀθηναίους.* Soph. Tr. 444. *κἀμοῦ γε (ἄρχει)· πῶς δ' οὐ χἀτέρας οἵας γ' ἐμοῦ;* Arist. H. A. VIII. 24. 6. *τοῦτο δ' ἐστὶν*

ἡλίκον σφονδύλη. II. 7. 1. μέγεθος δ' ἐστὶν ἡλίκον (al. ἡλίκος) ὄνος. Lucian. Alex. 20. ἦν δὲ τὸ μηχάνημα τοῦτο ἀνδρὶ μὲν οἵῳ σοὶ — πρόδηλον. Adv. ind. 3. οἵῳ δὲ σοὶ — οὐδὲ ἐγγὺς γενέσθαι — κατηξίωσαν. Pro merc. cond. 2. φιλικὴν καὶ οἵῳ σοὶ χρηστῷ καὶ φιλοσόφῳ ἀνδρὶ πρέπουσαν (ξυμβουλήν). Toxar. 11. οὐ φαῦλον τὸ ἔργον ἀνδρὶ οἵῳ σοὶ πολεμιστῇ μονομαχῆσαι. Hom. Od. κ'. 113. τὴν δὲ γυναῖκα | εὗρον ὅσην τ' ὄρεος κορυφὴν ι. 321. τὸ μὲν ἄμμες ἐΐσκομεν εἰσορόωντες | ὅσσον θ' ἱστὸν νηὸς ἐεικοσόροιο. 325. τοῦ μὲν ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα παραστάς. Herod. I. 160. ἐπὶ μισθῷ ὅσῳ δή. 157. Cf. ad Ach. 601. 703.

Schol. τοῖσιν ἡλίκοισι: Ἀντὶ τοῦ τοῖς γέρουσι.

466. τῆς πόλεως τὰς ἡνίας] Cf. 107. ἥν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα (τὰς ἡνίας Cobet.). Eq. 1109. τούτῳ παραδώσω τῆς πυκνὸς τὰς ἡνίας. Plat. Pol. 266 E. οἷον ἡνίοχον εἰς αὐτὴν ἐνστήσαντα παραδοῦναι τὰς τῆς πόλεως ἡνίας, ὡς οἰκείας καὶ αὐτῷ ταύτης οὔσης τῆς ἐπιστήμης. Plut. Per. 11. τῷ δήμῳ τὰς ἡνίας ἀνεὶς ὁ Περικλῆς ἐπολιτεύετο πρὸς χάριν. Alciphr. III. 61. τὰς ἡνίας ἔχει τοῦ δήμου. Dorv. ad Charit. p. 540.

471. *Schol.* ἀηδές. R.

473. *Schol.* λόγος τέ τοι τίς ἐστι: Λέγεται, ὅτε Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, νικῆσαι τὴν Ἀθηνᾶν. καὶ φασὶν ἡττηθέντα τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταρᾶσθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν ὅτι γένοιτο (γενήσοιτο?) τοὺς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι, ἀκούουσαν δὲ τὴν Ἀθηνᾶν προσθεῖναι ὅτι κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν.

474. Respicit his verbis ad Atheniensium δυσβουλίαν, quam propitia deorum voluntas soleret ἐπὶ τὸ βέλτιον τρέπειν, ut dixit Nub. 589. φασὶ γὰρ δυσβουλίαν | τῇδε τῇ πόλει προσεῖναι, ταῦτα μέντοι τοὺς θεούς, | ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ τὸ βέλτιον τρέπειν. DIND. In hanc sententiam et Eupolis apud Athenaeum X. p. 425. — ὦ πόλις πόλις, | ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς. BE.

475. ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν] Cf. Nub. 594. ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.

476. ὦ πότνια Παλλὰς καὶ θεοί] Cf. ad Pl. 1. ὦ Ζεῦ καὶ θεοί. 438. ἄναξ Ἄπολλον καὶ θεοί. Nub. 413. ἐν Ἀθηναίοις καὶ τοῖς Ἕλλησι. Alexin Athen. 562 A. μὰ τὴν Ἀθηνᾶν καὶ θεούς.

478. Redit chorus mulierum ex concione.

ἔμβα, χώρει] Cf. Lys. 1303. εἶα μάλ' ἔμβη. Ran. 377. Eur. El. 113. 128.

Schol. (ἔμβα, χώρει: Ἐξέρχεται ὁ χορὸς ἀπὸ τῆς ἐκκλησίας.)

479. τις — ὅστις] Ὅστις pro usitatiori ὅς. Cf. Eur. Andr. 915. σοὶ δ' ἦν τις, ὅστις τοῦδ' ἐκοινώνει φόνου; El. 630. ἤπου τις, ὅστις γνωριεῖ μ' ἰδών, γέρον. Plura Elmsleius ad Med. 775 (789.)

482. τὸ σχῆμα] Formam virilem.

Schol. τὸ ἀνδρεῖον. R.

483. τοῖν ποδοῖν ἐπικτυπῶν] Cf. 545. μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν. Notanda generis permutatio, si vera est scriptura.

Schol. ψόφον ποιῶν. R.

486. *συστέλλου σεαυτήν*] Cf. Vesp. 424. *ἐπ' αὐτὸν ἵεσο | ξυσταλείς.* Lys. 1042. *ξυσταλέντες.* Eccl. 99. *ξυστειλάμεναι θαἰμάτια.* Eq. 432.

487. *περισκοπουμένη* —] Cf. Thesm. 666. *καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.* 658. 959. Av. 423. *ὡς σὰ ταῦτα πάντα, καὶ τὸ τῇδε καὶ τὸ κεῖσε καὶ τὸ δεῦρο* etc. Soph. El. 898. *περισκοπῶ, | μή πού τις ἡμὶν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.* Eur. Phoen. 92. *ἐπίσχες, ὡς ἂν προυξερευνήσω στίβον, | μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται, | κἀμοὶ μὲν ἔλθῃ φαῦλος ὡς δούλῳ ψόγος.* 265. *ὧν εἵνεκ' ὄμμα πανταχῇ διοιστέον, | κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.* Plat. Theaet. 155. *ἄθρει δὴ περισκοπῶν μή τις τῶν ἀμυήτων ἐπακούῃ.* Eur. Iph. T. 76. *ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.*

488. *ξυμφορά*] Cf. Soph. Aj. 68. *μηδὲ συμφορὰν | δέχου τὸν ἄνδρ'.* Eur. Or. 139. *ἀλλ' ἐμοὶ τόνδ' ἐξεγεῖραι ξυμφορὰ γενήσεται.*

490. Constructio est, *ὅθενπερ ὡρμώμεθα, ἡνίκ' ᾖμεν εἰς ἐκκλησίαν.* Similia hyperbati exempla sunt Av. 1418. Th. 811. 812. infra 1049. Eq. 332. *ἀλλ', ὦ τραφεὶς ὅθενπέρ εἰσιν οἵπερ εἰσὶν ἄνδρες.*

ᾖμεν] Ibamus. Cf. Pl. 659.

491. *ἡ στρατηγός*] Praxagora.

494. *πώγωνας ἐξηρτημένας*] I. e. *πώγωνας ἐξηρτημένας ἐχούσας.* Cf. Aeschin. p. 77. *ἐξηρτημένος ἐπιστολάς.* Machon. Athen. p. 582 C. *πινακίδα καὶ γραφεῖον ἐξηρτημένον.* Aesch. Prom. 714. *ἐκηβόλοις τόξοισιν ἐξηρτημένοι.* Plut. Lys. 1. *εὖ μάλα κομῶντος — καὶ πώγωνα καθειμένου γενναῖον.* Soph. Aj. 1178. *ῥίζαν ἐξημημένος.* Tr. 157. *δέλτον ἐγγεγραμμένην | ξυνθήμαθ'.* Lucian. Cat. 3. *πήραν ἐξημμένον.* Virg. Ecl. III. 106. inscripti nomina regum flores. Hor. Epod. I. 1. 56. Sat. I. 6. 74.

ἐξηρτημένας] Cf. Pac. 470. *ἐξαρτῶμαι.* 1247.

495. *μὴ καὶ* —] Cf. Th. 580. *τηρεῖτε μὴ καὶ προσπέσῃ | ὑμῖν ἀφράκτοις πρᾶγμα δεινὸν καὶ μέγα.* Soph. Phil. 46. *μὴ καὶ λάθῃ με προσπεσών.* 13.

ἡμῶν — κατείπῃ] Cf. Pac. 376. *μὴ πρὸς τῶν θεῶν | ἡμῶν κατείπῃς.* Th. 340. *ἢ παιδίον | ὑποβαλλομένης κατεῖπεν.*

496. *ἐπὶ σκιᾶς*] Andoc. p. 112. Bekk. *ὑπὸ τὴν σκιάν.*

497. *τὸ τειχίον*] Parietem. Differunt inter se *τειχίον* et *τεῖχος.* Illud apud Atticos de aedium pariete aut agrorum sepe seu maceria, hoc de urbis muro tantum usurpatur. Hesychius, *Τειχίον: Ἀττικοὶ τὸν περίβολον τοῖς χωρίοις* etc. Vide Ammon. v. *τείχη.* Moer. v. *τειχίον.* *Τὸ τειχίον* hic memoratum non differre censet Meinekius ab eo quod commemoratur Vesp. 1109. *οἱ δὲ πρὸς τοῖς τειχίοις — πυκνός.* Quod valde incertum videtur.

498. *παραβλέπουσα θατέρῳ*] Sc. *ὀφθαλμῷ.* Limis intuens. Cf. Vesp. 497. *παραβλέψασα — θατέρῳ.* Ran. 409. *παραβλέψας τι.*

Schol. *παραβλέπουσα: Μὴ ἀτενίζουσα, φησίν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.*

499. *Schol.* *ἦπερ ἴσθα: ἀντὶ τοῦ ὡς ᾖσθα.* R.

502. *μίσει — ἔχουσα*] Cf. 580. *μισοῦσι γάρ, ἢν τὰ παλαιὰ πολλάκις θεῶνται.* Eur. Rhes. 333. *μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.* Babr. 111, 16.

πλείους | σπόγγους κατῆγεν — τοὺς δ' ἅλας ἐμεμισήκει. Achaeus Athen. 173 D. *καρυχοποιοὺς προσβλέπων βδελύττομαι.* Pl. 645. *φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα.* Vesp. 1535. *εἴ τι φιλεῖτ' ὀρχούμενοι.*

σάκον] Barbam. Cf. ad 71. Hegesander apud Athen. p. 162. *σακκογενειοτρόφους* philosophos dicit. Cf. v. *σάκανδρος*, Lys. 824. Epicratis agnomen fuit *σακεσφόρος*. De scriptura *σάκος* cf. ad Ach. 822.

Schol. σάκον λέγει τὸν πώγωνα.

503. *ἥκουσιν*] Reduces sunt.

507. *ῥιπτεῖτε χλαίνας*] Cf. 850. *ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.* Aeschin. 4, 33. *ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ.* Lysiam III. 35. *τὸ γὰρ μειράκιον — ῥῖψαν θοἰμάτιον φεῦγον ᾤχετο.* Lucian. Herm. 23. *καὶ αὐτὸ ἀπορρίψαντα τὸ ἱμάτιον.* Dion. Chrys. Or. VII. p. 103. *οἱ δὲ τὰ ἱμάτια ἐρρίπτουν ὑπὸ τοῦ φόβου.*

χλαίνας] I. e. *τρίβωνας.* Quae tamen vestimenta distinguuntur in Vespis 1131—1132.

Schol. τὰ ὑποδήματα. R.

508—509. *Λακωνικὰς — βακτηρίας*] Cf. 74. *Λακωνικὰς γὰρ ἔχετε καὶ βακτηρίας.* 542.

508. *Λακωνικάς*] I. q. *ἐμβάδας*, ut videtur. Distinctio tamen fit inter *ἐμβάδας* et *Λακωνικὰς* Vesp. 1157—1158. Tentabam etiam *χαλᾶθ' ὑφαντοὺς ἐμβάδας Λακωνικάς.* Cf. Epicrat. III. 372. *τοὺς κάλως ἔκλυε καὶ χάλα πόδα.*

χάλα — ἡνίας] Cf. Plat. Prot. 337 E. *ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις.* Eur. In. Fr. 21. *μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα*, etc.

Schol. συναπτούς: Τὰς συναπτούσας καὶ δεσμευούσας τὰ ὑποδήματα.

509. *βακτηρίας*] Cf. 74. 542. Vesp. 33.

σὺ μὲν —] Unam ex choro, quasi coryphaeum, videtur alloqui.

510. *βούλομαι — καταθέσθαι*] Id est *καταθήσομαι.* Sic in Plut. 770. *ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.*

511. *Schol. παρερπύσασα: Ἠρέμα εἰσελθοῦσα.*

512. *καταθέσθαι θοἰμάτιον*] Cf. Nub. 497. *φέρε νυν κατάθου θοἰμάτιον.*

514. *κεῖται καὶ δὴ* —] Ecce humi jacent omnia quae dixisti. Cf. Ach. 584. *κεῖται.* Th. 214. *καὶ δὴ χαμαί.* Pac. 327. *ἣν ἰδού, καὶ δὴ πέπαυμαι.* Lys. 909. *ἰδού, τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών.* 925. *καὶ δὴ 'κδύομαι.* Sic loqui solent qui quod faciendum fuit jam factum ostendunt, ut monuit Lenting.

515. *σοι*] Referendum ad *ὑπακούειν.*

516. Cf. Vesp. 631 sq. Th. 433.

ξυμμίξασ' οἶδα] Memini congressa fuisse. Cf. ad Vesp. 436. Soph. Phil. 680. Dem. p. 46. *οἶδα ἀκούων ὅτι* —.

ξυμμίξασα] I. e. *συντυχοῦσα*, ut exponit Suidas in h. v. Cf. Herod. VII. 29. *οὐδενὶ ἀνδρὶ συνέμιξα ἐς τόδε ὅστις ἠθέλησε* etc. VII. 153. *ἄλλοι τε ἀπίκατο ἄγγελοι — συμμίξοντες Γέλωνι*, etc. VIII. 79. *θέλων αὐτῷ συμμῖξαι.* Vesp. 1467. *οὐδενὶ γὰρ οὕτως ἀγανῷ ξυνεγενόμην.*

517. *ἣν — κεχειροτόνημαι*] Sic Thuc. I. 126. *οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακήν.* Soph. Ant. 408. *πρὸς σοῦ τὰ δείν' ἐπηπειλημένοι.*
519. *Schol. ἐν τῇ ἐκκλησίᾳ.* R.
520. Aedes intranti Praxagorae occurrit maritus Blepyrus.
τί — σοὶ τοῦθ';] Cf. Eq. 1198. *τὶ δὲ σοὶ τοῦτ';* Lys. 514. *τὶ δὲ σοὶ ταῦτ';* Thesm. 498. *εἰ δὲ Φαίδραν λοιδορεῖ, | ἡμῖν τί τοῦτ';* Theocr. XV. 89. *τί δὲ τὶν, εἰ κωτίλαι εἱμές;*
Schol. ἀνὴρ Πραξαγόρας. R.
522. *οὔτοι — γε*] Surely not. Cf. Soph. Oed. C. 650. El. 137. 773. Tr. 491. Eur. Her. 64. El. 363. Alc. 718.
παρὰ τοῦ μοιχοῦ] Ab adultero, quem tu cogitas. Similis vis emphatica articuli est 1017. *τὴν γραῦν.* Thesm. 499. *ἡ γυνή.* 501. *τὸν μοιχόν.* 563. *ἀχαρνική.* 894. *τοῦ χρυσίου.* Av. 77. *τὸ τρύβλιον.* Ach. 415. *τοῦ παλαιοῦ δράματος.* Vesp. 500. *ἡ πόρνη.* Nub. 179. *θοἰμάτιον.* Lucian. de m. c. 36. *ἡ ἅβρα* (*Σύρα*?) *προσελθοῦσα ὤρεξε παρὰ τοῦ μοιχοῦ γραμμάτιον* (*γραμματεῖον*?). Plura ad Ach. 415.
523. *Schol. ἐξερευνῆσαι.* R.
524. *τῆς κεφαλῆς ὄζω μύρου*] Cf. ad Ach. 852. Pl. 120. Duplex autem genitivus, ut in Vesp. 1058. *ὑμῖν δι' ἔτους τῶν ἱματίων ὀζήσει δεξιότητος.*
526. *ὄρθριον*] Diluculo, adverbialiter, ut v. 377.
528. *γυνή μέ τις — μετεπέμψατ' ὠδίνουσα*] Cf. Alciphron. Epist. I. 28. *ὠδίνουσά με ἀρτίως ἥκειν ὡς ἑαυτὴν ἡ τοῦ γείτονος μετέπεμψε γυνή.* BE.
530. *τῆς λεχοῦς*] Puerperae. *Λεχὼ* est *ἡ ἀρτίτοκος, ἡ προσφάτως τετοκυῖα,* ut explicant Hesych. Phot. Suid. Cf. Eupol. II. 529. *λεχὼ στρατιῶτις.* Eur. El. 652.
τῆς λεχοῦς δ' οὐ φροντίσαι —] Cf. Vesp. 835. *τοιουτονὶ τρέφειν κύνα.*
531. *Schol. ὠδινούσης.* R.
533. *ὥσπερ εἶχον*] Cf. Antiph. com. III. 114. Eq. 488. *ὡς ἔχω.* Lys. 376. 610.
Schol. μηδὲν κλέψας ἔνδοθεν. R.
534. *μεθῆκε*] Arcessebat, a *μεθήκειν.* Cf. Eq. 937. Eur. Hec. 510. *μετῆλθες ἡμᾶς.* Alc. 46. *ἣν σὺ νῦν ἥκεις μέτα.* Phoen. 1337. *ἥκω μετὰ — Ἰοκάστην.* Herod. III. 19.
Schol. ἥτις μετεκάλεσέ με. R.
536. *ἔμ' ἀποδύσασ'*] Cf. Lucian. D. D. XX. 10. *μὴ πρότερον αὐτὴν ἀποδύσῃς — πρὶν ἂν τὸν κεστὸν ἀπόθηται.*
τοὔγκυκλον] Cf. ad Thesm. 261.
Schol. τὸ γυναικεῖον ἱμάτιον. R.
537. *προκείμενον*] Verbum *προκεῖσθαι* de mortuo occurrit etiam in Av. 474. *τὸν δὲ προκεῖσθαι πεμπταῖον.* Res ipsa dicebatur *πρόθεσις.* Latine collocatio. BE.
Schol. προκείμενον: Νεκρόν.
538. *στεφανώσασ'*] Mortui nimirum olim coronari solebant. KUST. Haec etiam ad mortuos pertinent, corona et ampulla cum unguentis.

Infra 1034. ad vetulam sepulcro maturam: *καὶ ταινιῶσαι καὶ παράθου τὰς ληκύθους*. Eurip. Phoen. 1626. *ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ | ἢ γῇ καλύπτων θάνατον ἀνταλλάξεται*. BE. Cf. Lys. 602. Fr. 417. *ἀλλὰ στεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις*. Eur. Tro. 1143. *ὡς περιστείλῃς νεκρὸν | στεφάνοις*.

ἐπιθεῖσα λήκυθον] Cf. 1032. *καὶ ταινίωσαι καὶ παράθου τὰς ληκύθους*. 996. 1111.

Schol. *στεφανώσασα*: *Εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν*.

540. *Schol.* *ἀλεαίνοιμι*: *Θερμανοίμην*.

542. *Λακωνικαὶ — βακτηρία*] Conjunguntur etiam Th. et 508—509.

543. *κατὰ τί*] Qua de causa. Cf. Av. 916. *κατὰ τί δεῦρ' ἀνεφθάρης*; Pac. 192. Nub. 239. Pac. 133. *κατ' ἔχθραν*.

544. *μεθυπεδησάμην*] Calceos meos cum tuis permutavi.

Schol. *ἵνα σε μιμησαμένη σώσαιμι τὸ ἱμάτιον*. R.

547. *πυρῶν ἑκτέα*] Tritici sextarium, quantum triobolo emi potest, mercede concionali. *Μέδιμνος* igitur drachmis 3 venibat.

Schol. *πυρῶν ἑκτέα*: *Τριωβόλου ἴσως ἦν. λέγει οὖν ὅτι οἴκοι μένων τὸ τριώβολον ἀπολώλεκεν*. R.

549. *ἄρρεν — παιδίον*] Cf. Isae. VI. 7. *ταῖν δὲ ἀδελφαῖν — οὐκ ἦν ἄρρεν παιδίον*.

550. *Schol.* *προσποιουμένη ἐρωτᾷ ἐπίτηδες εἰ γέγονεν ἡ ἐκκλησία ὡς ἀγνοοῦσα*. R.

551. *γεγένηται*] Sc. *ἐκκλησία*.

ᾔδησθα] Memineras, ut *οἶδα* saepe valet memini. Attice pro *ᾔδεις*. Eadem forma usum esse Eupolin monet Etym. Mag. p. 420, 13. Cf. ad Nub. 329.

552. *φράσαντα*] Sc. hodie fore concionem.

554. Sensus est: Sede et in posterum laute ac beate vivito: magnum enim tibi imperium paratum video. Scilicet sepiae in deliciis erant.

Schol. *οἷον ἐντρυφῶσα διὰ τὴν ἐξουσίαν*. R.

556. *Schol.* *Ἀττικόν ἐστιν ἀντὶ τοῦ πάντων*. R.

557. *κατὰ πόλιν*] Sine articulo. Sic *κατ' οἰκίαν* Vesp. 1180. Usitatius foret *κατὰ τὴν πόλιν*. Sic *ἐν τῇ πόλει* Pac. 704. Utrumque dixisse videntur, ut *ἐν τἀγορᾷ* et *ἐν ἀγορᾷ*, etc.

558. Cf. Pl. 657. *νὴ Δί' εὐδαίμων ἄρ' ἦν*. 920. Vesp. 1506.

559. *κατὰ τί;*] Quamobrem, vel quomodo? Anglice, in what respect? Cf. 604. *κατὰ δὴ τί;* et ad 543.

561. *οὐδαμοῦ δὲ —*] *οὐ δανειστῇ* (aut *δάνειον*, aut aliud quid) conj. Madvig.

μαρτυρεῖν] Apollodor. com. IV. 454. *ψεύδετ', ἐπιορκεῖ, μαρτυρεῖ*. Antiph. III. 111. *ἄγχειν, μαρτυρεῖν* etc. Eq. 1317. *μαρτυριῶν ἀπέχεσθαι | καὶ τὰ δικαστήρια συγκλῄειν* (*χρή*) etc. Vesp. 1041. *ἀντωμοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας ξυνεκόλλων*. 1439.

562. *Schol.* *ἄλλος Βλέπυρος ἐλθών*. R.

563. *Schol.* μηδ' ἀφέλῃς μου τὸν βίον: Διοικοῦσα μετὰ τῶν ἄλλων γυναικῶν.

τὰ πτερά] The birds of the drama probably had but the beak, head, and wings of their originals; but an excuse for the want of feathers is found in the moulting of birds. (Gr.)

104. *ἐξερρύηκε*] Cf. Lucian. D. D. 4, 1. *οὐκ αἰετὸς ἄρτι ἦσθα; πῶς οὖν τὰ πτερά σοι ἐκεῖνα ἐξερρύηκε;*

ὑπὸ νόσου] Arist. H. A. VIII. 20. 2. *τῶν δ' ὀρνίθων ἐν ταῖς ἀρρωστίαις ἐπίδηλος ἡ πτέρωσις γίγνεται. ταράττεται γὰρ καὶ οὐ τὴν αὐτὴν ἔχει κατάστασιν ἥνπερ ὑγιαινόντων.* Plin. N. H. 10, 20, 22 (sec. H. A. Aristot. 6, 9, 2): idem (pavo) cauda annuis vicibus amissa cum foliis arborum, donec renascatur iterum cum flore, pudibundus ac moerens quaerit latebram.

Schol. *ἐξερρύηκε: Παρόσον ἄνθρωπος ἐξελήλυθε μὴ ἔχων πτερὰ πλὴν τῆς κεφαλῆς ὄρνιθος ἐπτερωμένης.*

105 sq. Non hyeme, sed aestate, aves mutare pennas dicuntur. Aut igitur avium naturam ignorabat comicus, aut sub avium nomine subindicat Athenienses, qui hyeme quidem domi plerumque remanerent, vere autem redeunte rei navali operam darent novasque expeditiones maritimas, qualis Sicula fuit, susciperent: ita ut *πτερὰ φύειν* non inepte dicerentur, praesertim si reputaveris remos et pennas tropice solere inter se permutari.

105. *τὸν χειμῶνα*] Hyeme ergo acta fuit haec fabula. Cf. Th. 67. Aristoteles H. A. 8, 16. monuit eas tantum aves quae in patria sua manent hieme *πτερορρυεῖν.*

106. *πτερορρυοῦμεν*] Anglice, we shed our feathers, molt. Cf. 284. Arist. H. A. VIII. 16. *ἡ τρυγὼν πτερορρυεῖ ἐν τῇ φωλείᾳ.* Plat. Phaedr. p. 246. *ἡ δὲ (ἡ ψυχὴ) πτερορρυήσασα φέρεται ἕως ἂν* etc. Similis monetae sunt *τριχορρυεῖν* Pac. 1222. et *φυλλορροεῖν* (non *φυλλορρυεῖν*) Av. 1481.

ἕτερα φύομεν] Sc. *πτερά*, quod ex *πτερορρυεῖ* intelligendum (cf. ad Pl. 503. Ran. 498. 1025. 1466. Eq. 572. 1352. Nub. 555.). Cf. 785. *φῦσαι πτερά.* Alex. Athen. 362 D. *μὴ φύσας πτερά.* Plat. Tim. 91 D. *ἀντὶ τριχῶν πτερὰ φῦον.* Phaedr. 251 C. *ἡ τοῦ πτεροφυεῖν ἀρχομένου ψυχή.* 255 D. 252 C. *ἀθάνατοι δὲ πτερωτὰ διὰ πτεροφύτορ' ἀνάγκην.* Herod. II. 68. *γλῶσσαν δὲ μοῦνον θηρίων οὐκ ἔφυσε.* VIII. 105. *φύει πώγωνα μέγαν.* IV. 29. *φύειν κέρεα.* V. 91. *δόξαν φύσας.* Athen. XI. 476 D. *βοῶν — μεγάλα κέρατα φυόντων.* S. Marc. Ev. XIII. 28. *ὅταν αὐτῆς ὁ κλάδος — ἐκφύῃ τὰ φύλλα.* "Aeschylus apud Clem. Alex. Strom. Lib. 5. de eadem ista upupa [Fr. 305]: *νέας δ' ὀπώρας ἡνίκ' ἂν ἀνθῇ* [*ἡνίκα ξανθῇ στάχυς?*] *στάχυς, | στικτή νιν αὖθις ἀμφιέννυσι* [*ἀμφινωμήσει*] *πτέρυξ.*" (Be.)

Schol. *ὡς ἐπὶ τῶν φυτῶν.* R.

107. *Schol.* [[νῷ βροτῷ: Πρὸς τὴν παράθεσιν τῶν λέξεων, ὅτι ἐκ παραλλήλου ἡ διαφορὰ δηλοῦται. τὸ δὲ χ πρὸς τὸ συνεχὲς τῶν δυϊκῶν.]]

108. ποδαπὼ τὸ γένος;] Cf. Pac. 186. ποδαπὸς τὸ γένος (δ' add. R. V.) εἶ; Alexin Athen. 159 D. ἔστιν δὲ ποδαπὸς τὸ γένος οὗτος; Eur. Iph. T. 246. ποδαποί; τίνος γῆς ὄνομ' ἔχουσιν οἱ ξένοι;

Schol. ὅθεν αἱ τριήρεις αἱ καλαί: Ἀντὶ τοῦ ἐξ Ἀθηνῶν. (μέγα γὰρ ἐφρόνουν Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ.)

109. ἠλιαστά] I. e. δικαστά. V. schol.

μάλλά] I. e. μή, ἀλλά, ut alibi οὐκ, ἀλλά. Supplere possis μὴ (λέξῃς), ἀλλὰ etc. Photius p. 244, 1. μάλλά: ἀντὶ τοῦ οὐκ ἀλλά. Cf. Ran. 103. 745. 751.

ἀλλὰ θατέρου τρόπου] Eur. Med. 807. μηδείς με φαύλην κἀσθενῆ νομιζέτω | μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου, | βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ. El. 949. εἴη πόσις | μὴ παρθενωπός, ἀλλὰ τἀνδρείου τρόπου. Lucian. Pisc. 45. διαγνώσονται — οἵτινες οἱ ἀγαθοὶ αὐτῶν καὶ οἵτινες αὖ πάλιν οἱ τοῦ ἑτέρου βίου.

Schol. Ἡλιαστά: Δικασταί. ἀπὸ τοῦ μεγάλου δικαστηρίου τῆς Ἡλιαίας. οὕτως δὲ ἐκλήθη διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι.

μὴ ἀλλὰ θατέρου τρόπου: Πέπονθε. κεῖται δὲ ἀντὶ τοῦ οὐκ, ἀλλὰ θατέρου τρόπου, τουτέστι μισόδικοι.

110. ἀπηλιαστά] I. e. μισοδίκω. Similiter ἀπολῖται ἀφέταιροι ἀπαθηναῖοι dixit Theopompus ap. Poll. III. 58. Manet autem π, ut in ἀπηλιώτης, ἀπήλιος, ἐπηλὶς, ἐπίστασθαι, quae formae antiquae et Ionicae sunt. V. Blomf. Gloss. Agam. 497. Lobeck. ad Ajac. 805. ἀγκῶνας — ἀντηλίους (al. ἀνθ.). Bekk. Anecd. p. 424, 425. Ἀπηλιώτης: ἐν τῷ π, καὶ ἀντήλιος, καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἐπηλὶς ἔστι παρὰ Ποσειδίππῳ. Herod. IV. 22. πρὸς ἀπηλιώτην ἄνεμον. Eur. Cycl. 19. ἀπηλιώτης ἄνεμος. Aesch. Ag. 502. ἀντήλιοι. Eur. Ion. 1550. ἀντήλιον πρόσωπον.

Schol. μισόδικοι. τὸ μισόδικον. R.

111. Cf. Eccl. 334. ζητῶν γὰρ αὔτ' οὐχ ηὗρον ἐν τοῖς στρώμασιν. Isae. VIII. 12. ταυτὶ — ἐγὼ ζητῶν ἐξεῦρον. Herod. I. 139. ἐς τοῦτο διζήμενος εὑρήσεις τελευτῶντα.

σπέρμα] Cf. Eurip. Hec. 254. ἀχάριστον ὑμῶν σπέρμ' (natio, genus), ὅσοι δημηγόρους | ζηλοῦτε τιμάς. BE. Clearchus apud Athen. VI. p. 256. ὥστε ἔμοιγε δοκεῖ — παρ' ἐκείνων εἰς τοὺς ἔξω τόπους διαδίδοσθαι τὸ σπέρμα τῶν ἐλλογίμων κολάκων. Themistius Or. 27. p. 339 C. ἔστι δὲ πολὺ τὸ σπέρμα τοῦτο καὶ ἐν δικαστηρίοις καὶ ἐν ἐκκλησίαις. DIND. Eur. Hec. 254. ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι etc. Iph. A. 520. τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν. Eur. Fr. inc. 93. εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν. Eur. Fr. Inc. 159. ἀεί ποτ' (ἐστὶ) σπέρμα κηρύκων λάλον. Aesch. Fr. 282. τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ. Trag. Adesp. 160. τοίων γὰρ ἀνδρῶν σπέρμ' ἔδωκεν Ἑλλάδος. Dem. p. 784. πλὴν εἰ συκοφάντου τις καὶ πονηροῦ σπέρμα καὶ ῥίζαν ὡσπερανεὶ γεωργὸς οἴεται δεῖν ὑπάρχειν τῇ πόλει. Loquitur ut avis. "The birds,

feeding much on seeds, are here made, as in several other places, to speak in metaphors derived from their own habits of life." (Cook.)

ἐξ ἀγροῦ] Ex agro. Anglice, in the fields. Ambiguus est sensus. Innuit enim rusticos fere *μισοδίκους* esse, urbanos *φιλοδίκους*.

Schol. *ὀλίγον ζητῶν: Τοῦτο λέγει, ὅτι οἱ ἄγροικοι μόνοι εἰσὶν οἱ μὴ φιλοδικασταί, ὡς ὀλίγων ὄντων τῶν μισοδίκων καὶ τούτων ἀγροίκων. ἀεὶ δὲ τούτους τε καὶ τοὺς ἱππεῖς ἐπαινεῖ. ἅμα καὶ ὅτι τὰ σπανίζοντα τῶν σπερμάτων μᾶλλον παρὰ τοῖς ἀγροίκοις εὑρίσκεται.*

112. *πράγους*] Vox tragica. Lys. 706. *ἄνασσα πράγους τοῦδε* etc. Aesch. Sept. 804. Pers. 248. Suppl. 233.

113. *Schol.* *ἀντὶ τοῦ εἰς ὁμιλίαν ἐλθεῖν.* R.

114. *πρῶτα μὲν — εἶτ'*] Cf. Lys. 1024. 1074.

πρῶτα μὲν ἦσθ'] Ut 157. 164. etc. et alicubi *μὴ δῆτα σύ γ', ἀλλὰ —*.

115. "Gray asks why Tereus is said to have been in debt. Carey thinks the humour consists in supposing that Tereus, as a man, must necessarily have been in debt, and willing to cheat his creditors." (Cook.)

117. *ὀρνίθων μεταλλάξας φύσιν*] Julianus Epist. 18 *εἰ δέ μοι θέμις ἦν κατὰ τὸν Τήϊον ἐκεῖνον μελοποιὸν εὐχῇ τὴν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐχ ἂν δήπου πρὸς Ὄλυμπον, οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ' εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην.* BE.

μεταλλάξας] Anglice, having adopted in exchange or instead. Cf. Horat. cur valle permutem Sabina divitias operosiores?

118. *ἐπέπτου*] I. e. *πετόμενος ἐπῆλθες.* Eur. Ion. 1356. *πᾶσαν δ' ἐπελθὼν Ἀσιάδ'.* — Hel. 1484. *ἄβροχα πεδία καρποφόρα τε γᾶς ἐπιπετόμενος.*

120. *ταῦτ' οὖν*] Idcirco igitur, ut alibi *ταῦτ' ἄρα.*

ἀφίγμεθα, εἰ — φράσειας] Locutio praegnans, qualis est in Nub. 1392. *οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας | πηδᾶν ὅ τι λέξει.* Hic subaudiri potest *ἐρησόμενοι* aut aliquid simile.

Schol. *διὰ ταῦτα.* R.

121. *εὔερον*] Schol: *μαλακήν.* Cratinus ibid.: *γλῶσσαν εὐέρων βοτῶν* (i. e. *προβάτων*). Plato ibid.: *εὐερίας ἀπολέλαυχ' Ὑπέρβολος.* Hippocr. IX. 849 C. *ἐρίῳ Μιλησίῳ ὡς εὐειροτάτῳ.* Soph. Tr. 675. *οἰὸς εὐείρῳ πόκῳ.* Forma antiqua et Ionica esse videtur *εὔειρος*, recentior et Attica *εὔερος.* Cf. Herod. III. 47. *εἰρίοισι* (al. *ἐρ.*) IV. 73. *πίλους εἰρινέους* (*ἐρ.* al.). "Perhaps here we may consider it as a comical substitute for *εὔνομον*, which would have been a natural attribute to *πόλιν*. They want a snug city, in which they may lie soft and warm." (Gr.)

Schol. *εὔερον: (Οἷον μαλακὴν ὥσπερ σισύραν εὐέριον. Πλάτων Ὑπερβόλῳ "καὶ τοσοῦτον εὐερίας ἀπολέλαυχ' Ὑπέρβολος ὥστ' αἰχμάστατός ἐστι." Κρατῖνος Πυλαίᾳ "γλῶσσαν εὐέρων βοτῶν." λέγει δὲ περὶ τῶν προβάτων.) — ἀντὶ τοῦ εὐάερον. τοιαῦτα γὰρ ζητοῦσιν οἱ μετοικιζόμενοι. ἢ ὅ βαλεῖν (?) ἀπὸ μεταφορᾶς τοῦ ἐρίου.* R.

122. Cf. Vesp. 738. *χλαῖναν μαλακήν, σισύραν.* Nub. 10. Clem. Alex. Paed. II. 190. *τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι πορφυρίδων ἢ φοινικίδων.*

(*Schol.*) *σισύραν*: *Σισύρνα καὶ σισύρα καὶ σίσυς διαφέρουσι. σισύρα μὲν γάρ ἐστι τὸ ἐξ αἰγείων δερμάτων ἔτι τὰς τρίχας ἔχον σκέπαστρον, τὴν δὲ σισύρναν οἱ κατὰ Λιβύην λέγουσι τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον, σίσυς δέ ἐστι παχὺ ἱμάτιον καὶ εὐτελές, πρὸς δὲ καὶ μικρὸν, ἐπιτήδειον εἰς ἓν ἅπτεσθαι, οἷον ἐξωμίδιον. — σισύρα χλαίνης εἶδος εὐτελοῦς, οἷον ἁπλοΐδος ἢ ἐξωμίδος ἢ τοιούτου τινός. Ἀριστοφάνης ἐν Νεφέλαις* [10] "*ἐν πέντε σισύραις.*" V. *ὁ δὲ Ἐρατοσθένης ὥς ἐστι βαίτη, καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ ἄνδραχνον καὶ ἀνδρόχνην καλοῦμεν, οὕτως ᾤοντο σισύραν καὶ σίσυν ἐπὶ τοῦ αὐτοῦ ἐκδέχεσθαι, καὶ τρίτην προσλαμβάνουσι σισύρνην οἱ κατὰ Λιβύην τὸ ἐκ τῶν κωδίων, τὸ ἀμπεχόνιον καλούμενον. — καὶ τὴν σισύραν βαίτην ὑπέλαβον εἶναι τινές. τὸ δὲ οὐκ ἔστιν ἀληθές, ἀλλὰ χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμίδα ἢ διπλοΐδα ἢ τοιοῦτόν τι. οὕτως ἐν τῷ λεξικῷ.* V.

ἐγκατακλιθῆναι: *Οὕτως Ἀττικοί, ὡς ἐν Νεφέλαις* [694] "*ἀλλὰ κατακλινεὶς δευρί.*" *τὸ δὲ κλινθῆναι κοινόν. — μαλθακήν*: *μαλακήν. λέγει δὲ τὴν τῶν προβάτων.* V.

123. Cf. Nub. 1249. *ἔπειτ' ἀπαιτεῖς τἀργύριον τοιοῦτος ὤν;*

τῶν Κραναῶν] Sc. *Ἀθηνῶν*. Ach. 75. *ὦ Κραναὰ πόλις*. Lys. 480. *τὴν Κραναὰν — ἀκρόπολιν*. Pind. Ol. VII. 82. *κρανααῖς Ἀθάναις*. XIII. 37. *κρανααῖς ἐν Ἀθάναισι*. Nem. VIII. 11. Isthm. I. 3. *κραναὰ Δᾶλος*. Herod. VIII. 44. *Ἀθηναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλευμένην ἔσαν Πελασγοὶ, οὐνομαζόμενοι Κραναοί*. Hom. H. Cer. 357. *Ἐλευσῖνος κραναὸν πτολίεθρον*. Saepius apud Pindarum legitur *κρανααὶ Ἀθᾶναι*. Ipsi Athenienses olim *Κραναοὶ* appellabantur, teste Herod. VIII. 44. Cf. Strab. IX. 397. *Κραναοῦ, ἀφ' οὗ καὶ Κραναοὶ οἱ ἔνοικοι*. V. schol. ad h. l. et ad Ach. 75. Cramer Greece I. 26. II. 277.

Schol. *τῶν Κραναῶν*: *Τῶν Ἀθηνῶν, διὰ τὸ τραχὺ καὶ λεπτόγεων.* (*ἢ ἀπὸ Κραναοῦ βασιλέως.*)

124. *Schol.* (*προσφορωτέραν δὲ νῷν*: *Ἀντὶ τοῦ ἡμῖν ἐπιτηδείαν, ἄλλην ζητοῦμεν.*)

125. *ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν*] Cf. Plat. Theaet. 189. *δῆλος εἶ — καταφρονῶν μου καὶ οὐ δεδιώς.*

ἀριστοκρατεῖσθαι] Cf. Plat. Rep. 338 D. *τῶν πόλεων αἱ μὲν τυραννοῦνται, αἱ δὲ δημοκρατοῦνται, αἱ δὲ ἀριστοκρατοῦνται.* (Ko.)

Schol. *ἀριστοκρατεῖσθαι*: *Ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ, Σκελλίου υἱὸς, ἐπεβούλευσεν εἰς κατάλυσιν τῷ δήμῳ.* (*Ἄλλως. ἀρίστους κεκριμένους θέλεις ἔχειν ἄρχοντας τοῦ δήμου καὶ τῆς πόλεως, οἷα ἡ παρὰ Λακεδαιμονίοις πολιτεία ἦν. ἡ γὰρ τῶν Ἀθηναίων δημοκρατία ἦν.*)

126. *τὸν Σκελλίου*] Aristocratem. Adeo aristocratiam, inquit, odi ut Aristocratem etiam abominer, nempe quod hoc nomine appelletur. De eo vide Thuc. VIII. 89. *Ἀριστοκράτην τὸν Σκελλίου*. Plat. Gorg. p. 472. Dem. p. 1343, 4. Lys. Or. c. Eratosthenem.

Schol. *καὶ τὸν Σκελλίου*: *Παρὰ τὸ ὄνομα πέπαιχεν, ἐπεὶ Ἀριστοκράτης Σκελλίου ἦν υἱός, ὃν ὁ ῥήτωρ Δημοσθένης* (*ἔγραφεν. ἀριστοκρατία δὲ ἡ ὀλιγαρχία*). *οὕτως οὖν, φησί, μισῶ τὴν ἀριστοκρατίαν ὅτι καὶ τὸν Ἀριστοκράτην μισῶ ὅτι κέκληται τῷ ὀνόματι τούτῳ.*

128. Cf. Antiph. Athen. 258 C. *οὐ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιὰ — οὐχ ἡδύ;*

128. *ὅπου — εἴη*] Optativus ponitur quia praecessit optativus. Cf. Ran. 96. *γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις — ὅστις ῥῆμα γενναῖον λάκοι.* Infra est indicativus est v. 137.

129. *Schol. ἐπὶ τὴν θύραν μου πρωΐ: Νῦν οὐ τὴν πρωΐαν λέγει, ἀλλ' ἴσον τῷ ἐν ὥρᾳ πρῴ. (οὕτως γάρ ἐστι τὸ πρωΐ. διὸ ὀξύνεται. τὸ δὲ πρῴ περισπᾶται.) — οὕτω μονοσυλλάβως λέγουσι. Εὔπολις Βάπταις "ἐπεὶ γὰρ ἑξῆς (ἕξεις?) ἀγαθὰ πολλὰ δὴ πρῴ."* R.

130. Optativus *λέγοι* pendet ab *ὅπου* v. 128.

131 sq. Cf. Eccl. 1144. *οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς | καὶ μὴ παραλείψεις μηδέν', ἀλλ' ἐλευθέρως | καλεῖς (καλεῖν* libri) *γέροντα.* etc.

ὅπως παρέσει μοι —] Cf. Plat. Hipp. maj. 286. *ὅπως παρέσει καὶ αὐτὸς καὶ ἄλλους ἄξεις.* Arist. Lys. 1064. *ἥκετ' οὖν εἰς ἐμοῦ τήμερον· πρῴ δὲ χρὴ τοῦτο δρᾶν λελουμένους, αὐτούς τε καὶ τὰ παιδί'.* Lucian. Nav. 22. *φιλοφρονήσομαι τοῦτον καὶ λουσάμενον ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.* Id. Somn. 7. *Εὐκράτης γάρ με ὁ πλούσιος ἐντυχὼν ἐν ἀγορᾷ λουσάμενον ἥκειν ἐκέλευε τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.* Diog. L. in Vit. Aristipp. *δύνασαι, ἔφη, καὶ σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι.* Similiter Latini. Terent. Heaut. 162. Dionysia hic sunt, hodie apud me sis volo. Juven. V. 18. Una simus, ait. Solemnis haec ad coenam invitandi formula fuisse videtur. Quod ad constructionem, cf. 893. *ἀπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα.* Nub. 935. *ἀλλ' ἐπίδειξαι | σύ τε τοὺς προτέρους ἅττ' ἐδίδασκες, | σύ τε τὴν καινὴν παίδευσιν,* etc. Vesp. 458. *ἀλλ' ἄνες με καὶ σὺ καὶ σύ.* Av. 843.

132. *λουσάμενα πρῴ*] Cf. Lys. 1064. *ἥκετ' οὖν εἰς ἐμοῦ τήμερον· πρῴ δὲ χρὴ τοῦτο δρᾶν λελουμένους, αὐτούς τε καὶ τὰ παιδία.* Fr. 163. *εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο — λουσαμένῳ διελκύσαι τῆς τρυγὸς* "Xen. Symp. 1, 7. *ἔπειτα δὲ οἱ μὲν γυμνασάμενοι καὶ χρισάμενοι, οἱ δὲ καὶ λουσάμενοι παρῆλθον.* Lucian. Gall. 7. *Εὐκράτης γάρ με ὁ πλούσιος ἐντυχὼν ἐν ἀγορᾷ λουσάμενον ἥκειν ἐκέλευε τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.* Nav. 22. *εἰ δέ τις πένης, φιλοφρονήσομαι τοῦτον καὶ λουσάμενον ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.*" (Ko.)

πρῴ] i. e. *ὄρθρου βαθέος* (Tim.). Plat. Prot. 311 A. *μήπω ἐκεῖσε ἴωμεν· πρῴ γάρ ἐστιν· ἀλλὰ διατρίψωμεν ἕως ἂν φῶς γένηται.* Criton. 43 A. *οὐ πρῴ ἔτι ἐστί; — πάνυ μὲν οὖν. — πηνίκα μάλιστα; — ὄρθρος βαθύς.* (Ko.)

ἑστιᾶν γάμους] Anglice, to keep my wedding-day. Cf. Isae. VIII. 12. *γάμους — ὑπὲρ ταύτης εἱστίασεν.* VIII. 25. Dem. p. 1356. *εἱστία τὰ ἐπινίκια.* Isae. III. 98. *ἠναγκάζετο ἂν — Θεσμοφόρια ἑστιᾶν τὰς γυναῖκας.* Sic *θύειν δεκάτην* infra 922.

Schol. (*λουσάμενα πρῴ: Οὕτως Ἀττικοί. ὀξύνεται δὲ καὶ τὸ ι ἔχει ἀπὸ τοῦ πρωΐ γενόμενον, ὡς ἀπὸ βαρείας καὶ ὀξείας ὄν, ὡς τὸ ἑσταώς ἑστώς.*)

133. *καὶ μηδαμῶς ἄλλως ποιήσεις*] Cf. Plat. Lach. p. 201. *αὔριον ἕωθεν ἀφικοῦ οἴκαδε, καὶ μὴ ἄλλως ποιήσῃς, ὅπως βουλευσώμεθα* etc. Isae.

VII. 33. διεκελεύεϑ' ὅπως — ἐγγράφωσι με — καὶ μὴ ὡς (μηδαμῶς?) ἄλλως ποιήσωσι. Frequens apud Platonem est locutio μὴ ἄλλως ποίει.

εἰ δὲ μή] Cf. Pac. 384. Ran. 629. Vesp. 435.

134. πράττω κακῶς] Praeter exspectationem dictum pro πράττω καλῶς. Solent enim amici amicos in rebus adversis prodere et deserere.

Schol. μή μοι τότε γ' ἔλϑῃς: Παροιμία ἐπὶ τῶν μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ εἰς τὸ ἐναντίον. ἡ γὰρ παροιμία ἐστί, "μή μοι τότ' ἔλϑῃς, ὅταν ἐγὼ πράττω καλῶς."

135. ταλαιπώρων] Ironice dictum.

Schol. ταλαιπώρων: Ἐν εἰρωνείᾳ.

136. Cf. Lys. 136. τί δαὶ σύ; ΜΥ. κἀγὼ βούλομαι etc. Ach. 802.

139. καλῶς γε —] Ironice. Anglice, How nicely! Cf. Eq. 344. καλῶς γ' ἂν οὖν σὺ πρᾶγμα προσπεσόν τι — μεταχειρίσαιο. Pherecr. com. II. 339. καλόν γε δῶρον ἔπτ' ἔχειν λαικαστρίας Dem. p. 128. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν. ibid. καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων. ibid. καλῶς Ὀλυνϑίων ἐφείσατο. p. 683. καλόν γε· οὐ γάρ; p. 789. καλῶν γε ἔργων ὁ ῥήτωρ δημιουργὸς ὑμῖν γέγονεν. Soph. El. 393. καλός γ' ἄρ' οὑμὸς βίοτος, ὥστε ϑαυμάσαι. Eur. Med. 504. καλῶς γ' ἂν οὖν | δέξαιντό μ' οἴκοις ὧν πατέρα κατέκτανον. 511. καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ etc. 588. καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ, εἰ —. Nub. 647. ταχύ γ' ἂν δύναιο μανϑάνειν περὶ ῥυϑμῶν. Eccl. 801. πάνυ γ' ἂν οὖν Ἀντισϑένης | αὔτ' εἰσενέγκοι. Ran. 1261. πάνυ γε μέλη ϑαυμαστὰ μέντἂν διετέϑην. Infra 1693. εὖ γε.

καλῶς γε — οὐκ ἔκυσας] Cf. Eq. 1377. σοφός γ' ὁ Φαίαξ δεξιῶς τ' οὐκ ἀπέϑανε. Si quidem sincera est ea locutio.

Στιλβωνίδη] Nomen proprium fortasse fictum, ut στρατωνίδης Ach. 596. Γναϑωνίδης Lucian. Fug. III. 375. Nomen Στιλβίδης legitur Pac. 1031. Similia sunt Μαριλάδης, Πρινίδης, σπουδαρχίδης, μισϑαρχίδης, Ach. 609. 612. 595—597. πουλυχαρίδας Lys. 1098. 1242. Neutra placet scholiastarum interpretatio.

Schol. ὦ Στιλβωνίδη: Ὦ λαμπρὲ καὶ ἀπὸ βαλανείων κεκαλλωπισμένε. — ἢ ἁπλῶς ὄνομα κύριόν τινος λέγει. R. ἢ Στίλβωνος παῖ. διασύρει δὲ τοῦτον, ὡς παῖδα ἔχοντα.

141. προσηγάγου] Xen. Cyr. VIII, 4. 27. Χρυσάνταν δ' ἐφίλησε προσαγαγόμενος. VII. 5. 39. προτείνων ὁ Κῦρος τὴν χεῖρα προσήγετο αὐτούς (Ko.)

Schol. οὐκ ἔκυσας, οὐ προσεῖπας: Ἀντὶ τοῦ περιεπλέξω. ὁ μὲν γὰρ τὰς τῆς γαστρὸς τρυφὰς ἐβούλετο, ὁ δὲ τὰς αἰσχρὰς ἡδονάς. προσηγάγου δὲ ἀντὶ τοῦ πρὸς ἑαυτὸν ἔλαβες εἰς συνουσίαν.

142. ὠρχιπέδισας] Lascive contrectasti. V. schol. Hesychius, Ὀρχιπεδίζειν: τὸ κακοσχολεύεσϑαι παρὰ τοῖς παισίν. Phot. p. 351, 15. ὀρχιπεδεῖν: τὸ περὶ τὰ παιδία κακοσχολεῖσϑαι. Ab ὀρχίπεδον Av. 442. Eq. 772. Pl. 956. Cf. Phot. p. 204, 13. Λακκόπεδον: τοὺς ὄρχεις. Nequam vox est οἰκόπεδον Aeschin. I. 83. Infra 443. ὀρχίπεδ' ἕλκειν.

πατρικὸς φίλος] Paternus amicus. Cf. Plat. Lach. 180. καὶ γὰρ πατρικὸς ἡμῖν φίλος τυγχάνεις ὤν. Plat. Men. 92. τὸν πατρικὸν τόνδε ἑταῖρον.

Aesch. 61, 3. *πατρικὸς φίλος*. Thuc. VIII. 6. *πατρικὸς — ξένος*. Andoc. 21, 13. *πατρικὸς ξένος*. Lys. 163, 29. *πατρικὸν ἐχθρόν*. Isocr. p. 79 D. *πατρικοὺς ἐχθρούς*. p. 108. *τῶν πατρικῶν ἐχθρῶν*. p. 367. *ὤν μοι ξένος πατρικός*. Dem. 530, 8. *ἔχθρας αὐτοῖς ὑπαρχούσης πατρικῆς*. Thuc. VII. 69. *πατρικὰς ἀρετάς*.

[*Schol.*] *ὠρχιπέδησας*: *Ἀντὶ τοῦ τῶν ὄρχεων ἥψω καὶ κατέσχες αἰσχρῶς. (δειλακρίων δέ, δειλότατε, κακόδαιμον.) ἐν ἤθει δέ, ἢ ἀληθῶς λέγει.*

143. Cf. Eq. 1218. *οἴμοι τῶν ἀγαθῶν δσων πλέα* (*ἡ κίστη*). (Ubi similis constructio est.) Ach. 1210. *τάλας ἐγὼ ξυμβολῆς βαρείας*.

δειλακρίων] Miselle, miserrume. Cf. ad Pac. 193. Sic *μαλακίων* Eccl. 1058. Confer etiam nomina propria *Ἀγκυλίων, Καμπυλίων*. Simplex *δειλάκρα* est Pl. 973.

145. *μηδαμῶς ἡμῖν γε* —] Sic Vesp. 1179. *μή μοί γε μύθους*.

τὴν ἐρυθρὰν θάλατταν] "Probably to an Athenian this suggested vaguely the ends of the earth. Cf. Eq. 1088, where the sausage-seller beats Cleon's oracle, which said that Demus was to rule *πάσης γῆς*, by adding *καὶ γῆς καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης*." (Gr.) "This has been differently taken. Some geographers understand by it the Indian Ocean; others the Persian Gulf (Wesseling on Herod. p. 256, 10.); others the Red Sea, commonly so called (Wesseling on Diod. Sic. I. 23. and Reland's Dissertation on the Red Sea)." (Cook.)

Schol. *παρὰ τὴν ἐρυθρὰν θάλασσαν*: *Ἡ ἐρυθρὰ θάλασσα παρὰ τὸν ἀνατολικὸν Ὠκεανόν.* [[*κατὰ δὲ ἄλλους τὴν εὐδαίμονα Ἀραβίαν λέγει.*]]

146. *ἀνακύψεται*] Emerget in conspectum. Anglice, will pop up, will heave in sight. Cf. Ran. 1068. *παρὰ τοὺς ἰχθῦς ἀνέκυψεν*. Plat. Phaed. 109 E. *ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε*. "Innuit proculdubio Alcibiadis calamitatem, quem ad bellum Siculum missum populus missa Salaminia navi revocavit, ut judicium capitis subiret: quod evenerat belli a. 17, ut narrat Thuc. VI." (Palmer.)

147. *ἡ Σαλαμινία*] Navis publica, quae paucis ante hanc fabulam mensibus in Siciliam missa erat Alcibiadis reportandi caussa, qui inter *ἑρμοκοπίδας* esse videretur. De quo vide argumenti Graeci scriptorem, qui minus accurate *ἐπὶ Ἀριμνήστου τοῦ πρὸ Χαβρίου*, id est anno ante hanc fabulam, factum dicit, et Thucydidem VI. 61. Cf. Clinton. Fast. Hellen. vol. 2. p. 74. DIND. Cf. 1204. *Πάραλος ἢ Σαλαμινία;* Dem. p. 97. *ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, εἰσαγγελία, Πάραλος, ταῦτ' ἐστὶν ἱκανά*. Plut. Alc. 21. *οὐ μὴν ὅ γε δῆμος τὴν ὀργὴν ἅπασαν ἀφῆκεν ἐνταῦθα, ἀλλὰ μᾶλλον ἀπαλλαγεὶς τῶν Ἑρμοκοπιδῶν ὥσπερ σχολάζοντι τῷ θυμῷ πρὸς τὸν Ἀλκιβιάδην ὅλως ἐρρύη καὶ τέλος ἀπέστειλε τὴν Σαλαμινίαν πρὸς αὐτόν*, etc. Thucyd. VI. 53. *καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ τῶν Ἀθηνῶν ἥκουσαν ἐπί τε Ἀλκιβιάδην, ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει*, etc. III. 33. *ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος καὶ φυγὴν ἐποιεῖτο· ὤφθη γὰρ ὑπὸ τῆς*

Σαλαμινίας καὶ Παράλου ἔτι περὶ Ἴκαρον ὁρμῶν (αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι), καὶ δεδιὼς τὴν δίωξιν ἔπλει διὰ τοῦ πελάγους etc.

Schol. *ἡ Σαλαμινία: Δύο εἰσὶ νῆες παρὰ τοῖς Ἀθηναίοις ὑπηρέτιδες, ἡ Πάραλος καὶ ἡ Σαλαμινία, ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν, ἣν ἐπ' Ἀλκιβιάδην φησὶ πεμφθῆναι Θουκυδίδης, ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν, τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα. — ἐπὶ τοῦ μάρτυρα.* R.

149. *τὸν Ἠλεῖον Λέπρεον*] Hoc oppidum plerumque *τὸ Λέπρεον* appellatur, sed Paus. 5, 5, 3. *πόλις ἐστὶν ἐν τῇ Τριφυλίᾳ Λέπρεος, καὶ Ἀριστοφάνης ἐποίησεν ὡς Λέπρεος εἴη πόλισμα Ἠλείων.* Mentio ejus est apud Thucydidem V. 34. *Λέπρεον κείμενον ἐπὶ τῆς Λακωνικῆς καὶ τῆς Ἠλείας.* 31. 49. Incolae ejus *Λεπρεᾶται* audiebant (Herod. IX. 28.). "Why Lepreum [Lepreus? cf. 149.] is recommended is not quite clear. Wieland supposes that it is because there was great licence and freedom of living there. It had been seized by the Spartans, and settled with enfranchised Helots, four years before the date of this play." (Gr.)

Schol. *τί οὐ τὸν Ἠλεῖον Λέπρεον: Καθ' ὑφαίρεσιν τοῦ ι τὸ Λέπρειον εἶπεν. ἔστι δὲ τῆς Τριφυλίας πλησίον, πόλις τῆς Πελοποννήσου. Λέπρεον δὲ Δίδυμός φησιν ὠνομάσθαι ἢ διὰ τὸ τὴν χώραν αὐτῶν λέπειν· διαφαίνονται γὰρ ἐκ τῆς ὀρεινῆς· πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας τῷ χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπριῶσι, καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους· (ἢ διὰ τὸ τοὺς πρώτως οἰκήσαντας τὴν πόλιν ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. τοὺς οὖν (μὲν οὖν?) πλησιοχώρους Λεπρεώτας αὐτοὺς καλεῖν· τοὺς δὲ, μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, Λέπρεον τὴν πόλιν καλέσαι. οὐδετέρως γὰρ λέγεται ἡ πόλις τὸ Λέπρεον. ὁ δὲ ἀρσενικῶς εἶπεν.)*

150. *ὅσ' οὐκ ἰδών*] Quantum qui non viderim. Vide annot. crit.
Schol. [*ὅς οὐκ ἰδών: Ἀλλ' ἐξ ἀκοῆς μαθών. πλεονάζει δὲ τὸ ὅς.*]

151. *ἀπὸ Μελανθίου*] Propter Melanthium. Cf. 489. "Poeta is fuit tragicus, cujus ideo meminit comicus quia lepram habebat." BR. V. schol. et Pac. 804. 1009. De Melanthio dixit Meinekius Fr. Com. I 205. 59.

Schol. *ἀπὸ Μελανθίου: (Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. κωμῳδεῖται γὰρ εἰς μαλακίαν καὶ ὀψοφαγίαν. Πλάτων δὲ αὐτὸν ἐν Σκευαῖς ὡς λάλον σκώπτει. Καλλίας Πεδήταις "τίς ἄρα τοὺς Μελανθίου τῷ γνώσομαι, | οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς.") εἶχε Μελάνθιος λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν.*

152. *ἕτεροι*] Praeterea. Anglice, besides. Cf. ad Soph. Phil. 38. Plurale ponit per appositionem ad *Ὀπούντιοι*, quod quasi nomen loci vel regionis est. Schol: *λείπει τόποι.*

Ὀπούντιοι] Apposition zu *ἕτεροι*. Strab. IX. 425. *ὁ Ὀποῦς ἐστι μητρόπολις (τῶν Λοκρῶν). ἀπέχει δὲ τῆς θαλάττης περὶ πεντεκαίδεκα σταδίους* (Lepreon wohl noch weiter; vgl. 146.). *Κῦνος δ' ἐστὶ τὸ ἐπίνειον. μεταξὺ δὲ Ὀποῦντος καὶ Κύνου πεδίον εὔδαιμον.* (Ko.)

Schol. ἀλλ' εἰσὶν ἕτεροι: *Λείπει τόποι. Ὀποῦς δὲ πόλις Λοκρίδος. (ἧς μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ* [531] "*Ὀπόεντά τε Καλλίαρόν τε.*") — *Ὀπουντίους δὲ τοὺς τυφλούς φασι.* R.

153 sq. Similiter Dio Chrys. Or. XXXIII. p. 407 D. *γυναικὶ μὲν δὴ τοιαύτῃ ξυνοικεῖν οὐδεὶς ἂν ἐθελήσειεν οὐδὲ ἐπὶ πενταχοσίοις ταλάντοις.*

Ὀπούντιος] Nomen proprium viri cujusdam illius temporis, qui luscus erat. Cf. 1294. *Ὀπουντίῳ δ' ὀφθαλμὸν οὐκ ἔχων κόραξ* (*ὄνομα ἦν*).

Schol. (*ἀλλ' ἔγωγ' Ὀπούντιος: Οὗτος συκοφάντης πονηρὸς καὶ μονόφθαλμος. ἔπαιξεν οὖν ὅτι οὐκ ἂν γενοίμην τυφλός. Ἄλλως. ὅτι ἑτερόφθαλμός τις ἦν, ὅθεν οὕτω τοὺς τυφλούς φασιν.*)

154. *ἐπὶ ταλάντῳ* —] Anglice, for a talent.

156. *ἐς τὴν τριβήν*] Ad degendum. Ut *δυστυχῆ τρίβειν βίον* dicitur et similia. Sed reponendum suspicor *ἐς διατριβήν.*

Schol. *ἐς τὴν τριβήν: Ἀπὸ μεταφορᾶς τῶν εὐυφῶν ἱματίων, τῶν ὑπομενόντων εἰς τρίψιν καὶ φόρεσιν πολλοῦ χρόνου.* (*Ἄλλως. ὡς ἐπὶ ἐσθῆτος ἡ μεταφορά, ἀντὶ τοῦ εἰς τὴν διατριβήν.*)

157. *Schol.* *ἄνευ βαλλαντίου: Ἀντὶ τοῦ, ἄνευ ἀργυρίου καὶ δαπάνης.*

158. *κιβδηλίαν*] Proprie de nummis dicitur; infert autem hanc vocem quia alter dicebat sine crumena, i. e. sine nummis vivi apud aves. BR. Anacreon Athen. 533 E. *κίβδηλον εὑρίσκων βίον.* "By what you say you at once rid life of much that is counterfeit." (Gr.)

Schol. *κιβδηλίαν: Τὸν ἐκ τοῦ ἀργύρου ῥύπον. μοχθηρίαν καὶ ζηλοτυπίαν. ἅμα δὲ ὅτι τὰ νομίσματα κίβδηλα λέγεται παρὰ τὸ ὑπὸ Χίων δεδηλῆσθαι.* [[*Ἄλλως. κίβδηλα ἐλέγετο νομίσματα τὰ ὑπὸ Χίων δεδηλημένα, ἤτοι βεβλαμμένα, κατὰ τροπὴν τοῦ χ εἰς κ. Ἀθηναῖοι γὰρ καὶ Χῖοι πρὸς ἀλλήλους ἐμάχοντο, διὸ τὰ Χίων νομίσματα μετὰ τοῦ χ στοιχείου Ἀθηναῖοι ἐγχαράξαντες ἀπεστρέφοντο, καὶ ἐκάλουν αὐτὰ χίβδηλα ὡς διὰ τοῦ χ στοιχείου δῆλα ὄντα. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν τὸ δεδολωμένον νόμισμα κίβδηλον ὠνόμασεν, ἐναλλάξασα τὰ στοιχεῖα πρὸς τὸ εὐγλωττότερον.*]]

159. *τὰ λευκὰ σήσαμα*] Sesami siliquas. Cf. Plin. N. H. 8, 10, 22. sesama ab Indis venit; color ejus candidus. Vesp. 676. *πυρόν, μέλι, σήσαμα.* Philippid. com. IV. 473. *πλακοῦντες, ἐπιδορπίσματ', ᾠά, σήσαμα.* Theophr. de caus. pl. 6, 12, 12. *ἔνια ἁπαλὰ μὲν ὄντα ἄβρωτα, ξηραινόμενα δὲ ἐδώδιμα διὰ τὸ συνεκπέττεσθαι τὸ πικρὸν ὑπὸ τοῦ ἡλίου, καθάπερ τὸ σήσαμον καὶ τὸ ἐρύσιμον. τούτων γὰρ χλωρῶν ὄντων οὐδὲν ἅπτεσθαι δοκεῖ ζῷον διὰ τὴν πικρότητα καὶ δυσχυμίαν, ξηρανθέντων δὲ μᾶλλον, οἱ δὲ δὴ καρποὶ καὶ ἡδεῖς.* "Plaut. Poen. 1, 2, 113. sesamum papaveremque, triticum et frictas nuces. Petron. Sat. 1 a. E. melliti verborum globuli et omnia dicta factaque quasi papavere et sesamo sparsa." (Ko.) *Σήσαμον* est sesamum orientale, cujus semina aut flava (*λευκὰ*) aut nigra esse perhibentur. Hodie semina ejus cocta oryzae instar comeduntur. "The seeds of Sesamum Indicum are strewed on cakes in Egypt, and communicate to than a nutty flavour." (Hogg's Veg. Kingdom.) Ipsa planta

leguminosa est σησάμη, cujus semina sunt σήσαμα (Hippon. 27. Sol. 39. Herod. 1, 193). Hinc σησαμῆ, σησαμοῦς, σησαμίς. Cf. ad Pac. 869.

Schol. εἴδη φυταρίων. R. V.

160. μύρτα] Myrti baccas. Cf. Pac. 575. τῶν τε σύκων τῶν τε μύρτων. Virg. G. I. 306. cruentaque myrta.

μήκωνα] I. e. papaverum semina. Anaxandr. com. III. 184. μήκων, — σήσαμα. Euphron. com. IV. 494. μήκωνος ἐπιπάσας ἄνω | κόκκους μελίνης — δώδεκα. Thuc. IV. 26. μήκωνα μεμελιτωμένην καὶ λίνου σπέρμα κεκομμένον. Herod. II. 92. τὸ ἐκ μέσου τοῦ λωτοῦ, τῇ μήκωνι ἐὸν ἐμφερὶς, πτίσαντες etc. Hippocr. p. 289. μήκωνα τρίψας. Thuc. IV. 26. μήκωνα μεμελιτωμένην. Bekk. Anecd. 274, 31. Κώδη: ὁ καρπὸς τῆς μήκωνος. Theophil. ap. Athen. 587 F. Μηκωνίδ' ἢ Σισύμβριον.

σισύμβρια] Menthae hirsutae folia. Cf. Pher. com. II. 253. λαλεῖτε περὶ σισυμβρίων κοσμοσανδάλων τε. Cratin. II. 146. ἁπαλὸν δὲ σισύμβριον ἢ κρίνον ἢ ῥόδον etc. II. 72. II. 82. Theophr. H. Pl. 6, 1, 1. ἐν τοῖς στεφανωτικοῖς ἕρπυλλος, σισύμβριον. 6, 6, 2. τῶν μὲν τὸ ἄνθος μόνον χρήσιμον, τῶν δὲ καὶ οἱ κλῶνες καὶ τὰ φύλλα καὶ ὅλως ἡ πᾶσα φύσις εὔοσμος, οἷον ἑρπύλλου, σισυμβρίου." (Ko.)

Schol. σισύμβρια: Φύλλα τινὰ οἷς στεφανοῦνται οἱ νυμφίοι.

161. ὑμεῖς μὲν ἄρα —] Angliee vertas, You at least then, it seems, live etc. Ἄρα hic exclamatio est, non particula interrogativa. Cf. 1530. ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο. 1688. ἐς καιρὸν ἄρα κατεκόπησαν οὑτοιί. 1446. λόγοισιν ἄρα καὶ πτεροῦνται. ΠΕ. φήμ' ἐγώ. Pl. 920. νὴ Δία πονηρόν γ' ἄρα (f. τἄρα) προστάτην ἔχει. Lys. 933. νὴ ΔΓ ἀπολοίμην ἄρα (ubi v. annot.) Vesp. 839. τοῦτ' ἄρα πρῶτον — εἰσακτέον μοι. Nub. 1301. φεύγεις; ἔμελλόν σ' ἄρα κινήσειν ἐγώ. Vesp. 460. ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ (ubi v. annot.). Cratin. com. V. 16. ἦν ἄρ' ἀληθὴς ὁ λόγος ὡς δὶς παῖς γέρων. Soph. Oed. C. 1400. οἷον ἄρ' ὁδοῦ τέλος —. Aj. 738. βραδεῖαν ἡμᾶς ἄρ' ὁ τήνδε τὴν ὁδὸν | πέμπων ἔπεμψεν. 980. ὤμοι βαρείας ἄρα τῆς ἐμῆς τύχης. Soph. Colch. Fr. 317. ὑμεῖς μὲν οὐκ ἄρ' ἤστε τὸν Προμηθέα. Eur. Iph. A. 876. μεμηνὼς ἄρα τυγχάνει πόσις. Iph. T. 932. ταῦτ' ἄρ' ἐπ' ἀκταῖς κἀνθάδ' ἠγγέλθης μανείς. El. 1229. φονέας ἔτικτες ἆρά σοι. Cycl. 638. ταυτὸν πεπόνθατ' ἄρ' ἐμοί. Or. 1512. ἐνδίκως ἡ Τυνδάρειος ἄρα παῖς διώλετο.

νυμφίων βίον] Vitam sponsorum: quia sponsis talia dabantur. Schol: σισύμβρια: φύλλα οἷς ἐστεφανοῦντο οἱ νυμφίοι. et ad Pacem v. 869. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σησαμῆν διδόναι, ὅς ἐστι πλακοῦς γαμικὸς ἀπὸ σησάμου πεποιημένος, διὰ τὸ πολύγονον. BE. Proverbium erat νυμφίου βίος. Sisymbriis foliis et myrteis coronabantur recens sponsi. Ovid. Fast. IV. 869. Cumque sua dominae (Veneri) date grata sisymbria myrto. De placentis sesaminis in nuptiis adhiberi solitis v. ad Pac. 869. ὁ πλακοῦς πέπεπται, σησαμῆ ξυμπλάττεται. ibique schol.

Schol. [[νυμφίων βίον: Ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται, ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.]]

162. Cf. Lys. 1031. ἡ μέγ', ὦ Ζεῦ, χρῆμ' ἰδεῖν etc. Fr. 313. ἡ μέγα τι βρῶμ' ;—. Vesp. 1454.

ἐνορῶ] Cf. Herod. VIII. 140. ἐνορέω ἐν ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι.. πολεμέειν Ξέρξῃ· εἰ γὰρ ἐνώρων τοῦτο ἐν ὑμῖν, οὐκ ἂν κ. τ. λ. The whole sense is: I see a mighty plan possible for the race of birds, and a power by which it may be effected. (Gr.)

βούλευμ'] Consilium. Anglice, plan.

Schol. φεῦ φεῦ: Ἔστι μὲν καὶ σχετλιαστικὸν καὶ θαυμαστικόν, νῦν δὲ θαυμαστικόν.

163. δύναμιν] Cf. 455. δύναμίν τινα μείζω | παραλειπομένην ὑπ' ἐμῆς φρενὸς ἀξυνέτου. Pl. 200. ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε | ἔχειν με, ταύτης δεσπότης γενήσομαι.

ἣ γένοιτ' ἄν] Anglice, which may be realised.

165. κεχηνότες] Cf. Eq. 1263. τῇ Κεχηναίων πόλει (sc. Athenis).

Schol. [[περιπέτεσθε: Ἀντὶ τοῦ, ἕνα τόπον ἔχετε.]]

κεχηνότες: Ὡς μωροί. τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀνοήτων παραλαμβάνεται.

166. τοὔργον] Anglice occupation. Cf. 1430. τουτὶ γὰρ ἐργάζει σὺ τοὔργον;

αὐτίκα] Exempli gratia. Angl. to take an instance. It is used when the first instance is given in immediate proof of an assertion. (Gr.). Cf. 378. 483. 574. 786. 1000. Th. 151. Pl. 130. et saepe apud Platonem.

Schol. (αὐτίκα: Οἷον εὐθέως. ἅμα τῷ πυθέσθαι ὅτι τις ἄστατος εὐθέως ἄτιμον νομίζουσιν.)

167. τοὺς πετομένους metaphorice accipio pro hominibus inconstantibus, variis, et mutabilibus, et ita verto hunc locum: Illic apud nos, si quis de illis quos volitare dicimus interroget: Quaenam est haec avis? Teleas haec dicet: Homo est, avis inaequaliter volitans, vaga (itineris incerti), numquam in eodem loco manens. Haec autem Teleam de aliis dicere facit comicus, quia Teleas ipse erat talis. BE. Sic de aliis quae revera ad ipsum spectant dicere fingitur Theognis Vesp. 1183—1185. De constructione cf. ad 1441 infra. Nub. 144. ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης | ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας. 1148. καί μοι τὸν υἱὸν εἰ μεμάθηκε τὸν λόγον | ἐκεῖνον εἴφ' —. Vesp. 1284. Ach. 338. Homer. Il. ζ. 239. εἰρόμεναι παῖδάς τε κασιγνήτους τε ἔτας τε | καὶ πόσιας. i. e. περὶ παίδων etc. Anglice reddas, concerning those who are flighty, inconstant, fickle (as birds). Cf. Eur. Bacch. 332. νῦν γὰρ πέτει τε καὶ φρονῶν οὐδὲν φρονεῖς. Soph. Oed. R. 487. πέτομαι δ' ἐλπίσιν.

Schol. τοὺς πετομένους ἢν ἔρῃ: Ἀντὶ τοῦ, περὶ τῶν πετομένων. ἔστι δὲ Ὁμηρικὸν [Il. ζ. 239.] τὸ σχῆμα· "εἰρόμεναι παῖδάς τε κασιγνήτους τε." ὁ δὲ Τελέας σκωπτικὸς ἄνθρωπος. λέγει δὲ ὅτι, ἤν τις ἐρωτήσῃ περὶ τῶν πετομένων, τίς ὄρνις οὗτος, ὁ Τελέας ἐρεῖ ταῦτα. οὗτος δὲ διεβάλλετο ὡς εὐμετάβλητος τοὺς τρόπους. πρὸς γὰρ τῇ ξενιλίᾳ καὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ (καὶ νοσφισμῷ) καὶ πονηρίᾳ ὀνειδίζουσι τὸν Τελέαν.

168. "Aristophanes everywhere uses ὄρνις as a spondee. But the opening of the Tyrus of Sophocles seems to be alluded to, τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων; part of which is again quoted in v. 269." (Cook.) 270 Corripitur posterior in ὄρνις etiam Soph. El. 149. Eur. Herc. 72.

ὁ Τελέας] Hunc Teleam tamquam helluonem notat in Pac. 1008. Forte et aves libenter comedebat; hinc de iis loqui scit, et infra 1025. ab isto se in Avium civitatem quidam missum dicit. A Phrynicho autem notatus fuit tanquam ἀνώμαλος, i. e. ἀστάθμητος, ἀτέκμαρτος, ut ipsius Teleae verbis utar, ut suum ipsius ingenium describat. Locum Phrynichi citat schol. ad v. 11. Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην, ἀνωμάλους εἶπας πιθήκους. Apud Suidam dicitur εὐμετάβλητος, mutabilis. BE. Fortasse etiam in nomine ejus allusio fit ad avem ἐλεᾶς (332. 885.), quae terminatio etiam in aliis avium nominibus obtinet, ut πελεκᾶς, βασκᾶς, βοσκᾶς, etc. Cf. Hermipp. ap. Plut. V. Per. 33. λόγους μὲν | περὶ τοῦ πολέμου δεινοὺς παρέχει, | ψυχὴν δὲ Τέλητος ὑπέστης. Similiter Theogenes loqui fingitur Vesp. 1183.

Schol. (τίς ὄρνις οὗτος ὁ Τελέας: Πλάτων Σύρφακι ἐπὶ τοῦ Τελέου "ποεῖ μὲν ἕτερ', ἕτερα δὲ τῇ γλώττῃ λέγει." κωμῳδεῖται δὲ εἰς πολλά. Σύμμαχος δὲ πρὸς οὐδὲν, ἢ ὅτι Τελέας ὄρνεον, ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς [885] ὄρνεόν τι καταλέγει "τελέᾳ καὶ τετράδι καὶ ταῶνι καὶ βασιλίσκῳ." — διαβάλλει τὸν Τελέαν ὡς πλανήτην. V.

169. ἄνθρωπος ὄρνις] Redde: a man of a bird-like character, ever on the wing. Cf. 1009. ἄνθρωπος Θαλῆς. 1559. ἀμνὸν κάμηλον. Ran. 207. βατράχων κύκνων. Pherecr. Athen. 268 F. ἐν καταχύτλοις λεκάναισι. Eupolis Fr. Inc. 78. ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος. Eur. Cycl. 104. ἄνδρα κρόταλον. Diogen. III. 39. Ἄνθρωπος Εὔριπος: ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων. (Ut alibi Τύχη Εὔριπος. Cf. Bekk. Anecd. p. 404. ἄνθρωπος Εὔριπος.) Aeschin. I. 170. ὑπὸ ἀνθρώπου τεχνίτου λόγων. Diogen. VI. 98. Κεραμεὺς ἄνθρωπος: ἐπὶ τοῦ σαθροῦ.

ἀστάθμητος] I. e. cujus ingenium explorari nequit. Cf. Eur. Or. 970. βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών. Plat. Lys. 214. τοὺς δὲ κακοὺς — μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς εἶναι, ἀλλ' ἐμπλήκτους τε καὶ ἀσταθμήτους. Dem. p. 383. ὡς ὁ μὲν δῆμός ἐστιν ἀσταθμητότατον πρᾶγμα τῶν πάντων καὶ ἀσυνθετώτατον (al. ἀσυνετ.), ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον. Plut. Them. 2. ἀνώμαλος ἦν καὶ ἀστάθμητος. Heliod. Aeth. VI. 9. οὐκ ἐννοήσεις ἄνθρωπος οὖσα, πρᾶγμα ἀστάθμητον καὶ ὀξείας ῥοπὰς ἐφ' ἑκάτερα λαμβάνον; V. 4. ἀστάθμητόν τι τὸ ἀνθρώπειον καὶ ἄλλοτε πρὸς ἄλλα φερόμενον. Chion Ep. 7. ἀλλὰ τὸ ἀστάθμητον αὐτοῦ καὶ πετόμενον οὐδὲ ταύτην ἐπιδέχεται τὴν φρόνησιν. Iamblich. VI. 5. ἔμπληκτος καὶ ἀστάθμητος.

Schol. ἀστάθμητος: Ἄνισος. ἄστατος. Vict.

170. οὐδέν] Nihil, homo nihili. Virgula enim distinxi post οὐδέν.

ἀτέκμαρτος] Incertus ap. Stob. 98, 66. ἀτέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστὸν etc.

οὐδέποτ' ἐν ταὐτῷ μένων] Cf. Vesp. 969. κοὐδέποτ' ἐν ταὐτῷ μένει. Epich. Fr. 94, 15. ὃ δὲ μεταλλάσσει κατὰ φύσιν κωὔποκ' ἐν τωὐτῷ μένει. Soph.

Fr. 93. *οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.* Eur. Ion. 969. *οὐδὲν ἐν ταὐτῷ μένει.* Hel. 1026. *Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν.* Tro. 350. *ἔτ' ἐν ταὐτῷ μένεις.* Herod. I. 5. *τὴν ἀνθρωπηΐην ὦν ἐπιστάμενος εὐδαιμονίην οὐδαμὰ ἐν τὠυτῷ μένουσαν* etc. Plat. Euth. 12. *μὴ μένειν ἐν τῷ αὐτῷ.* Euthyd. 288. *ἔοικεν — οὗτος μὲν ὁ λόγος ἐν ταὐτῷ μένειν.* Phaed. 90 C. *ἀτεχνῶς ὥσπερ ἐν Εὐρίπῳ ἄνω καὶ κάτω στρέφεται καὶ χρόνον οὐδένα ἐν οὐδενὶ μένει.* Parm. 139. *τό γε μηδέποτε ἐν τῷ αὐτῷ ὄν.* Gorg. 527. *οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν.* Xen. Mem. 4, 3, 6. *περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις.* Apte conferas etiam poetae Anglice verba, all things bystarts, and nothing veri long.

Schol. (*ἀτέκμαρτος: Οἷον, σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων. μωμᾷ δὲ ψέγεις.*) — *δόλιος.* R.

171. Cf. Eccl. 189. *νὴ τὴν Ἀφροδίτην εὖ γε ταυταγὶ λέγεις.* Bene repeti *γε* monuit Elmsleius (ad Ach. 93) ubi propriam vim particula utrobique servat.

172. *τί ἂν οὖν ποιοῖμεν;*] Cf. 198. *τίς ἂν οὖν — διηγήσαιτο;* Lys. 191. *τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος;* Vesp. 348. *τίς ἂν οὖν εἴη;* Thesm. 707 *τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις;* Sic etiam *πῶς ἂν οὖν* dicitur. Infra 1640. *τί δαὶ ποιῶμεν;*

Schol. [*μίαν πόλιν: Καλεῖ νῦν πόλιν τὸ περιέχον ἅπαν.*]

174. *ἄληθες;*] Cf. Eq. 88. *πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;* | *ΟΙ. Β. ἄληθες, οὗτος;* (*ἄληθες; οὕτω —;?*)

ὦ —] Cf. Soph. Phil. 1402. *ὦ γενναῖον εἰρηκὼς ἔπος.*

175. Cf. Nub. 1097. *σκόπει. ΑΙ. καὶ δὴ σκοπῶ.*

Schol. *βλέπε νῦν ἄνω: Ὡς καὶ τὰ ἐν κύκλῳ ἰδεῖν.* [[*διαστραφήσομαι δέ,*] *τὸν τράχηλον κλάσω.*

177. *ἀπολαύσομαί τι*] Cf. Eur. Iph. T. 526. *ἀπέλαυσα κἀγώ δή τι τῶν κείνης γάμων.* Xen. Lac. VI. 1. *ὡς ἂν — ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθόν.* Plat. Apol. 31 B. *εἰ — τι ἀπὸ τούτων ἀπέλαυον.* Isocr. p. 175. *δέδοικα μὴ — αὐτὸς ἀπολαύσω τι φλαῦρον.* Herod. VII. 180. *τάχα δ' ἄν τι καὶ τοῦ ὀνόματος ἐπαύροιτο.* Lucian. Cont. 24. *ἀπόναιμην δέ τι διὰ σὲ τῆς ἀποδημίας* Dial. D. X. 2. *σιώπα — μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων.* Soph. Phil. 112. *κέρδος δέ μοι τί τοῦτον εἰς Τροίαν μολεῖν;* Nub. 259. *εἶτα δὴ τί κερδανῶ;* Infra 1358. *ἀπέλαυσα τἄρ' ἂν νὴ Δί' ἐλθὼν ἐνθάδε.* *Τι* omittitur infra 1358. *ἀπέλαυσα τἄρ' ἂν νὴ Δί' ἐλθὼν ἐνθαδί,* | *εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.* et alibi.

εἰ διαστραφήσομαι] Si collum (aut, ut vertit Kusterus, oculos) mihi distorsero. Anglice, if I shall get my neck twisted. Schol: *τὸν τράχηλον κλάσω.* Cf. Eq. 175. *εὐδαιμονήσω δ', εἰ διαστραφήσομαι;* Oppidum *Ὀρνίθων πόλις* inter Tyrum et Sidona situm memoratur Strab. XVI. p. 758.

179. Cf. Pl. 261. *οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.* Eadem constructio est Nub. 201. *ἀστρονομία μὲν αὑτηί.* Ran. 181.

ὀρνίθων πόλος] Avium polus, i. e. locus, in quo versantur aves, ut mox ipse explicat. Quid sit *πόλος* recte docet scholiasta, *τὸ περίεχον*

ἰσιν. Hesychius, *Πόλος: κύκλος*. Aesch. Prom. 430. *οὐράνιόν τε πόλον νώτοις ὀχῶν*. Euripides ap. schol: *καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον*. Eur. Chrys. Fr. 6. *τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς | εἰς οὐράνιον | πόλον ἦλθε πάλιν*. Timotheus Fr. 9 *πόλον οὐράνιον*. Epigr. ap. Athen. II. 61 B. *ὦ τὸν ἀγήραντον πόλον αἰθέρος ἥλιε τέμνων*. Plat. Epin. 986 C. *ἐν ᾧ διεξέρχεται τὸν αὑτοῦ πόλον*. Alex. com. III. 502. Ostendere vult Epops utramque vocem *πόλον* et *πόλιν* ab eadem significatione verbi *πολεῖσθαι* derivari, i. e. *παρὰ τὸ πολεῖσθαι ἐν αὐτῷ πάντα*. "The ancients called 'pole' not, as do the moderns, a particular point or the end of the axis, but the whole sphere. Schol. So 'polus' in Latin is used. But here *πόλις* and *πόλος* are punned on Epops not at once understanding, Peisthetaerus explains by the common word 'place.' Some ridicule of the new passion for astronomical science is intended. Cf. the scene with Meton v. 992." (Gr.)

Schol. ὀρνίθων πόλος: (*Τὸ μέν τι παραφράζει τὸ προειρημένον* (add. περὶ?) *τῶν ὀρνίθων, ὅτι ἔστι τόπος τις αὐτῶν ἐν ᾧ διατρίβουσι, τὸ δὲ καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει, τόπος καὶ πόλος. ἑξῆς δὲ ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ πολεῖσθαι. πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ "καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον," ὡς αὐτοῦ τε περιπολουμένου καὶ δι' αὐτοῦ πάντων ἐρχομένων.*) — *πόλος παρὰ τὸ πολεῖσθαι ἐν αὐτῷ πάντα*. R.

180. *Schol. θαυμάζει τὴν λέξιν*. R. V.

181. Redde: Quoniam vero illud *πολεῖται* et omnia per ipsum transeunt, propterea nunc vocatur polus. Ludit, ut videtur, in ambiguo sensu verbi passivi *πολεῖσθαι*, quod significat vel circumrotari vel frequentari. Schol: *ὡς αὐτοῦ τε περιπολουμένου καὶ δι' αὐτοῦ πάντων ἐρχομένων*. "Because this (the pole) turns, and all things pass (move about) through this, it is called the pole. But the phrase seems intentionally obscure; a scientific investigation that explained nothing to the simple birds." (Gr.)

πολεῖται] Circumrotatur. Cf. Plat. Crat. 405 C. *τὴν ὁμοῦ πόλησιν καὶ περὶ τὸν οὐρανὸν* —. 408. *ὁ λόγος τὸ πᾶν σημαίνει καὶ κυκλεῖ καὶ πολεῖ ἀεί*. Phaedr. 246. *πᾶσα ἡ ψυχὴ — οὐρανὸν περιπολεῖ*. Aesch. Pers. 307. *νῆσον Αἴαντος πολεῖ*. Prom. 645. *ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολούμεναι | ἐς παρθενῶνας* etc. Eur. Or. 1269. Alc. 30. Soph. Oed. C. *εἰσορῶ τάσδ' — ὧδε προσπολουμένας*. (Hinc nomen *πρόσπολος*.) Confer etiam *ἀμφιπολεῖν, περιπολεῖν*. *Πολίζειν πόλιν* sst Hesiod. Fr. 39, 5. et Fr. 80, 5. Il. υ. 217. Nisi sensus potius est frequentatur. V. Blomf. ad Prom. 666.

τοῦτο] Sc. *πόλος*. Cf. ad Pac. 1248. Ran. 1366. Lys. 359. Th. 813.

διέρχεται ἅπαντα] Sc. *τὰ πετεινὰ δι' αὐτοῦ*.

Schol. ὅτι δὲ πολεῖται: *Ὑπετυμολογεῖν βούλεται τὸν πόλον*.

182. *νῦν*] Nunc quidem. Emphatice, mox enim sequitur *ἢν δ' οἰκίσητε* etc.

183. *ἢν δ'* —] Haec respondent praecedenti *νῦν* (i. q. *νῦν μέν*).

Schol. ἣν δ' οἰκίσητε τοῦτο: Οἱονεὶ τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐὰν περιτειχίσητε.

184. κεκλήσεται] Nomen habebit. Quae vis hujus futuri notissima est.

Schol. κεκλήσεται πόλις: Ἔπαιξε παρὰ τὸ πόλος σχηματίσας τὴν πόλιν.

185. *Schol.* ὥσπερ παρνόπων: [Εὐχείρωτοι γὰρ οἱ πάρνοπες. ἔστι δὲ] εἶδος ἀκρίδων. οἱ δὲ κωνώπων λέγουσι.

186. Cf. 1516. Pac. 409—413.

λίμῳ Μηλίῳ] Melios enim uno anno antea Nicias oppresserat fame ad deditionem coactos. PALMER. V. Thuc. V. 84. Zenob. IV. 94. Aliter explicant Phot. et Apost. XII. 3. In proverbium apud Graecos abiit fames Melia, ut apud Romanos fames Saguntina, et fames Perusina. (Lucan. I. 41).

Schol. (τοὺς δ' αὖ θεοὺς: Ἐν τοῖς Πελοποννησιακοῖς κατὰ πάντα (τῶν?) Μηλίων Νικίαν πέμψαντες Ἀθηναῖοι ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτοὺς ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποστῆναι αὐτῶν πρώην ὑποτελῆ οὖσαν.)

λιμῷ Μηλίῳ: Ἀντὶ τοῦ μεγίστῳ. Μῆλος δέ ἐστι πόλις Θεσσαλίας. καὶ οἱ Μήλιοι πολιορκούμενοι ὑπὸ Ἀθηναίων λιμῷ ἐπιέσθησαν καὶ παραδώκασιν ἑαυτούς, [[ὡς Θουκυδίδης ἐν τῇ πέμπτῃ.]]

187. ἐν μέσῳ — γῆς] Supplendum καὶ οὐρανοῦ. In coelo enim Dii, in aere aves habitant. Infra 551. κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ τῶν τουτὶ τὸ μεταξὺ περιτειχίζειν. Similis ellipsis est in Aeschyl. Choeph. 61. τὰ δ' ἐν μεταιχμίῳ σκότου μένει (sc. καὶ φάους, quod e sensu supplendum). 146. ταῦτ' ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς. Xen. An. III. 1. 2. ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ. Cyr. V. 2. 26. τί δ', ἔφη, ἐν μέσῳ ἐστὶ τοῦ συμμῖξαι; Dem. p. 393. τὸ δὲ πλεῖστον τὸν μεταξὺ χρόνον διατριφθῆναι τοῦ τοὺς ὅρκους ἀπολαβεῖν (i. e. inter profectionem legatorum et jurisjurandi exactionem). Idem p. 233. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων. Plut. Lucull. 17. ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων μεταξὺ τοῦ βασιλέως — ἀπὸ ταὐτομάτου παρεισιόντος. Soph. Oed. C. 290. τὰ δὲ | μεταξὺ τούτου μηδαμῶς γίγνου κακός. Eur. Hec. 437. μέτεστι δ' οὐδὲν πλὴν ὅσον χρόνον ξίφους | βαίνω μεταξὺ καὶ πυρᾶς Ἀχιλλέως. Schol. Eur. Andr. 1262. Λευκὴν νῆσον, ἐν ᾗ διέτριβεν ὁ Ἀχιλλεὺς μεταξὺ τοῦ Εὐξείνου πόντου. Plena locutio est Xen. An. V. 2. 27. τὴν ἐν μέσῳ ἑαυτῶν καὶ τῶν πολεμίων ποιησάμενοι. Cf. ad Ach. 433—434. De constructione μέσος τινὸς cf. Alcaeum Fr. 17. γαίας καὶ νιφόεντος ὠράνω μέσσοι. Dicitur autem hic τὸ μεσουράνημα. S. Joann. Apoc. XIX. 17. πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι. "In Aesch. Cho. 61. ἐν μεταιχμίῳ σκότου is ἐν μεταιχμίῳ σκότου καὶ φάους, 'in the twilight;' the debateable space for which light and darkness contend. And the very word 'twilight' is the time 'tween light and darkness. In the passage of Aeschylus φάος has been mentioned just before, and

is therefore easily understood to be the other limit of the *μεταίχμιον*; and here the gods have just been mentioned, therefore they, or their place, is the other limit of the *μέσον*. Cf. also Eq. 434. and note there." (Gr.)

189. *Πυθῶδε*] Cf. Hom. Od. λ'. 581. *Πυθώδ' ἐρχομένην*. Altera forma *Πυθώναδε* (ab nom. *Πυθών*) legitur Pind. Ol. VI. 37. IX. 13. Sic *Πυθῶθεν* (Isth. I. 65) et *Πυθώνοθεν* (Pyth. V. 105).

Βοιωτοὺς δίοδον αἰτούμεθα] Plut. Pomp. 34. *οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηΐῳ δίοδον ἔδοσαν*. Thuc. V. 47. *ὅπλα δὲ μὴ ἐὰν ἔχοντας διιέναι διὰ τῆς γῆς τῆς σφετέρας μηδὲ κατὰ θάλασσαν, ἢν μὴ ψηφισαμένων τῶν πόλεων τὴν δίοδον εἶναι*. VII 32. *Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν*. Erant autem Boeoti hostes Atheniensium.

Schol. Βοιωτοὺς δίοδον αἰτούμεθα: (*Πολέμιοι ἦσαν οἱ Βοιωτοὶ τῶν Ἀθηναίων, συμβαλόντες Λακεδαιμονίοις διὰ Δεκέλειαν μαχομένοις. ὅτε οὖν θέλουσιν Ἀθηναῖοι εἰς Πυθὼ ἀπελθεῖν, δηλοῦσι Βοιωτοῖς παρακαλοῦντες ὑποχωρῆσαι τῆς ὁδοῦ. Ἄλλως.*) *τινές φασι μεταξὺ Πυθοῦς καὶ Ἀττικῆς εἶναι τὴν Βοιωτίαν, καὶ οὐχ οἷόν τε εἶναι ἀπελθεῖν Ἀθηναίους εἰς Πυθὼ, εἰ μὴ παρέλθωσι Βοιωτίαν. παίζει δέ· τότε γὰρ μόνον δίοδον ᾐτοῦσιν, ὅταν στράτευμα διάγῃ· ὅταν δὲ ὀλίγοι καὶ εἰρηνικῶς ἢ καθ' ἕνα, οὐκέτι.*

192. Idem versus infra 1218. Ibycus ap. schol: *ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει.*

Schol. καὶ τοῦ χάους: *Χάους ἀντὶ τοῦ ἀέρος νῦν, ὡς Ἴβυκος "ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει." διαφρήσετε, διαφορήσετε, διαπέμψετε. — Πυθῶδε: Πυθὼ ἡ τοῦ Ἀπόλλωνος πόλις·* [Hom. Od. Θ. 80.] "*Πυθοῖ ἐν ἠγαθέῃ*." Vict.

193. *διαφρήσετε*] I. e. *διαπέμψετε*. Scilicet formatum est *φρέω* ab *πρὸ* et *ἕω*, ut *φροῦδος* ab *πρὸ* et *ὁδός*. Vide ad Vesp. 125. *ἐξεφρίεμεν* (?). 156. *ἐκφρήσετε*. 162. *ἔκφρες*. 892. *ἐσφρήσομεν*. Zonaras, *Διαφρήσετε*: *διαπέμψετε*. Etym. p. 271 *διαφρῶ σημαίνει τὸ διακομίζω*. etc. Thuc. VII. 32. *ὁ Νικίας προπυθόμενος πέμπει ἐς τῶν* (*ἐς τὴν τῶν*?) *Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας — ὅπως μὴ διαφρήσουσι τοὺς πολεμίους. — Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν.*

194. *ἰοὺ ἰοῦ*] Cf. Plat. Hipp. maj. 291. *ἰοὺ ἰοὺ* (*ἰοῦ ἰοῦ*?) — *ἢ θαυμασίως — εἴρηκας.*

Parodia haec est juramenti istius *ἐμμέτρου*, *Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα*, de quo vid. Meinek. Fr. Com. III. 613. Consulatur etiam scholiasta. Eo juramento usum esse Demosthenem tradit Plutarchus V. Dem. c. 9. *ὁ Φαληρεὺς Δημήτριος* (*φησὶ τὸν Δημοσθένην*) *τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον ὥσπερ ἐνθουσιῶντα· μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα*. Mor. 845 B. *ὀμόσας τοῦτον τὸν τρόπον ἐν τῷ δήμῳ θόρυβον ἐκίνησεν*. Confer ejusdem Vit. decem orat. p. 845 D. Idem juramentum *παρῳδοῦσι* comici Antiphanes (307), et Timocles (37).

παγίδας — νεφέλας — δίκτυα] Cf. 527. *πᾶς τις ἐφ' ἡμῖν ὀρνιθευτὴς ἵστησι βρόχους, παγίδας, ῥάβδους, | ἕρκη, νεφέλας, δίκτυα, πηκτάς.* Alex. com. III. 409. *τοῖς ἄρτοις δσας | ἱστᾶσι παγίδας.* Amph. com. III. 310. *ἑτέραις τε τοιαύταισι παγίσι τοῦ βίου.* Athen. I. 25 C. *οὐδὲ τὸν ἀέρα δ' ἥρωες τοῖς ὄρνισιν εἴων ἐλεύθερον, παγίδας καὶ νεφέλας ἐπὶ ταῖς κίχλαις καὶ πελειάσιν ἱστάντες.* Batrachom. 115. *ξύλινον δόλον ἐξευρόντες, | ἣν παγίδα καλέουσιν.* Arist. II. 1217. ed. Mein. *αἱ τῶν γυναικῶν παγίδες.* Menand. IV. 253. *πρᾶον κακοῦργος σχῆμ' ὑπεισελθὼν ἀνὴρ | κεκρυμμένη κεῖται παγὶς τοῖς πλησίον.* Anth. Pal. VI. 109. *νευροτενὴς παγίς.* Anth. Pal. VI 11. 2. *θηρευτὴς δολιχὸν τόδε δίκτυον ἄνθετο Δαμῖς, | Πίγρης δ' ὀρνίθων λεπτόμιτον νεφέλην.* Artemidor. II. 11. *λίνα καὶ στάλικες, ποδάγραι, βρόχοι, καὶ πᾶσα ἀρκυοστασία, καὶ αἱ νεφέλαι λεγόμεναι.* Hom. Od. χ'. 304. *ταὶ μέν τ' (ὄρνιθες) ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται.* Soph. Tr. 831. *Κενταύρου φονίᾳ νεφέλᾳ.* Hesychius, *Νέφεα: λίνα θηρατικά.* Est autem *νεφέλη* retis tenuissimi species.

Schol. *μὰ νεφέλας: Νεφέλη* [[*οὐ μόνον ἡ καπνώδης τῆς γῆς ἀναθυμίασις, ἀλλὰ καὶ*]] *εἶδος δικτύου θηρευτικοῦ. οὕτω δὲ τὰ προστυχόντα ὤμνυον, μὰ κρήνας, μὰ γῆν, μὰ ποταμούς.*

195. *μὴ 'γὼ — ἤκουσά πω*] Constructio valde notabilis. Cf. Lys. 917. *μὰ τὸν Ἀπόλλω μή σ' ἐγὼ — κατακλινῶ χαμαί.* Ran. 508. *μὰ τὸν Ἀπόλλω μή σ' ἐγὼ | περιόψομἀπελθόντα.* Eccl. 999. *μὰ τὴν Ἀφροδίτην, ἥ μ' ἔλαχε κληρουμένη, | μὴ 'γώ σ' ἀφήσω.* Etiam ap. Homer. Il. κ'. 330. *ἴστω νῦν Ζεὺς αὐτὸς ἐρίγδουπος πόσις Ἥρης, | μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος | Τρώων.* Il. ό. 41. *ἴστω νῦν τόδε γαῖα — μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων | πημαίνει Τρῶας.* Soph. Aj. 572. In loco simili usurpatur non *μή*, sed *οὐ*, Nub. 627. *μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα, | οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα.* "The radical difference between the two negatives is that *οὐ* expresses a direct negation, — the certain non-existence of a thing or act; *μή*, on the contrary, is hypothetical and subjective, expressing the opinion of the speaker that a thing or act is not, or intimating what others also may suppose not to be the case." (Felton.)

νόημα κομψότερον] Anglice, a more clever (ingenious) idea. Cf. Th. 93. *τὸ πρᾶγμα κομψόν.* Pac. 994. *παῦσον δ' ἡμῶν τὰς ὑπονοίας τὰς περικόμψους.*

197. *ξυνδοκοίη —*] Cf. 811. 1630. Lys. 167.

199. *βαρβάρους*] Cf. Herodot. II. 57. *πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων αἱ γυναῖκες διότι βάρβαροι ἦσαν, ἐδόκεον δέ σφι ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον τὴν πελειάδα ἀνθρωπηίῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπείτε τὰ συνετά σφι αὔδα ἡ γυνή· ἕως δὲ ἐβαρβάριζε ἐδόκεέ σφι ὄρνιθος τρόπον φθέγγεσθαι.* BE. Cf. 1681. Ran. 93. Aesch. Ag. 1017. *χελιδόνος δίκην | ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη.* Hom. Il. κ'. 867. *Καρῶν — βαρβαροφώνων.* Soph. Aj. 1263. Tr. 1062. Poll. I. 109.

Schol. βαρβάρους ὄντας: Ἀντὶ τοῦ ἀφώνους ἢ ἀνηκόους ἀνθρώπων καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. (ἵνα δὲ μὴ θαυμάσῃ ἀκούσας, σὺ αὐτοῖς διηγήσῃ ὀρνέοις οὖσι, φησὶν, ὅτι νοοῦσιν ἐξ ἐμοῦ διδαχθέντες.)

201. πῶς —; ΕΠ. ῥᾳδίως] Cf. Ran. 642. Eccl. 761.

202. λόχμην] Cf. Eur. Bacch. 955. καὶ μὴν δοκῶ σφας ἐν λόχμαις, ὄρνιθας ὣς, | λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν.

Schol. ἐς τὴν λόχμην: Λόχμη δασὺς τόπος. πλαγία σύμφυτος καὶ λοχμώδης.

203. τὴν ἐμὴν ἀηδόνα] Terei conjux fuit Procne, in lusciniam mutata. Vide infra 659. et 665. BE. Eam traditionem sequitur comicus juxta quam Procne in lusciniam, Philomela in hirundinem conversa fuit. Manifestum est hoc e v. 665. Recte itaque schol: ἀηδόνα, τὴν Πρόκνην, γαμετὴν οὖσαν, ἥτις εἰς ἀηδόνα μετεβλήθη. Non soli Aristophani Procne luscinia est. Apollodorus mythologicae historiae scriptor optimus 3, 14, 3. καὶ Πρόκνη μὲν γίνεται ἀηδὼν, Φιλομήλα δὲ χελιδών. Sicque a plerisque mythographis traditum est, quos laudat Hygini interpres ad fab. 45. BR. Cf. 209. 212. At vulgata opinio fuit Procnen in hirundinem, Philomelam vero ejus sororem in lusciniam transformatam esse. Ita tradit Hygin. c. 45. Virg. IV. 511. Qualis populea moerens Philomela sub umbra | Amissos queritur foetus etc. Martial. XIV. 75. Flet Philomela nefas incesti Tereos, et quae | Muta puella fuit garrula fertur avis. Philomela enim est luscinia, non hirundo.

Schol. ἀηδόνα: Τὴν Πρόκνην γαμετὴν οὖσαν, ἥτις εἰς ἀηδόνα μετεβλήθη.

204. καλοῦμεν] I. e. νὼ καλοῦμεν (sc. ego et luscinia), sensus verborum ratione habita potius quam grammaticae constructionis. Similem constructionem composuit Elmsleius (ad Med. 552. et Mus. Crit. II. 20), Aesch. Eum. 141. εὕδεις; ἀνίστω καπολακτίσασ' ὕπνον | ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ. Soph. Phil. 645. ἀλλ', εἰ δοκεῖ, στείχωμεν, ἔνδοθεν λαβὼν | ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει. Adde Soph. Trach. 333. χωρῶμεν πάντες —. ΑΓ. αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ' etc. Lucian. Tox. 41. τυφλώσας καὶ ἑαυτὸν ἀμφότεροι ἐτρέφοντο. Act. Apost. V. 29. ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ ἀπόστολοι εἶπον —. Similiter schol. Soph. El. 6. παραγενόμενοι οὖν εἰς Ἄργος, ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὴν πόλιν, λέγων etc. Ita εὐδαιμονοῖμεν pro εὐδαιμονοίην reponi suadet Elmsleius ad Med. v. 1.

καλοῦμεν] Attice pro καλέσομεν.

Schol. (καλοῦμεν αὐτούς: Ἐν σχήματι εἴρηκεν ἀπὸ ἑνικοῦ εἰς τὸ πληθυντικόν. καὶ πρὸς τὸ σχῆμα τὸ χ.)

205. θεύσονται δρόμῳ] Cf. Eq. 485. θεύσει γὰρ ᾄξας ἐς τὸ βουλευτήριον.

429. πυκνότατον κίναδος] Callidissima vulpes. Cf. Pind. Ol. XIII. 50. Σίσυφον πυκνότατον παλάμαις. Ach. 445. πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί. Critias trag. ap. Sext. Empir. p. 262. πυκνός τις καὶ σοφὸς γνώμην ἀνήρ. Hom. Il. γ'. 202. εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά. Dem. de Cor. 242. τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. De v. κίναδος v. ad Nub. 448.

Schol. κίναδος: Ἀπὸ κοινοῦ τὸ ἔνεστιν αὐτοῖς. τὸ δὲ κύρμα ἀντὶ τοῦ ἐπιτυγχάνοντες ἐν πᾶσιν. Ἄλλως. [[κίναδος ἀντὶ τοῦ]] πάνυ φρόνιμος. κίναδος γὰρ ἡ ἀλώπηξ.

430. κύρμα] Schol: ὁ πολλοῖς ἐγκεκυρηκὼς πράγμασι. Anglice, a practised hand, a sharper. Cf. Nub. 260. λέγειν γενήσει τρίμμα, κρόταλον, παιπάλη. Nescio an etiam hic reponendum sit κρόταλον.

τρῖμμα] I. q. τρίβων, a hackneyed rogue. Cf. Nub. 260. λέγειν γενήσει τρίμμα, etc. 447. Soph. Aj. 381. κακοπινέστατόν τ' ἄλημα (κακοπινές τε παιπάλημα?) στρατοῦ. (Ubi Schol: ἀντὶ τοῦ κολάκευμα, τρίμμα, κακοῤῥύπαρον.) Ibid. 388. τὸν αἱμυλώτατον, ἐχθρὸν ἄλημα. Utrobique de Ulysse.

παιπάλημ'] Polycrates ap. Athen. VIII. p. 335 D. Πολυκράτης δὲ τὴν γονὴν Ἀθηναῖος, | λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα. BE. Aesch. II. 43. ὅτι μὲν οὖν ἦν ποθ' — τὸ καλούμενον παιπάλημα — οὐκ ᾔδειν πρότερον· νυνὶ δ' ἐξηγητὴν τοῦτον λαβὼν τῆς πάσης κακοηθείας μεμάθηκα. Lucian. Pseudol. 32. ὦ παιπάλημα καὶ κίναδος. Phot. p. 370, 11. παιπάλημα. τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ. Hesych: Παιπάλημα· ποικίλος ἐν κακίᾳ. Etym. p. 657, 32. Eodem sensu παιπάλη. Cf. Arist. Nub. 260. λέγειν γενήσει τρίμμα, κρόταλον, παιπάλη Hom. Od. ο'. 418. τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον. Quod ad constructionem per appositionem παιπάλημ' ὅλον, cf. Ach. 909. μικκὸς — ἀλλ' ἅπαν κακόν. Th. 787. ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις. Soph. Phil. 927. ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα. El. 301. ἡ πᾶσα βλάβη.

Schol. σόφισμα, κύρμα: Ἐπίτευγμα, παρὰ τὸ κυρεῖν. Ἄλλως. ἔντευγμα, σκάραγμα τοῦ νοῦ. τρίμμα δὲ ὁ τετριμμένος ἐν τοῖς πράγμασιν. Ἄλλως. κύρμα πολλοῖς ἐγκεκυρηκὼς πράγμασι. (παιπάλημα δὲ πολλὰς ἐπτροπὰς καὶ διόδους ἔχων. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον.)

433. ἀνεπτέρωμαι] Cf. 1439. πάντες τοι λόγοις | ἀναπτεροῦνται. 1445. ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας. 1443. 1449. Lys. 669. Aesch. Cho. 222. ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ. Soph. Aj. 693. περιχαρὴς δ' ἀνεπτόμαν. Eur. Suppl. 88. φόβος μ' ἀναπτεροῖ. Orest. 876. μῶν τι ποιμνίων πάρα | ἄγγελμ' ἀνεπτέρωκε Δαναΐδῶν πόλιν; Xen. Symp. IX. 5.

πάντες ἀνεπτερωμένοι ἐθεῶντο. Heliod. Aeth. II. 26. *καὶ γάρ με καὶ θροῦς τῶν πολλῶν ἀνεπτέρωσεν.* Xen. Hell. III. 1. 14. *ἀναπτερωθεὶς ὑπό τινων, ὡς αἰσχρὸν εἴη* etc. Herod. II. 115. *ἀναπτερώσας αὐτὴν οἴχεαι ἔχων ἐκκλέψας.* Plat. Rep. 467 D. *πτεροῦν χρὴ παιδία ὄντα εὐθύς.*

Schol. ἀνεπτέρωμαι: Οἰκεῖον ὄρνισι τὸ ἀνεπτέρωμαι, ἀντὶ τοῦ μετεώρημαι.

434. *σὺ καὶ σύ*] Famulos duos alloquitur, ut infra 656. *ἄγε δή, Ξανθία | καὶ Μανόδωρε, λαμβάνετε τὰ στρώματα.*

Schol. ἄγε δὴ σὺ καὶ σύ: Πρὸς τὸν Εὐελπίδην φησὶν ὁ ἔποψ. ἄμεινον δὲ πρὸς τοὺς θεράποντας, ὡς ἐν τοῖς ἑξῆς [656] "*ἄγε δή, Ξανθία καὶ Μανόδωρε.*" [[*εἴσθεσις δ' ἑτέρας περιόδου στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιζ΄. ὧν ἐπὶ τῷ τέλει παράγραφος.*]]

435. *κρεμάσατον*] Cf. Ach. 278. *ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ* (*ἐν τὠπιστάτῳ* aut *ἐκ τοὐπιστάτου*?) *κρεμήσεται.*

τύχἀγαθῇ] Anglice, with good luck, and may it turn out luckily. Cf. 675. Eccl. 131. Nicostr. com. III. 285. Thuc. IV. 118. *τύχῃ ἀγαθῇ.* Xen. Hell. IV. 1. 14. Alibi, quod usitatius, *ἀγαθῇ τύχῃ*, ut in Th. 283. Xen. Cyr. IV. 5. 51. et in tribus titulis ap. Dodwell Travels in Greece II. 124.

436. *ἐς τὸν ἰπνὸν εἴσω*] Cf. Herod. II. 143. *ἐσαγαγόντες ἐς τὸ μέγαρον ἔσω.* 175. *ἔσω — ἐς τὸ ἱρὸν — οὐκ ἐσελκύσαι.*

τοὐπιστάτου] Varias nominis interpretationes afferunt veteres critici, quarum haec Kustero prae aliis placet, *πήλινος Ἥφαιστος πρὸς ταῖς ἑστίαις ἱδρυμένος, ὡς ἔφορος τοῦ πυρός.* Non minus tamen probabilis est illa juxta quam *ἐπιστάτης* vocatur *ξύλινόν τι πολλοὺς πασσάλους ἔχον, ἐξ οὗ οἱ μάγειροι ἀπεκρέμων, φασί, τὰ κρέατα καὶ τὰ ἐργαλεῖα.* Alii, forte verius, simpliciter exponunt *τὸν χυτρόποδα*, la marmite. V. Eust. ad Odyss. p. 1827, 44. ubi diversas hujus nominis significationes exsequitur. BR. Interpretatio hujus vocabuli tanto incertior est quum ne hoc quidem exploratum habeamus utrum ab nominativo ductum sit *ὁ ἐπιστάτης* an *τὸ ἐπίστατον.* Quae altera forma legitur in inscriptione Sigeensi apud Boeckh. vol. 1. p. 19. *κἀγὼ κρατῆρα κἀπίστατον καὶ ἡθμὸν ἐς πρυτανεῖον ἔδωκα Σιγεεῦσι.* ubi Bentleius locum Aristophanis comparavit et interpretatus est basin sive tripodem, in quo ollae et lebetes igni apponantur: quod probat Boeckhius p. 20. Simile nomen est *ὑπόστατον* in veteri monumento Attico et in demiopratis apud Pollucem (X. 46. 79.), quem *ὑποστάτην* vocat Pausanias: de quo Boeckhius dixit ibidem. Ex quo fortasse colligas Aristophanem *ἐπίστατον* potius quam *ἐπιστάτην* dixisse. DIND. Cf. Inscript. in Class. Journ. Fasc. X. p. 335. *καὶ ἐτέθη* (*ὁ λίθος*) *ἐπὶ τῶν ἐπιστατῶν τούτων.* Eq. 930. *τὸ μὲν τάγηνον τευθίδων ἐφεστάναι σίζον*, etc. Anglice, near the pot-rack. Confer etiam v. *ὀρθοστάτης* Eur. Ion. 1134.

Schol. εἰς τὸν ἰπνὸν εἴσω πλησίον: Ἰπνὸς μὲν ἡ κάμινος. καταχρηστικῶς δὲ ἡ ἐσχάρα. ἐπιστάτης δὲ χαλκοῦς τρίπους χυτρόποδος ἐπέχων χρείαν. οἱ δὲ πήλινον Ἥφαιστον πρὸς ταῖς ἑστίαις ἱδρυμένον ὡς ἔφορον τοῦ πυρός. ἔνιοι δὲ καὶ ξύλον ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι

τὰ μαγειρικὰ σκεύη. (Ἄλλως. ἐπιστάτην Καλλίστρατος τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. οἱ δὲ πυριστάτην πλαττόμενόν τινα ξύλινον ἐν ταῖς ἐσχάραις, ὡς παρὰ ταῖς καμίνοις τὸν Ἥφαιστον ἀναπλάττουσιν.) Ἄλλως. ὁ ἐπιστάτης ξύλον ἐστὶ κόρακας ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι τὸν λέβητα καὶ ὑποκαίουσιν. οἱ δὲ ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις.

437. Cf. Pac. 676. οὐκ ἦν ἄρ' οὐπέρ φησιν εἶναι τοῦ πατρός. Soph. Oed. C. 907. νῦν δ' οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων, | τούτοισι — ἁρμοσθήσεται. Ant. 404. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν | ἀπεῖπας. Ceterum notandum hyperbaton in τούσδ'.

(Schol.) σὺ δὲ τούσδ' ἐφ' οἷς: Σὺ τοὺς λόγους δίδαξον καὶ φράσον, ἐφ' οἷς τούτους ἤγειρα ἐγώ. [τοῦτο δὲ πρὸς τὸν ἕτερον τοῖν ἀνδροῖν.]

440. ὁ πίθηκος] Panaetius quidam duxerat uxorem, cum qua cum saepius rixaretur, tandem convenit ut se invicem nec morderent nec plagis afficerent. Vide Suidam in διαθήκην et γυνὴ μεγάλη. BECK. Schol: ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις, "καταλιπὼν Παναίτιον πίθηκον." ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. "Πίθηκος videtur vulgo audivisse non tam propter vafrum ingenium quam propter oris turpitudinem formaeque dedecus, quemadmodum schol. dicit ad Aves 441. ὁ Παναίτιος μάγειρος καὶ μικροφυὴς ἦν. et supra: καὶ Δίδυμος, ὅτι αἰσχρός τις τὴν ὄψιν κτλ. Μάγειρος autem quod dicitur, potius ad artem quam pater professus erat referendum censeo: ipse enim servos cultris faciendis aluisse videtur. Hinc Panaetius ὁ μαχαιροποιός, quemadmodum Cleophon λυροποιός, Hyperbolus λυχνοποιός vocatur. Non dubito quin idem ille sit quem ex Andocide cognoscimus mysteriorum profanatorum accusatum et in exilium conjectum esse." (Meineke.) V. Andoc. I, 13. 52. 67. De incisione anapaesti in prima syllaba cf. ad Lys. 768. Nub. 62.

Schol. ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο: (Σύμμαχος· Αἰσωπείου λόγου ἢ τοιούτου τινὸς ἔοικε μεμνῆσθαι. Καλλίστρατος δὲ τοσοῦτόν φησιν, ἐκ διηγηματίου τινὸς εἱλκύσθαι. καὶ Δίδυμος,) ὅτι αἰσχρός τις ἦν τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ διαπληκτιζόμενος, συνέθετο ἐπὶ φίλων μήτε τύπτειν μήτε τύπτεσθαι μήτε δάκνειν αὐτὸν φιλοῦντα μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, (ὃν καὶ ἐν Νήσοις "καταλιπὼν Παναίτιον πίθηκον." ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει). πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. — μαχαιροποιὸν δὲ τὸν μαχαίρας ἐργαζόμενον, (ὡς μάγειρον. καὶ γὰρ ἐν Νήσοις μαγείρου πατρὸς αὐτόν φησιν. ἢ καὶ αὐτόθι μαχαιροποιόν φησιν). R. V. (Ἄλλως. ὁ Παναίτιος μάγειρος μικροφυὴς ἦν.) διαβάλλει δὲ αὐτὸν ὡς καταλαβόντα τὴν γυναῖκα ἑαυτοῦ μοιχευομένην. ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.

441. ὁ μαχαιροποιός] Cultrorum faber reddiderim potius quam ensium faber. Coquum enim patrem ejus fuisse tradit schol. Cf. Eq. 412. μαχαιρίδων τε πληγάς. Dem. p. 823. κεκτημένον μὲν τοσούτους κλινοποιούς, κεκτημένον δὲ μαχαιροποιούς (sc. οἰκέτας). Plut. Dem. 4. ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς (Demosthenes) ἐργαστήριον ἔχων μέγα etc.

442. *ὀρχίπεδ' ἕλκειν*] Alibi *τῶν ὀρχιπέδων ἕλκειν τινὰ* dicitur, ut Eq. 772. 365. Pl. 955. vel *λαβέσθαι*, ut Lys. 363.

μήτ' ὀρύττειν] Sc. *τὸν πρωκτὸν*, ut monet schol. Cf. Nub. 713. *καὶ τοὺς ὄρχεις ἐξέλκουσιν, | καὶ τὸν πρωκτὸν διορύττουσιν.*

Schol. μήτ' ὀρχιπέδων ἕλκειν: Μὴ διασπᾶν τοὺς ὄρχεις, μὴ ὀρύττειν τὸν πρωκτόν. τὸν πρωκτὸν γὰρ δεικνύς φησιν, οὔτι που τόν. — Ἄλλως. τοῦτο ὁ ἔποψ ἢ ὁ χορὸς δεικνὺς τὸν πρωκτόν. ὡς ἐν κωμῳδίᾳ δὲ ταύτην πρώτην τιμωρίαν ὁρίζεται. R. V.

443. *τὸν —*] Similis ellipsis est in Ran. 1374. *μὰ τὸν —*. Similiter Antiphanes Athen. 303 F. *θύννης τὰ πρὸς τῇ — Β. τὰ ποῖα; Α. τὰ κάτωθεν λέγω.* Dicturus erat *τῇ οὐρᾷ*. Strato Anth. III. 78. *δέξομ' ἐγὼ μελάθροις; οὐ μὰ τὸν — οὐκ ὀμόσω.* Similis fere euphemismus est in simili re Vesp. 1178. *ὡς ὁ Καρδοπίων τὴν μητέρα.* Soph. Oed. R. 1289. *τὸν πατροκτόνον, | τὸν μητρὸς —*. Confer praeterea Eq. 785. *τὴν ἐν Σαλαμῖνι.*

οὐκ, ἀλλά] Ut alibi *μάλλά* (*μὴ ἀλλά*).

444. *κατόμοσον*] Cf. Ran. 305. Eccl. 158.

Schol. διατίθεμ' ἐγώ: Ὑπισχνοῦμαι, συντίθεμαι.

445. Post *ἐπὶ τούτοις* minor distinctio poni debuit, ut recte distinctum est in B. Non enim *τούτοις* refertur ad *κριταῖς*. *Ἐπὶ τούτοις* valet hac lege, hac conditione, ut, si fidem praestiterim, judicum omnium calculo et spectatorum omnium applausu vincam. BR. Comicorum poetarum judices quinque fuerunt. Vide Suidam [et Hesych.] s. v. *ἐν πέντε κριτῶν γούνασι κεῖται.* BECK. Cf. ad 1101. Eccl. 1154. Nub. 1115. et Ach. 1224. Phot. p. 411, 1. Plena constructio foret, *ἐπὶ τούτοις, (ἐπὶ τῷ) νικᾶν πᾶσι* etc. Cf. 1435. *ἀλλ' ἔστιν ἕτερα — ἀφ' ὧν διαζῆν ἄνδρα χρὴν τοσουτονὶ | ἐκ τοῦ δικαίου μᾶλλον ἢ δικορραφεῖν* (i. e. *ἢ ἐκ τοῦ δικ.*). Soph. Oed. R. 1169. *οἴμοι, πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν. | ΟΙ. κἄγωγ' ἀκούειν* (i. e. *πρὸς τῷ δεινῷ ἀκούειν*).

ἐπὶ τούτοις] Hac conditione. Cf. Pl. 1168. *οὐκοῦν ἐπὶ τούτοις εἰσίω;*

πᾶσι — τοῖς κριταῖς] Ut alibi *πάσαις ταῖς ψήφοις.*

Schol. ὄμνυμ' ἐπὶ τούτοις πᾶσιν: Ἀντὶ τοῦ εὔχομαι. (οὐκ ὄμνυσι γάρ, ἀλλ' εὔχεται. ὄμνυμι μένειν ἐν τούτοις. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης, ὄμνυμί φησι τὸ νικᾶν. Ἄλλως. ἔκριναν ε' κριταὶ τοὺς κωμικούς. οἱ δὲ λαμβάνοντες τὰς ε' ψήφους εὐδαιμόνουν.)

446. *ταυταγί*] Cf. 955. Eccl. 189. Sic *τουτογὶ* Eccl. 719. etc.

Schol. ἔσται ταυταγί: Ἐπειδὴ περὶ νίκης εὔχεται, ποιεῖ αὐτὸν ὁ ποιητὴς εὐφημοῦντα, ἔσται ταυταγί.

447. *εἰ δὲ παραβαίην*] Sc. *τὴν διαθήκην* (439) vel *τὰς σπονδάς* (461). Cf. Lys. 235. *εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆσθ' ἡ κύλιξ.*

ἑνὶ κριτῇ νικᾶν μόνον] Facete dictum, quasi minus victoriam reportaturus esset, si uno tantum judice victor pronuntiaretur. Favorem his spectatorum captat et victoriam sibi auguratur Comicus.

Schol. (*εἰ δὲ παραβαίην: Πιθανῶς ὡς ἔλαττόν τι ἕξων, εἰ μὴ πᾶσι νικῴη. ἐποιωνιζόμενος δὲ αὐτῷ τὴν νίκην ταῦτα λέγει.*)

448 sq. Haec non ab praecone Avium, ut vulgo, sed ab Pisthetaero; neque ad Chorum Avium, ut vulgo statuunt, sed ad solum Euelpidem, ex quo praeter ipsum ducem Pithetaerum constet exercitus, recte statuere videtur Wieseler Adv. p. 36. Cf. omnino 434 sq.

νυνμενί] *νυνμενὶ*, non item *νυνὶ μὲν*, dixisse antiquos Atticos recte monet Elmsleius ad Ach. 108. Similia sunt *νυνδὶ* (Eq. 1357. 1033), *ἐνγεταυθὶ* Thesm. 646. *ἐνμεντευθενὶ* Metagen. Athen. 269 F. *τουτοδὶ*, *τουτογὶ*, *ταυταγὶ*, *νυνγαρὶ* (Eust. ad Il. *ά*. p. 54, 3.), etc.

ἀκούετε λεῴ· τοὺς ὁπλίτας ἀπιέναι] Cf. Pac. 551. *ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι* | *τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρόν*. Ach. 1000. 172.

Schol. *ἀκούετε λεῴ*: *Κῆρυξ ἐστὶν ἢ Πεισθέταιρος. ὁ λόγος ὡς ἐπὶ πολεμίων σπεισαμένων. κήρυγμα εἰρήνης κηρύσσει. παίζει δὲ εἰς τοὺς χυτροφόρους ὁπλίτας φάσκων. τὸ δὲ νυνμενὶ, ἀντὶ τοῦ νυνὶ μέν. πολλαχοῦ δὲ οὕτω χρῶνται.*

450. "Cf. Plut. Pericl. 30. *τὸ πινάκιον, ἐν ᾧ τὸ ψήφισμα γεγραμμένον ἐτύγχανεν*. Lucian. Hermot. 11. *πινάκιον γάρ τι ἐκρέματο ὑπὲρ τοῦ πυλῶνος μεγάλοις γράμμασι λέγον τήμερον οὐ συμφιλοσοφεῖν*." (Ko.) Dobraeus ex scholiasta vertit, The troops are to march back to quarters and look out for further orders.

τοῖς πινακίοις] Quae *τὰ προγράμματα* etiam dicebantur. Cf. Aesch. de fals. leg. § 60. et 61. Nobis, the orderly books.

Schol. (*ὅ τι ἂν προγράφωμεν*: *Ἐπὶ* (l. *ἐπεὶ*) *τὰς στρατείας οὕτω προέγραφον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν φυλάρχων, οἵτινες προγράφουσι τοὺς στρατευσίμους ἐν πίνακι.*)

ἐν τοῖς πινακίοις: *Ἐπεὶ ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα, οἷον ποῖ δεῖ πορεύεσθαι καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι.*

451—538 = 539—625.] Cf. Lys. 476—538 = 541—607. 614—635 = 636—657. 659—681 = 683—705.

451. *δολερὸν ἄνθρωπος*] Sic Eurip. Orest. 218. *δυσάρεστον οἱ νοσοῦντες*. Similiter Latini. Nota sunt ista, Triste lupus stabulis (Virg.), et Varium et mutabile semper | femina.

Schol. [[*δολερὸν μὲν ἀεί*: *Εἴσθεσις μέλους χοροῦ λόγον στροφῆς ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν* "*πολὺ δὴ πολὺ δή*." *ἔστι δὲ καὶ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν περίοδον τίθεσθαι· προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς κώλων καὶ στίχων θ΄. ὧν ὁ πρῶτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν διμέτρων βραχυκαταλήκτων, καὶ ἰαμβικῆς βάσεως διὰ τὴν ἀδιάφορον. ὁ δεύτερος ἀσυνάρτητος ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ ἀναπαιστικῆς βάσεως. ὁ τρίτος ἀναπαιστικὸς πενθημιμερής. ὁ δ΄ ἀσυνάρτητος ἐκ τροχαϊκοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικοῦ ὁμοίου. ὁ πέμπτος ὅμοιος τῷ γ΄. ὁ στ΄ ἀναπαιστικὸς δίμετρος βραχυκατάληκτος. ὁ ζ΄ ἀσυνάρτητος ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δύο ὅμοιοι τοῖς ἐπὶ τῆς ἑξῆς εἰσθέσεως ξα΄. ὀφείλει δὲ εἶναι καὶ ἐν τοῖς εἰρημένοις κώλοις διάλειμμα μικρὸν, ἵνα δοκῶσιν ἐκ δύο κώλων συγκεῖσθαι, συνάπ-*

τωνται δὲ εἰς ἕνα στίχον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ ἔσω νενευκυῖα. ἐπὶ δὲ τῆς εἰσθέσεως ἔξω διπλῆ.]]

453—457. Respicit ad Peisetaeri verba v. 162. ἦ μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει | καὶ δύναμιν, ἣ γένοιτ' ἄν, εἰ πίθοισθέ μοι.

454. ὅ τι μοι παρορᾷς] Quod mihi adesse (inesse) vides. Schol. παρορᾷς: παρεπινοεῖς ἢ εὑρίσκεις. Cf. Herod. I. 37. οὔτε τινὰ δειλίην μοι παριδὼν οὔτε ἀθυμίην. I. 108. ὦ βασιλεῦ, οὔτε ἄλλοτέ κω παρεῖδες ἀνδρὶ τῷδε ἄχαρι οὐδὲν, etc. Dem. p. 401. ἢ τίνα ἐν ἑαυτῷ μικροψυχίαν — ἐνεωρακώς; Plat. Theag. 127. ἐμοὶ δὲ τούτων οὐδὲν ἐνορᾷ. Xen. Cyr. II. 1. 8. τί μὴν σὺ ἄλλο ἐνορᾷς ἄμεινον τούτου; Sed vera lectio videtur esse παρορατ' (i. e. παροραται, praetermittitur, Anglice is overlooked). Scholiasta legebat παρορᾷς.

Schol. παρορᾷς: Παρεπινοεῖς ἢ εὑρίσκεις.

455. δύναμιν] Anglice, an element (a source) of power. Cf. 163. Pl. 200.

456. *Schol.* παραλειπομένην ὑπ' ἐμῆς φρενὸς: [['Εγκαταλειπομένην,]] ἣν ἡμεῖς οὐ νοοῦμεν. [[ἔν τισι δὲ οὐ κεῖται τὸ φρενός. ἀξυνέτου δὲ ἀνοήτου.]]

457. λέγ' ἐς κοινόν) Cf. Aesch. Eum. 408. πᾶσι δ' ἐς κοινὸν λέγω. Prom. 844. τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω. Eur. Herc. 86. λέγ' ἐς τὸ κοινόν. Orest. 756. εἶεν· ἐς κοινὸν λέγειν χρή. Phoen. 1236. λέξαντες Ἀργείοισι — εἰς κοινὸν etc. Herc. 85. ἥντιν' οὖν γνώμην ἔχεις | λέγ' ἐς τὸ κοινόν. Thuc. IV. 59. ἐς (ἐς τὸ?) κοινὸν — τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος. Virg. Aen. XI. 335. consulite in medium.

459. ἀγαθὸν πορίσας] Cf. Pl. 535. σὺ γὰρ ἂν πορίσαι τι δύναι' ἀγαθὸν —;

460. Cf. 437.

461. Cf. Hom. Il. δ'. 271. ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο.

Schol. (ὡς τὰς σπονδάς: Ὅτι πρὸ καταγνώσεως, φησὶν, οὐ παρασπονδήσομεν.)

462—522. Sexaginta tres versus anapaestici tetrametri, quibus respondent vv. 548—610. 462—808. "Pisthetaerus proves to them, upon the authority of Aesop's fables, the great antiquity of their nation; that they were born before the creation of the earth and before the gods, and once reigned over all countries. He laments their present despicable condition and the affronts put upon them by mankind. They are convinced of what he says, and ask his advice. He proposes that they shall unite and build a city. The scheme is admired, and the two men are to be made free of the city, and each to be adorned with a pair of wings at the public charge. Epops invites them to his nest royal, and entertains them nobly." (Cook.) "Peisthetaerus, after solemn preparations, sets forth to the birds their fallen state; how they once had kingly power and empire. This he brings Aesop to prove; also names of birds and customs connected with them. Euelpides throws in his evidence and comical explanations to the same effect; and the birds interpose now

and then a wondering question. But all this power is now gone; the birds are snared, shot, cooked, and eaten." (Gr.)

462. ὀργῶ] Sc. λέγειν. Schol: ἐπιθυμητικῶς ἔχω. Cf. Thuc. I. 140. ὀργῶντες κρίνειν τὰ πράγματα.

προπεφύραται λόγος] Schol: ηὐτρέπισται. ἡ μεταφορὰ ἀπὸ τῶν τὰ ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων. Cf. Th. 75. ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον. Nub. 979. μαλακὴν φυρασάμενος τὴν φωνήν. Plat. Phaed. 97 B. ἀλλά τιν' ἄλλον τρόπον αὐτὸς εἰκῇ φύρω. Plat. Tim. 73 E. γῆν — ἐφύρασε καὶ ἔδευσε μυελῷ. Theaet. 147 C. ὅτι γῆ ὑγρῷ φυραθεῖσα πηλὸς ἂν εἴη. Diogen. VI. 12. Λευκὴν μᾶζαν φυρῶ σοι: ἐπὶ τῶν μεγάλως ὑπισχνουμένων. Verbum προφυρᾶν et προφυρητὸς apud Hippocratem leguntur, προφύραμα apud Eratosthenem Athenaei p. 140 A.

Schol. (καὶ μὴν ὀργῶ νὴ τὸν Δία: Ἐπιθυμητικῶς ἔχω. ἀπὸ τῶν ἀλφίτων. ὁμοῦ γὰρ ἐφύρων, εἶτα εἰς μάκτρας διενέμοντο. τὸ δὲ ἑξῆς παίζει, ὡς περὶ δείπνου λέγων, καίτοι λόγῳ μέλλων αὐτοὺς εὐωχεῖν.)

(καὶ προπεφύραται: Ηὐτρέπισται. ἡ μεταφορὰ ἀπὸ τῶν ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων.) [[διαμάττειν δὲ διαπλάττειν.]]

463. διαμάττειν] I. e. in placentae formam subigere. Cf. Eq. 1105. μαζίσκας —' διαμεμαγμένας. 539. μάττων ἀστειοτάτας ἐπινοίας. Eccl. 874. τῶν ματτομένων. Eq. 815. τὸν Πειραιᾶ προσέμαξεν.

οὐ κωλύει] Nihil impedit. Cf. Thuc. I. 144. οὔτε γὰρ ἐκεῖνο κωλύει (κωλύεται?) ἐν ταῖς σπονδαῖς οὔτε τόδε. Sed vide annot. crit. Similiter οὐ κατεπείγει. Athen. XII. 520 C. περὶ ἧς νῦν οὐ κατεπείγει λέγειν. Dem. p. 705. περὶ ὧν οὐδὲν ἴσως ὑμᾶς κατεπείγει νῦν ἀκοῦσαι.

φέρε, παῖ, στέφανον —] Haec ait ὡς λόγῳ μέλλων εὐωχεῖν αὐτοὺς, ut monet schol. Coronas enim in epulis gestare mos erat. Oratores etiam coronati verba faciebant. Cf. Eq. 122. Eccl. 131. 147. 163. 171. Th. 386.

κατάκεισθε] Accumbite. Cf. Ach. 985. πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν. Vesp. 1236. Theophr. Char. 21. ἐπὶ δεῖπνον κληθεὶς παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι. Ion. ap. Athen. XIII. 603. εἶπε πρὸς τὸν συγκατακείμενον. Plat. Sert. 26. Ἀντώνιος ὑπερκατακείμενος παίει τῷ ξίφει τὸν Σερτώριον. Lucian. Tox. 44. δειπνεῖν ἐν τοῖς ἄλλοις κατακείμενον. Xen. Cyr. II. 2. 3. An. VI. 1. 4. Symp. I. 14. Herodian. p. 441. ed. Piers. Κατακεῖσθαι, ἐπὶ τῶν ἑστιωμένων. Ammon. p. 15. Phryn. p. 92. Athen. p. 23 C.

Schol. φέρε, παῖ, τὸν στέφανον: Τοῖς γὰρ εὐωχουμένοις περιέκειντο στέφανοι, καταψύχοντες τὸ κρανίον (ἀπὸ τῆς τοῦ οἴνου θέρμης).

464. κατὰ χειρὸς ὕδωρ φερέτω ταχύ τις] Cf. Fr. 427. φέρε, παῖ, ταχέως κατὰ χειρὸς ὕδωρ. Vesp. 1216. ὕδωρ κατὰ χειρός· τὰς τραπέζας ἐσφέρειν· | δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη σπένδομεν. (Ubi respondet alter, fere ut hic, πρὸς τῶν θεῶν ἐνύπνιον ἑστιώμεθα;) Nicostr. com. III. 287. κατὰ χειρὸς ἀρτίως εἰληφότας | καὶ στέφανον. Apollod. II. 7. 6. εὐωχούμενος — ἀπέκτεινεν Ἀρχιτέλους παῖδα κατὰ χειρῶν διδόντα. De locutione τὸ κατὰ χειρὸς, quae de lavatione manuum ante coenam usurpaba-

tur, ut ἀπονίψασθαι (Vesp. 1217) de lavatione post coenam, v. Athen. p. 410 D. Meinek. Fr. Com. Gr. IV. 570.

465. λέγειν ζητῶ —] Cf. Vesp. 1052. τοὺς ζητοῦντας καινόν τι λέγειν.

τρίπαλαι] Cf. Eq. 1153. παρεσκευασμένος | τρίπαλαι κάθημαι βουλόμενός σ' εὐεργετεῖν.

λαρινὸν ἔπος] Scholia: λιπαρόν· ἐκ μεταφορᾶς τῶν βοῶν. λέγονται γάρ τινες λαρινοὶ βόες, οἱ λιπαροί. Pac. 925. τί [τῷ?] δαὶ δοκεῖ; βούλεσθε λαρινῷ βοΐ; BE. Phot. 208, 15. λαρινοὶ βόες· Ἀπολλόδωρος τοὺς εὐτραφεῖς λαρινούς· λαρινεύειν γὰρ τὸ σιτεύειν. 19. λαρινοί· οἱ πίονες, σιτιστοί. Athen. IX. 376 B. Ἐρατοσθένης τοὺς σύας λαρινοὺς προσηγόρευσε, μεταγαγὼν καὶ αὐτὸς ἀπὸ τῶν λαρινῶν βοῶν, οἳ οὕτως ἐκλήθησαν ἀπὸ τοῦ λαρινεύεσθαι, ὅπερ ἐστὶ σιτίζεσθαι. Σώφρων· "βόες δὲ λαρινεύονται." Similiter ῥῆμα μυριάμφορον dixit noster Pac. 521.

Schol. μέγα καὶ λαρινὸν: (Διὰ τούτου πολλῇ τῇ τροπῇ ἐπέμεινε τῆς εὐωχίας. ὡς ἐπὶ βοὸς δὲ τοῦτό φησιν, ὡς ἐν Λαρίσσῃ μεγάλων βοῶν γενομένων. ἔστι δὲ πόλις Θεσπρωτίας. Ἄλλως. λαρινὸν) ἀντὶ τοῦ λιπαρόν. ἐκ μεταφορᾶς τῶν βοῶν. λέγονται γάρ τινες λαρινοὶ βόες. οἱ λιπαροὶ ἢ μεγάλοι, ἀπὸ Λαρινοῦ τινος βοσκοῦ εὐμεγέθους. νέμονται δὲ τὴν ἤπειρον, οὖσαι τῶν Γηρυόνος βοῶν ἀπόγονοι. (θραύσει δὲ, πραΰνει.) — πείσει, καταπραΰνει, καταπαύσει. V.

466. τὴν τούτων θραύσει ψυχήν] I. e. franget, emolliet. Cf. Plut. Alc. 23. παροξύνας — θραῦσαι τὴν ἐκεῖ τῶν Ἀθηναίων δύναμιν. Aesch. Ag. 1166. θραῦμα δ' ἐμοὶ κλύειν. Lucian. Nigr. 35. καὶ μάλα εὐστόχως ἐνεχθεὶς ὁ λόγος αὐτὴν, εἰ οἷόν τε εἰπεῖν, διέκοψε τὴν ψυχήν.

οὕτως ὑμῶν ὑπεραλγῶ] Similiter fere Eupolis ap. Stob. 43, 9. καὶ μὴν ἐγὼ πολλῶν παρόντων οὐκ ἔχω τί λέξω· | οὕτω σφόδρ' ἀλγῶ τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν.

467. ὑμεῖς πάντων —] Ὑμεῖς respondet ad interrogationem ἡμεῖς βασιλῆς; et πάντων ὁπόσ' ἔστιν — αὐτοῦ ad τίνος;

468. τουδί] Sc. Euelpidis, δεικτικῶς.

469. Cf. Plat. Symp. 159 B. Ἔρως Κρόνου καὶ Ἰαπετοῦ ἀρχαιότερος. Com. anon. IV. 680. πρεσβύτερος Κρόνου.

470. Cf. Pac. 615. ταῦτα τοίνυν (ταυταγὶ ναὶ?) μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενός.

471—475. Haec citat Aelianus N. A. XVI. 5.

471 sq. "Galen. Einf. Med. 11, 37. S. 312 B. ἔχει δὲ ὁ κόρυδος ἐπὶ τῆς κεφαλῆς ὥσπερ τινὰ λόφον ἐκ τριχῶν αὐτοφυῆ, δι' ὃν καὶ ὁ μῦθος ὃν Ἀριστοφάνης ἔγραψεν ἐπλάσθη." (Ko.) "Ejusmodi fabulas in contemtum vulgaris Graecorum cosmogoniae atque mythologiae composuisse videtur Aesopus. Nam Hesiodus quidem Theog. 116. πρώτιστα, inquit, χάος γένετο, sed ille dixit κορυδὸν ridiculi causa; cumque Minerva ex capite Jovis nata esse crederetur, contra Aesopus patrem alaudae in capite ejus sepultum finxit: quo nihil excogitari poterat ineptius." (Both.)

471. πολυπράγμων] Cf. Eupol. II. 518. οὐ γὰρ πολυπράγμων ἐστὶν ἀλλ' ἀπλήγιος.

Αἴσωπον πεπάτηκας] Id est trivisti, contrectasti, assidue legisti. Confer Plat. Phaedr. p. 273. *ἀλλὰ μὴν τόν γε Τισίαν αὐτὸν πεπάτηκας ἀκριβῶς*. Diogen. II. 95. *Ἀρχίλοχον πατεῖς: ἐπὶ τῶν λοιδορούντων. τοιοῦτος γὰρ ὁ Ἀρχίλοχος.* Eust. ad Od. 1684, 47. *ὅθεν καὶ παροιμία ἐπὶ τῶν οὕτω σκώπτειν εὐφυῶν τὸ "Ἀρχίλοχον πεπάτηκας."* Anglice, nor are you versed in (conversant with, familiar with) Aesop. Eodem sensu terere dicunt Latini.

Schol. (*οὐδ' Αἴσωπον πεπάτηκας: Ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ σπουδῆς εἶχον. ἦν δὲ ὁ Αἴσωπος Θρᾷξ. ἠλευθερώθη δὲ ὑπὸ Ἴδμονος τοῦ κωφοῦ. ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος. ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶσαί φησιν αὐτὸν ἐν τοῖς Λάκωσιν οὕτως "καὶ μὴν ὁμοσόν μοι μὴ τεθνάναι, ψυχὴν δ' ἀνήκειν ὥσπερ Αἰσώπου ποτέ." τῶν δὲ μύθων οἱ μὲν περὶ ἀλόγων ζῴων εἰσὶν Αἰσώπειοι, οἱ δὲ περὶ ἀνθρώπων Συβαριτικοί. εἰσὶ δέ τινες οἳ τοὺς βραχεῖς καὶ συντόμους λέγουσι Συβαρίτιδας, καθάπερ Μνησίμαχος ἐν Φαρμακοπώλῃ. διὰ σπουδῆς δὲ εἶχον τὸν Αἴσωπον. καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ηὐδοκιμηκέναι. φαίνονται τὸ τοιοῦτον ἅπαν Αἰσώπῳ ἀνατιθέντες. τὸ δὲ πατῆσαι ἴσον ἐστὶ τῷ ἐνδιατρῖψαι, ὡς τὸ ἀφικέσθαι που λέγομεν.*

Ἄλλως. ἀντὶ τοῦ ἀνέγνως. ταῦτα μὲν κωμικώτερον παίζει. τὸν δὲ κορυδὸν ἔνιοι κορυδαλὸν λέγουσι. γῆς δὲ ἱερὸν ὄρνιν νομίζουσιν εἶναι.)

472. *ἔφασκε λέγων*] Cf. Fr. 161. *φαίη λέγων.* Vesp. 795. *ἦ δ' ὃς λέγων* (*γελῶν*?). Soph. Aj. 757. *ὡς ἔφη λέγων.* Herod. III. 145. *ἔφη λέγων.* 156. V. 36. 49. Plat. Soph. 242 B. *εἰπόν που νῦν δὴ λέγων.*

κορυδὸν πάντων πρώτην] Schol: *θηλυκῶς εἴρηκε τὴν κορυδόν. Πλάτων δὲ* (Euthyd. 291 D.) *ἀρσενικῶς* Eadem forma est 303. 476. 1295. Theocr. VII. 141. Aliae formae erant *κορυδαλλὸς* et *κορυδαλλὶς*, de quibus v. Lobeck. ad Phryn. p. 338. Alludit ad Aesopi Fab. 415. ed. Fur. Cf. schol. ad Theocrit. VII. 23. *ἐπιτυμβίδιοι κορυδαλλίδες.*

474. *γῆν δ' οὐκ εἶναι*] Sc. ubi sepeliri posset.

τὸν δὲ προκεῖσθαι πεμπταῖον] Cf. S. Joann. Evang. XI. 39. Theocr. II. 4.

προκεῖσθαι] Sc. insepultum. Cf. Eccl. 537.

475. *κατορύξαι*] Hinc avem hanc *ἐπιτυμβίδιον* vocavit Theocritus Id. VII. 23. ad quem locum vide schol. KUST.

Schol. (*ἐν τῇ κεφαλῇ κατορύξαι: Ἐπεὶ λόφον ἔχει ἡ κορυδός. θηλυκῶς δὲ εἴρηκε τὴν κορυδόν· Πλάτων δὲ ἀρσενικῶς.*)

476. *Κεφαλῆσι*] Allusio ad pagum Atticae, cui nomen *Κεφαλή*. BR. *Κεφαλῆθεν* est in titulo apud Boeckh.

Schol. [[*τεθνεὼς Κεφαλῆσι: Προσέπαιξε τὸν δῆμον. Κεφαλῆς* (imo *Κεφαλὴ*) *γὰρ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.*]]

479. *ῥύγχος*] Idem quod *ῥάμφος*.

ῥύγχος βόσκειν] Rostrum alere, sc. ad vim inferendam et imperium vi extorquendum.

Schol. (*ῥύγχος βόσκειν σε: Οἷον, μωρὸν ἑστάναι μάτην ῥύγχος ἔχοντα. ἢ ὡς ἐν κωμῳδίᾳ φησὶ μεῖζόν τι ὀφείλεις ἔχειν ῥύγχος. πάλιν δὲ ἀντὶ τοῦ ῥάμφος.*)

480. *δρυκολάπτῃ*] A *δρῦς* quercus et *κολάπτειν* sculpere, quia picus rostro tundit et rimatur cortices quercuum escam sibi quaerens. Cum autem quercus Jovi sacra fit, ut Virgilius ait, Sicubi magna Jovis antiquo robore quercus, Epops merito dubitat an Jupiter sceptrum traditurus sit pico, qui soleat Jovis arborem laedere et inde cibum petere. Ex scholiis. BE. Picus martius. "Eustath: *ἐκ τῆς δρυὸς δὲ καὶ ὁ κατὰ τὸν κωμικὸν δρυκολάπτης, κατὰ δὲ Ἀριστοτέλην δρυοκολάπτης, ὁ πᾶν δένδρον τῷ ῥάμφει κολάπτων.* Aristot. H. A. 9, 10, 2: *ὁ δὲ δρυοκολάπτης οὐ καθίζει ἐπὶ τῆς γῆς, κόπτει δὲ τὰς δρῦς τῶν σκωλήκων καὶ σκνιπῶν ἕνεκεν, ἵν' ἐξίωσιν· ἀναλέγεται γὰρ ἐξελθόντας αὐτοὺς τῇ γλώττῃ· πλατεῖαν δ' ἔχει καὶ μεγάλην. καὶ πορεύεται ἐπὶ τοῖς δένδρεσι ταχέως πάντα τρόπον, καὶ ὕπτιος ὥσπερ οἱ ἀσκαλαβῶται. ἔχει δὲ τοὺς ὄνυχας πεφυκότας πρὸς τὴν ἀσφάλειαν τῆς ἐπὶ τοῖς δένδρεσιν ἐφεδρείας· τούτους γὰρ ἐμπηγνὺς πορεύεται.* Plut. Mor. 268, 9. *τοῦτον Ἄρεος ἱερὸν νομίζουσι· καὶ γὰρ εὐθαρσὴς καὶ γαῦρός ἐστι, καὶ τὸ ῥύγχος οὕτως ἔχει κραταιὸν ὥστε δρῦς ἀνατρέπειν, ὅταν κόπτων πρὸς τὴν ἐντεριώνην ἐξίκηται.*" (Ko.) Nominatur, ut videtur, una avis pro omnibus. Cf. 571. Eadem fortasse avis *δρυκολάπτης* quae *δρύοψ* appellatur 304.

Schol. *τῷ δρυκολάπτῃ: Ὄρνεον ἐν ταῖς δρυσὶν εὑρισκόμενον, ζητοῦν σκώληκας, (ὃ καὶ πολλάκις ἀνορύττον καταβάλλει). ἐπεὶ οὖν ἡ δρῦς τοῦ Διός ἐστιν, ἔπαιξε παρὰ τὴν δρῦν, ἥ ἐστιν ἱερὰ τοῦ Διός. ἢ ἐπεὶ ἐκ ξύλου τὸ σκῆπτρον· δρῦς δὲ παρὰ τοῖς ἀρχαίοις πᾶν ξύλον.*

484. *πρότερος Δαρείου —*] Cf. 477. *εἰ πρότεροι μὲν γῆς, πρότεροι δὲ θεῶν ἐγένοντο.* 469. *ἀρχαιότεροι πρότεροί τε Κρόνου καὶ Τιτάνων ἐγένεσθε.* 473. *προτέραν τῆς γῆς.* Construendum forsan *Περσῶν πάντων.* Cf. 505. *Αἰγύπτου δ' αὖ καὶ Φοινίκης πάσης κόκκυξ βασιλεὺς ἦν.* 506. *τότ' ἂν οἱ Φοίνικες ἅπαντες.*

Schol. *Δαρείου καὶ Μεγαβάζου: Δαρεῖος βασιλεὺς ἦν, Μεγάβαζος δὲ σατράπης, (πορθήσας Μέμφιδα). οὗτος σατράπης Δαρείου ὁ τὴν Αἴγυπτον ἑλών, οὗ μνημονεύει Θουκυδίδης ἐν τῇ πρώτῃ* [c. 109.] *γράφων οὕτως "Μεγάβαζον τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ πολλῆς στρατιᾶς, ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς συμμάχους μάχῃ ἐκράτησε καὶ ἐκ Μέμφιδος ἤλασε τοὺς Ἕλληνας."*

485. *Περσικὸς ὄρνις*] Infra 707. *ὁ δὲ χῆν', ὁ δὲ Περσικὸν ὄρνιν.* Cratinus ap. Athen. IX. p. 374. *ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν ὀλόφωνος* [*ὀλοφῶος*?] *ἀλέκτωρ.* Athen. XIV. p. 655. *καὶ μήποτε πρώτιστοι καὶ ἐγένοντο καὶ ἐτράφησαν ἐν Σάμῳ* (pavones), *καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν· ὥσπερ καὶ οἱ ἀλεκτρυόνες ἐν τῇ Περσίδι.* BE. Cf. etiam 833. Supra *Μῆδος* appellatur v. 277.

Schol. *ὥστε καλεῖται Περσικός: Μήποτε τὸν ἀλεκτρυόνα καὶ ἐν τοῖς πρόσθε* [277] *Μῆδον ὄρνιν καλεῖ, ἐπεὶ καὶ τοὺς Πέρσας Μήδους ἔλεγον.*

486. *διαβάσκει*] Anglice, struts to and fro (about). Cf. Vesp. 688. Th. 793. *βάσκετ', ἐπείγετε.* Cf. etiam v. *φάσκειν.*

βασιλεὺς ὁ μέγας] Cf. ad Pl. 170.

Schol. ἀντὶ τοῦ περιέρχεται, περιέπει. R.

487. τὴν κυρβασίαν — ὀρθήν] Reges Persarum gestabant tiaram rectam, ut ceteri Persae retro flexam. V. Brisson. de reg. Pers. princ. 1, 10. 2, 184. Atque ea ὀρθὴ τιάρα dicebatur proprie κυρβασία. V. Hesych. h. v. BECK. V. schol. Phot. et Suid. Τιάρα: κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην. V. Blomf. Gl. Pers. 667. Noster Fr. 465. καὶ τὴν κυνῆν ἔχειν με κυρβασίαν ἐρεῖς. Herod. I. 71. ἔρχονται ἐς τὰς μάχας — κυρβασίας ἐπὶ τῇσι κεφαλῇσι (ἔχοντες). VII. 64. Σάκαι δὲ — περὶ μὲν τῇσι κεφαλῇσι κυρβασίας ἐς ὀξὺ ἀπηγμένας ὀρθὰς εἶχον πεπηγυίας. V. 49. ἀναξυρίδας δὲ ἔχοντες ἔρχονται ἐς τὰς μάχας καὶ κυρβασίας ἐπὶ τῇσι κεφαλῇσι. Schol. Plat. Rep. VIII. 553 C. τιάρα ἐστὶν ἡ λεγομένη κυρβασία, ᾗ οἱ Περσῶν βασιλεῖς μόνοι ὀρθῇ ἐχρῶντο, οἱ δὲ στρατηγοὶ κεκλιμένῃ. Xen. Cyr. VIII. 3. 13. προὐφαίνετο ὁ Κῦρος ἐφ' ἅρματος ὀρθὴν ἔχων τὴν τιάραν. An. II. 5. 23. τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν. Plut. Ant. 54. ἅμα δὲ καὶ προήγαγε τῶν παίδων Ἀλέξανδρον μὲν ἐσθῆτι Μηδικῇ, τιάραν καὶ κίταριν ὀρθὴν ἐχούσῃ, — κεκοσμημένον, etc. Lucian. Nav. 30. τιμῶν τὴν τιάραν ὀρθὴν οὖσαν. Dial. Mort. XIV. 4. τιάραν ὀρθὴν ἐπέθου. Etiam hodie plerique Persae tiaram retro versam gestant. Vide an ab eadem stirpe ac κυρβασία ortum sit vocabulum turban, velamen capitis apud hodiernos Turcos.

Schol. τὴν κυρβασίαν: Τοῦτο ἐξ ἱστορίας εἴληφε. πᾶσι γὰρ Πέρσαις ἐξῆν τὴν τιάραν φορεῖν, ἀλλ' οὐκ ὀρθήν, ὡς Κλείταρχος ἐν τῇ δεκάτῃ. μόνοι δὲ οἱ τῶν Περσῶν βασιλεῖς ὀρθαῖς ἐχρῶντο. (τὴν δὲ ἐπὶ κεφαλῆς κίδαριν. ἔστι δὲ αὕτη, καθὰ προείπομεν, τιάρα. τοῖς μὲν ἄλλοις ἔθος καὶ ἐπτυγμένην καὶ προβάλλουσαν εἰς τὸ μέτωπον ἔχειν, τοῖς δὲ βασιλεῦσιν ὀρθήν.)

488. μέγας ἦν — καὶ πολύς] Cf. Herod. VII. 14. ὡς καὶ μέγας καὶ πολλὸς ἐγένεο ἐν ὀλίγῳ χρόνῳ, οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος ἔσεαι. Thuc. II. 102. τό τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολύ. Ran. 1046. ἀλλ' ἐπί τοι σοὶ — πολλὴ πολλοῦ 'πικαθῆτο. Eq. 430. ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιείς. 760. πρὸς ταῦθ' ὅπως ἔξει πολὺς καὶ λαμπρὸς ἐς (ἐπὶ?) τὸν ἄνδρα. Dem. 25, 57. πολὺς παρ' ἡμῖν ἔπνει καὶ λαμπρός. 40, 53. πολὺς καὶ τολμηρός ἐστιν.

489. νόμον ὄρθριον] Pro ὄρθιον, qui citharoedorum modus erat. V. ad Ach. 16. "Tamquam de citharoedo aut citharistria. In Eccl. 741. σὺ δὲ δεῦρ', ἡ κιθαρῳδός, ἔξιθι | πολλάκις ἀναστήσασά μ' εἰς ἐκκλησίαν | ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον." (Be.) Plato comicus Fab. Inc. XX. αἱ δὲ κοκκύζων ὄρθρι' ἀλέκτωρ προκαλεῖται. Theocr. VII. 123. ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ | κοκκύσδων etc. XXIV. 63. ὄρνιθες (galli) τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον. Ὄρθριον adverbiascit Eccl. 377. 526.

Schol. ὄρθριον ᾄσῃ: Καλῶς τὸ ᾄσῃ. κοκκύζει γὰρ κυρίως ὅτ' ἂν παρ' ἑαυτῷ μετὰ νίκην τῆς μάχης ᾄσῃ.

490. Plin. N. H. 10, 21, 24. vigiles nocturni (galli), quos excitandis in opera mortalibus rumpendoque somno natura genuit.

Norunt sidera et ternas horas distinguunt interdiu cantu. Cum sole eunt cubitum, quartaque castrensi vigilia ad curas laboremque revocant. Nec solis ortum incautis patiuntur obrepere, diemque venientem nuntiant cantu. (Ko.)

σκυλοδέψαι] Cerdones coriarii. Ab *σκύλος* seu *σκῦλον*, pellis. Bentleius confert Callim. et Anthol. VI. *τοῦτο χιμαιροβότᾳ Τελέσων αἰγώνυχι Πανὶ | τὸ σκύλος ἀερίης τεῖνε κατὰ πλατάνου.*

ᾄσῃ] Cf. Vesp. 100. *τὸν ἀλεκτρυόνα δ', ὃς ἦδ' ἀφ' ἑσπέρας*, etc.

491. *τορν.*] Duo hic vocabula per crasin conjunguntur, *τορνευτολύραι* et *ἀσπιδοπηγοί*. Cf. Thesm. 54. *τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ*. Dem. p. 945. *ἀσπιδοπηγεῖον*. Cf. v. *σοροπηγὸς*, Nub. 846.

Schol. *τορνευτασπιδο.*: [[*Οἱ ποιοῦντες τὰς λυρὰς καὶ τὰς ἀσπίδας.*] — *ἔμποροι*. R.

492. *ἀποδύσοντες νύκτωρ*] Cf. 712. Eccl. 668. *οὐδ' ἀποδύσουσ' ἄρα τῶν νυκτῶν;* Ran. 715. Plut. 930. *οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.* Hor. Epist. I. 2. 32. Ut jugulent homines surgunt de nocte latrones. Hinc *λωποδύτης, λωποδυτεῖν*.

νύκτωρ] Anglice, while it is yet night, i. e. at early dawn. Plat. Prot. 310 A. *τῆς παρελθούσης νυκτὸς, ἔτι βαθέος ὄρθρου.* 311 A. *διατρίψωμεν ἕως ἂν φῶς γένηται.*

ἐμὲ τουτό γ' ἐρῶτα] Cf. Pl. 499. *μηδὲν ταύτην γ' ἀνερώτα.* Ran. 1012. *μὴ τοῦτον ἐρώτα.* Lucian. D. D. VII. 1. *ἐρώτα τὸν Ποσειδῶνα, οὐ τὴν τρίαιναν ἔκλεψεν.*

493. *ὁ μοχθηρός*] Miser. Cf. Soph. Phil. 254. *ὦ πόλλ' ἐγὼ μοχθηρός.*

Φρυγίων ἐρίων] Celeberrima erat non modo Milesia lana, sed etiam in Phrygia Ancyrana et Laodicena. Vide Strabon. XII. 8.

Schol. *Φρυγίων ἐρίων*: *Ἢ ἀπὸ Φρυγίας ἢ ἀπὸ δήμου. ἐκεῖ γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια.*

494. *ἐς γὰρ δεκάτην ποτὲ παιδαρίου*] Solebant tunc nomen imponere infantibus. Infra 922. *οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγὼ | καὶ τοὔνομ' ὥσπερ παιδίῳ νῦν δὴ 'θέμην;* Solebant etiam pervigilare tunc aut in seram noctem convivari. Eubulus ap. Athen. XV. p. 668 D. *εἶεν, γυναῖκες, νῦν ὅπως τὴν νύχθ' ὅλην | ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε.* Hinc Euelpidi illud infortunium noctu accidit. BE. Cf. Eur. El. 1126. *τούτων ὕπερ μοι θῦσον — | δεκάτῃ σελήνῃ παιδὸς ὡς νομίζεται.* Dem. p. 1000. *τὴν δεκάτην ἐμοὶ ποιῶν τοὔνομα τοῦτο ἔθετο (ὁ πατήρ).* p. 1001. *οὔτ' ἂν ἐποίησε δεκάτην οὐδεὶς παιδίου μὴ νομίζων αὑτοῦ δικαίως εἶναι.* Isae. III. 34. *ἐν τῇ δεκάτῃ τῆς θυγατρός.* III. 38. *εἰς τὴν δεκάτην — κληθέντες τῆς τοῦ Πύρρου θυγατρός.* III. 39. *Κλειταρέτην ὁ πατὴρ ἐν τῇ δεκάτῃ ὠνόμηνεν.* III. 85. *ἐν τῇ δεκάτῃ τῇ ταύτης κληθέντες συνεστιᾶσθαι.* Euripidis locum apud schol. sic corrigit Elmsleius ad Med. p. 66: *τίς σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμασε;* Similiter *τἀμφιδρόμια τῆς κυνῆς* dicitur Lys. 757.

ὑπέπινον] Post prandium, non coenam. DOBR. Cf. Pac. 874. *ὑποπεπωκότες.* Lys. 394. *ἡ δ' ὑποπεπωκυῖ' ἡ γυνὴ* etc. Fr. 428. *ὑποπεπωκότες μὲν,*

ἄνδρες, καὶ καλῶς ἠρίσταμεν. (Itaque ὑποπίνειν erat τοῦ ἀρίστου potatio, πίνειν τοῦ δείπνου.) Pherecr. ap. Athen. VIII. 364 B. χᾆτά τις εἶπεν | τῶν ξυμπινόντων, Ἤδη σύ; τί οὐχ ὑποπίνεις; Alex. ap. Athen. 34 C. ἐχθὲς ὑπέπινες, εἶτα νυνὶ κραιπαλᾷς. Antiphan. ap. Athen. 40 C. συνεχῶς γὰρ ἐμπιπλάμενος ἀμελὴς γίγνεται | ἄνθρωπος, ὑποπίνων δὲ πάνυ φροντιστικός. Apollod. Car. com. IV. 442. ἱλαροὺς παίζοντας ὑποπεπωκότας. Philochorus ap. Athen. 464. ἡμεῖς οὖν — ἅμα ἀκροώμενοι τῶν γελωτοποιῶν τούτων — ὑποπίνωμεν. Hell. V. 4. 40. ἐφίκεσαν ὑποπεπωκόσι που ἐν μεσημβρίᾳ. VI. 4. 8. ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόντων καὶ τὸν οἶνον παροξῦναί τι αὐτοὺς ἔλεγον. Anab. VII. 3. 29. ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγχανεν. Symp. IX. 2. μετὰ δὲ τοῦθ' ἥξει Διόνυσος ὑποπεπωκὼς παρὰ θεοῖς etc. Cyr. VIII. 4. 9. ἐπεὶ ὑπέπινον. Plat. Lys. 223 B ὑποπεπωκότες ἐν τοῖς Ἑρμαίοις. 204 D. ἂν μὲν δὴ καὶ ὑποπίῃ. Rep. II. 372 D. μετρίως ὑποπίνοντες. Ὑποπίνειν significat subbibere (Suet. Ner.), i. e., ut videtur, aliquanto largius bibere, ita tamen ut quis non inebrietur. Anglice, to tipple, to take a drop too much. Nescio an praeterea significet ante tempus (i. e. ante coenam) bibere, quae vis est praepositionis ὑπὸ in ὑπάγειν, ὑπᾴδειν, ὑφηγεῖσθαι, etc. Confer v. ὑποτρώγειν (Xen.). E rure in urbem invitatus erat Euelpides ad epulas, et ut rusticus statim bibere coepit morae impatiens. Aliquando etiam subbibere, parcius bibere significat, ut in Antiphanis loco supra laudato. Phot: ὑποπίνειν· ἀντὶ τοῦ μεθύσκεσθαι. Poll. VI. 19. ὑποπίνειν, ὃ καὶ ὑποψακάζειν λέγουσιν.

Schol. ἐς δεκάτην γάρ ποτε: Ὅτι τὴν δεκάτην εἱστίων ἐπὶ τοῖς τικτομένοις, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισί. (καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ "τί σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν." ὁ δὲ Ἀριστοτέλης [Hist. an. VII. 12] ἐν ταῖς ἑβδόμαις φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα, γράφων οὕτως "τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸς τὴν ἑβδόμην. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες τότε μᾶλλον τῇ σωτηρίᾳ.") ‖τοῦ δὲ ὑπέπινε περιττὴ ἡ ὑπό.‖ — περιττεύει ἡ ὑπό. R.

495. χᾄρτι καθηῦδον —] And had just fallen off (or was just falling off) to sleep, when —. Cf. 496. Eccl. 820. ὑπέχοντος ἄρτι μου τὸν θύλακον.

καὶ πρὶν δειπνεῖν τοὺς ἄλλους —] Et priusquam ceteri coenarent iste cecinit. "Jocatur in ᾖσεν, quasi gallus fuisset ἄσωτος quidam, qui jam inter potandum caneret, antequam coenandi hora esset. He had got noisy before supper-time. Omnino cf. Fr. 243. ἤδη παροινεῖς ἐς με πρὶν δεδειπνάναι. et Demosth. p. 1257, 12. ἣν οὖν δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαίνοι, ταύτην ἂν ἤδη ἐπαρῴνουν οὗτοι. Retinendum enim δειπνεῖν." DOBR. Anglice, and before the rest of the world were at supper. "Vocatus Euelpides ad epulas rure in urbem venit maturius, statimque bibere coepit apud convivatorem, et priusquam coenandi tempus esset ebrius obdormivit, cum de improviso gallus cecinit ad vesperam, et ille experrectus ratusque matutinum tempus esse Alimuntem tetendit, quo postero mane ire constituerat." (Both.)

οὗτος ἄρ' ᾖσε] Sc. gallus gallinaceus. Cecinit igitur gallus vespertino tempore, ut ille in Vesp. 100. *τὸν ἀλεκτρυόνα δ', ὃς ᾖδ' ἀφ' ἑσπέρας, ἔφη | ὀψ' ἐξεγείρειν αὐτὸν ἀναπεπεισμένον.* Cratin. com. II. 162. *ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν δλόφωνος ἀλέκτωρ.*

Schol. ἀντὶ τοῦ ἀρχὴν εἶχον τοῦ ὕπνου. R.

496. *νομίσας ὄρθρον*] Sub. *εἶναι.* Ellipsis minime rara. Cf. 723. *ἢν οὖν ἡμᾶς νομίσητε θεούς.* 511. 577. 586. Ach. 993. *ἤ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ.* Eq. 1338. *ἐμὲ γὰρ νομίζοις ἂν θεόν.* Nub. 143. *νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.* Antiph. com. III. 67. *ἐγέλων νομίζων λῆρον.* Strab. XI. p. 504. *φκείωται δ' ἕκαστος πρὸς ἕκαστον νομίζων υἱὸν διὰ τὴν ἄγνοιαν.*

ἐχώρουν] I set out, I started. Cf. Eccl. 819. Thuc. VII. 1. *ἀναλαβὼν — τοὺς ὡπλισμένους — ἐχώρει πρὸς τὰς Συρακούσας.*

Ἁλιμοῦντάδε] Halimunte natus est Thucydides (Marcell. Vit.) Triginta quinque stadia ab Athenis distabat, ut discimus ex Demosth. in Eubul.

Ἁλιμοῦντάδε] Leontidos tribus pagus. V. schol.

Schol. [*Ἁλιμοῦντάδε: Δῆμος τῆς Λεοντίδος φυλῆς.*]

497. *ἔξω τείχους*] Absque articulo. Sic Th. 495. *ἀπὸ τείχους εἰσιών.* Plat. Parm. p. 54 E. *ἐκτὸς τείχους ἐν Κεραμεικῷ.* Id. Lys. p. 106. *τὴν ἔξω τείχους* (*ὁδόν*). Xen. Hipp. VII. 6. *τὰ ἔξω τείχους.* Isocr. p. 64 E. *ἐντὸς τείχους οἱ πολῖται πρὸς ἀλλήλους μάχονται.* Athen. XIII. 604 D. *εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε.* Isocr. p. 150. *κατασκευὰς — τὰς ἐντὸς τείχους.* Sic *ἐν ἀγορᾷ, εἰς ἀγοράν, ἐς πόλιν, ἔξω ἰσθμοῦ* (Thuc. V. 75), etc.

παίει ῥοπάλῳ με τὸ νῶτον] Cf. Lys. 657. *τῳδί σ' ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ τὴν γνάθον.*

498. *ἀπέβλισε*] Spoliavit. Vide ad Eq. 794. Philostr. V. Apoll. VI. 36. *τοὺς δὲ τοιούτους ἀποβλίττουσιν οἱ συκοφάνται.*

Schol. [*ὁ δ' ἀπέβλισε θοἰμάτιον: Ἀντὶ τοῦ ἀφείλετο. ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων, ἢ ἀπὸ τῶν γάλα ἀμελγόντων.*]

501. *προκαλινδεῖσθαι*] Ex scholiis: *ἔαρος ἀρχομένου ἰκτῖνος φαίνεται εἰς τὴν Ἑλλάδα· ἐφ' ᾧ ἡδόμενοι κυλίνδονται —.* et mox: *οἱ πένητες οὖν ἀπαλλαγέντες τοῦ χειμῶνος ἐκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς.* Post hyemem statim apparere milvum patet etiam ex comico infra 714. ubi de hiberno tempore loquutus ait: *Ἰκτῖνος δ' αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει.* Adorare autem solebant etiam ciconias qui primum illas conspicabantur. Philostratus Epist. 44. *τὸν δὲ πελαργὸν οἱ πρῶτοι θεασάμενοι καὶ προσκυνοῦσι.* BE. Hirundinem similiter, ut veris nuntium, salutabant. Cf. ad Equit. 419. *ὥρα νέα, χελιδών.*

Schol. προκυλινδεῖσθαι: Ἔαρος ἀρχομένου ἴκτινος φαίνεται εἰς τὴν Ἑλλάδα· ἐφ' ᾧ ἡδόμενοι κυλίνδονται (ὡς ἐπὶ γόνυ. παίξας οὖν ὡς βασιλεῖ φησι τὸ κυλινδεῖσθαι). ἴδιον γὰρ βασιλέως τὸ γονυπετεῖσθαι ὑπὸ ἀνθρώπων. Ἄλλως. (τοὺς ἀνθρώπους δηλονότι. τὸ διὰ μεταβολὴν δὲ καιροῦ γινόμενον εἰς βασιλικὴν ἐπέτρεψε τιμήν.) οἱ γὰρ ἴκτινοι τὸ κα-

λαιὸν ἔαρ ἐσήμαινον. οἱ πένητες οὖν ἀπαλλαγέντες τοῦ χειμῶνος ἐκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς.

502. ἀναχάσκων] Cf. Fr. 49. ἀνέχασκον — ἐμφερέστατα | ὀπτωμέναις κόγχαισιν.

503. ὀβολὸν κατεβρόχθισα· κᾆτα κενὸν τὸν θύλακον] Obolum (quem in ore habebam), quo farinam eram empturus, deglutivi; atque ita domum retuli vacuum saccum. De pecunia in ore et de sacco farinario Eccl. 818. μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων· | κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα· | ἔπειτ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον | ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα | χαλκοῦν. Nempe et iste cum vacuo abivit sacco farinario. De pecunia in ore condenda vide in Vespis v. 791. BE. Cf. Vesp. 609. 789 sq. Fr. 111. 144. Alex. com. III. 437. ὁ δ' ἐγκάψας τὸ κέρμ' εἰς τὴν γνάθον etc.

ἀφεῖλκον] Ut vacuum. Quod si farinam ista pecunia emere potuisset, plenum eum humeris domum portavisset.

Schol. ὀβολὸν κατεβρόχθισα: Ἀντὶ τοῦ κατέπιον, φησὶν, ὃν εἶχον ἐν τῷ στόματι ὀβολὸν, ἵνα ὠνήσωμαι ἄλφιτα, προσκυλιόμενος τῇ τοῦ ἰκτίνου ἐπιφανείᾳ.

504. κόκκυξ est cuculus, qui, quum adulto vere sub initium aestatis appareat (Aelian. N. A. III. 30. Plin. H. N. XVIII. 26. Hesiod. Op. 486.), intelligitur cur Phoenices de messe facienda admonere dicatur. BECK. Aelian. N. H. III. 30. ὁρᾶται ὁ κόκκυξ ἦρος ὑπαρχομένου εἰς ἀνατολὰς Σειρίου· εἶτα ἀνεχώρησεν. Hesiod. Op. 486. ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι | τὸ πρῶτον τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν. KO.

505. Schol. κόκκυ: Ποιὰ φωνὴ τὸ κόκκυ. ἢ ἀντὶ τοῦ ὀλίγον. ἔστι δὲ [μόνως] παροξυτόνως. πρὸ θερισμοῦ δὲ φαίνεται ὁ κόκκυξ ἐν τῇ Φοινίκῃ. Ἡσίοδος [Op. 484] "ἦμος κόκκυξ κοκκύσῃ."

506. τοὺς πυροὺς — τὰς κριθάς] Cf. 622.

507. τοῦτ' ἄρ' ἐκεῖν' —] Redde Anglice, This then is really the meaning of that saying. Cf. ad 354.

κόκκυ, ψωλοὶ, πεδίονδε] Dictum proverbiale: nam Aegyptii et alii Orientis populi audita voce cuculi ad metendum sese accingebant. Verpi autem sive circumcisi erant Aegyptii, teste Herodoto II. 104. μοῦνοι πάντων ἀνθρώπων Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτάμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ καὶ αὐτοὶ ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι. Similiter Suidas in θύραζε: Θύραζε Κᾶρες· οὐκέτ' Ἀνθεστήρια. οἱ μὲν διὰ τὸ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαί φασιν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. τῆς οὖν ἑορτῆς τελεσθείσης λέγειν ἐπὶ τὰ ἔργα ἐκπέμποντας αὐτούς. Polyaen. p. 290. "ἅλαδε μύσται."

κόκκυ] Cf. Ran. 1384. κόκκυ, μεθεῖτε. Hor. Sat. I. 7. 31. Durus | Vindemiator et invictus, cui saepe viator | Cessisset magna compellans voce cucullum. De verbo κοκκύζειν cf. Ran. 1380.

πεδίονδε] Ludit, ut videtur, in ambiguo sensu vocis πεδίον. V. schol. et cf. ad Lys. 88.

Schol. κόκκυ, ψωλοὶ: Παρὰ τὴν παροιμίαν, ὅτι ἐπὶ τῶν Αἰγυπτίων ἦσαν ψωλοὶ πολλοί. καὶ ὅτ' ἂν ὁ κόκκυξ εἴπῃ κόκκυ, τότε ὅλοι ἅμα τῇ φωνῇ ἐξήρχοντο εἰς τὸ πεδίον. (Ἄλλως. τὸ αἰδοῖον. ἐπίτηδες δὲ συνήγαγε τὰς δύο λέξεις, ἵνα εἴπῃ αἰσχρῶς καὶ γέλωτα κινήσῃ. ἔστι δὲ παροιμία παρὰ Φοίνιξι "κόκκυ ψωλοὶ πεδίονδε", ἀντὶ τοῦ κόκκυγος κράζοντος τὰ πεδία θερίζομεν.)

508. ἦρχον — τὴν ἀρχήν] Cf. Vesp. 557. 619. Redde, Tantam autem adepti sunt imperii potestatem.

οὕτω σφόδρα] Cf. Pl. 1016. οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν. Plat. Symp. 175. οὕτω σφόδρα ἐξέλαμψε καὶ ἐκφανὴς ἐγένετο (ἡ σὴ σοφία). Lach. 188. οὕτω σφόδρα ἀποδέχομαι παρ' αὐτοῦ τὰ λεγόμενα. Lys. XII. 94. οὕτω σφόδρα ἤρχεσθε ὥστε —.

βασιλεύοι] Imperfecti optativus.

510. ἐπὶ τῶν σκήπτρων ἐκάθητ' ὄρνις] Scholia: ἐπεὶ εἰώθασιν ἐν τοῖς σκήπτροις ἐπὶ τοῦ ἄκρου ἐκτυποῦν ὄρνιθας εἰς κόσμον. Herod. I. 195. σφρηγῖδα ἕκαστος ἔχει καὶ σκῆπτρον χειροποίητον· ἐπ' ἑκάστῳ δὲ σκήπτρῳ ἔπεστι πεποιημένον ἢ μῆλον ἢ ῥόδον ἢ κρίνον ἢ αἰετὸς ἢ ἄλλο τι· ἄνευ γὰρ ἐπισήμου οὔ σφι νόμος ἐστὶ ἔχειν σκῆπτρον. (Ko.) Etiam in Iovis sceptro aquila sedebat secundum Pindarum, cujus locum mox adducam ad v. 515. Scholiastes ad Aves infra v. 1354. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. BE.

Schol. ἐπὶ τῶν σκήπτρων: Ἐπεὶ εἰώθασιν ἐν τοῖς σκήπτροις ἐπὶ τοῦ ἄκρου ἐκτυποῦν ὄρνιθας εἰς κόσμον.

μετέχων ὅ τι δωροδοκοίη: Ἵνα μετέχῃ τῆς αὐτῆς δωρεᾶς. ἐν γὰρ τοῖς σκήπτροις τῶν βασιλέων ἦν ἀετός. ἔστι δὲ δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα, δωρεὰ δὲ ἐπὶ τιμῆς.

511. ᾔδη] Attice pro ᾔδειν. Contractum ex ᾔδεα. Etym. M. p. 419, 13. Ἀθηναῖοι ἐν τῷ πρώτῳ προσώπῳ τὸ ε καὶ α εἰς η συναιροῦσιν· οἷον ᾔδη ἐγὼ ἀντὶ τοῦ ἠπιστάμην. Phot. p. 48, 17. ἑωράκη. τὸ πρῶτον πρόσωπον· ὡς ἐπεπόνθη καὶ ἐπεποιήκη καὶ ᾔδη τὸ ᾔδειν. Πλάτων τοῖς τοιούτοις χρῆται σχηματισμοῖς. Moeris, Ἤιδη, Ἀττικῶς· ᾔδειν, Ἑλληνικῶς. Hom. Il. ξ'. 71. ᾔδεα μὲν γὰρ —. θ'. 366. χ'. 280. ᾐείδης (noras). Plat. Crat. 384. ἀκηκόη (imo ἠκηκόη). Eur. Her. 987. ᾔδη. Hipp. 405.

καὶ δῆτα] Et profecto, atque adeo. Cf. 1670. οὐ δῆτ' ἐμέ γε. καὶ δῆτ' ἐθαύμαζον πάλαι. Ach. 142. Eccl. 385. Dem. p. 1441. καὶ δῆτα θαυμάζω πότερα etc.

511. μ' ἐλάμβανε θαῦμα] Cf. 781. εἷλε δὲ θάμβος ἄνακτας. Hom. Od. γ'. 372.

512. ἐν τοῖσι τραγῳδοῖς] Demoth. 18, 54. ἀναγορεῦσαι (ἀνειπεῖν) ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην. Aeschin. 3, 36. ποιεῖσθαι τὴν ἀνάρρησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ.

ἐν τοῖσι τραγῳδοῖς] In certamine tragico. Cf. Dem. p. 18, 54. ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις τραγῳδοῖς καινοῖς

ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην. Aeschin. 3, 36. τραγῳδοῖς. (Ko.) Nisi forte hic sensus potius est, in tragoedorum fabulis. Sic Lys. 188. ἐν Αἰσχύλῳ, i. e. in Aeschyli dramate.

Schol. ὁπότ' ἐξέλθῃ Πρίαμος: Ἐν ταῖς τραγῳδίαις (φησὶν) ὑποκρίνεταί τις τὸ Πριάμου βασιλικὸν πρόσωπον, ἔχων ὄρνιν ἐπὶ τοῦ σκήπτρου, τὸν Λυσικράτην τηρῶν μὴ δωροδοκήσῃ. οὗτος δὲ στρατηγὸς ἐγένετο Ἀθηναίων κλέπτης τε καὶ πανοῦργος. διεβάλλετο δὲ δωροδόκος. (ἔνιοι δὲ τραγικὸν αὐτόν φασι κλέπτην καὶ σφόδρα ἄσημον.)

(ἐν τοῖς τραγῳδοῖς: Ὅτι καὶ νῦν τὸν χορὸν τῶν τραγικῶν. ἐποίουν δὲ ἐπὶ τῶν σκήπτρων ὡς ἐπίπαν ἀετούς.)

513. ὁ δ'] Sc. ὁ ὄρνις. Lysicratem, ducem Atheniensium, joco inexpectato pro Priamo nominat, ut δωροδόκον eum esse ostendat.

Λυσικράτη] Hic notatur tanquam munerum captator, in Eccl. 630. tanquam deformis. BE. Sic Φιλοκράτη infra 1077. Cf. ad Lys. 103. Nub. 355.

514. ὃ δὲ δεινότατόν γ' — ὁ Ζεὺς γάρ] Cf. Dem. p. 353. ὃ τοίνυν μέγιστον ἁπάντων· ὁ γὰρ etc. p. 406. ὃ τοίνυν μέγιστον ἁπάντων —. βουλομένου γὰρ ἐμοῦ etc. p. 1100. τὸ (ὃ?) δὲ πάντων μέγιστον —· ὁ γὰρ τοῦ Σόλωνος νόμος etc. Lys. 32, 37. ὃ δὲ πάντων δεινότατον, ὦ δικασταί· οὗτος γὰρ —· Or. XIX. 26. ὃ δὲ μέγιστον τεκμήριον· Δῆμος γὰρ —. p. 170. ὃ δὲ πάντων σχετλιώτατον· οἷς γὰρ etc. Isocr. p. 92. ὃ δὲ δεινότατον· ὅταν γάρ —. p. 361 C. ὃ δὲ πάντων δεινότατον· διεγγυῶντος γὰρ Μενεξένου etc. p. 201. ὃ δὲ πάντων δεινότατον· τὴν γὰρ πόλιν etc. Or. XV. § 135. κεφάλαιον δὲ πάντων τούτων· εἰθισμένων γὰρ etc. Plut. Syll. 31. ὃ δὲ πάντων ἀδικώτατον ἔδοξε· τῶν γὰρ προγεγραμμένων etc. Lucian. Charid. 8. τὸ δὲ δὴ μέγιστον — ὁμιλῶν γὰρ τοῖς θεοῖς etc. Et, absque γὰρ, Vesp. 605. ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων. Isocr. p. 314. ὃ δὲ πάντων δεινότατον, ὅταν τις etc.

515. ἀετὸν ὄρνιν] Sic 565. ὄρνιθι φαληρίδι. 568. ὀρχίλος ὄρνις. Quod ad ὄρνιν, cf. 561.

ἕστηκεν] Scilicet simulacrum ejus. Cf. Eccl. 782. ἕστηκεν (τἀγάλματα τῶν θεῶν) ἐκτείνοντα τὴν χεῖρ' —.

ἐπὶ τῆς κεφαλῆς] Vide scholiastae explicationem. Sed reponendum videtur ἐπὶ τοῦ σκήπτρου. Paus. 5, 11, 1. ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενός ἐστιν ὁ ἀετός. Pind. P. I. 10. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός. (Ubi Boeckh: "Aquila Jovis sceptro insidens ficta esse antiquitus videtur; atque ita repraesentavit Phidias in Olympii Jovis sceptro, fortasse Pindarum maxime secutus.") Soph. Fr. 766. ὁ σκηπτροβάμων αἰετὸς, κύων Διός.

Schol. ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς: Δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου εἶπεν ἐπὶ τῆς κεφαλῆς. (οὕτω γὰρ ὁ Πίνδαρος [Pyth. I. 11] "εὕδει δ' ἀνὰ σκάπτρῳ Διὸς αἰετός." καὶ Σοφοκλῆς "ὁ σκηπτροβάμων αἰετὸς, κύων Διός." ἢ) ἐπειδὴ εἰώθεισαν τὰ ἀφιερωμένα ἑκάστῳ θεῷ ὄρνεα ἐπὶ κεφαλῆς ἱδρύεσθαι. τῆς Ἀρχηγέτιδος Ἀθηνᾶς τὸ ἄγαλμα γλαῦκα εἶχεν ἐν

τῇ χειρί· ὁ δὲ Ἀπόλλων τὸν ἱέρακα ὡς μαντικὸν ὄρνεον καὶ ὡς θεράπων τοῦ Διός. ἐπεὶ μικρότερος τοῦ ἀετοῦ ὁ ἱέραξ.

516. *ἡ δ' αὖ θυγάτηρ γλαῦχ'*] Minerva, de qua et in Equitibus v. 1092. *καὶ μοὐδόκει ἡ θεὸς αὐτὴ | ἐκ πόλεως ἐλθεῖν, καὶ γλαῦξ αὐτῇ 'πικαθῆσθαι.* BE.

θεράπων] Cf. 909. *Μουσάων θεράπων ὀτρηρός.* Theogn. 769. *χρὴ Μουσέων θεράποντα καὶ ἄγγελον* etc. Aesch. Eum. 19. *Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.*

ἱέρακα] Imo corvus sacer ejus fuit. Aelianus (H. A. I. 47.) corvum dicit *θεράποντα καὶ ἱερὸν ὄρνιν καὶ ἀκόλουθον Ἀπόλλωνος.* Herod. IV. 15. *τότε δὲ, ὅτε εἵπετο τῷ θεῷ* (Apollini), *εἶναι κόραξ.* Ovid. Met. II. 545. ales — Phoebeius (corvus). V. Gronov. Observ. III. 11. Est autem accipiter, monente schol., *μαντικὸν ὄρνεον.*

520. *ὄμνυ — θεόν*] Cf. Diog. L. VII. 32. *ὤμνυε δὲ, φασὶ, καὶ κάππαριν.* Philostr. Vit. Apoll. VI. 19.

τότ' ἄν] Cf. 505. Nub. 977. *ἠλείψατο δ' ἂν* (*ἠλείφετο δ' ἂν* aut *αὖ*?) — *οὐδεὶς — τότ' ἄν, ὥστε* etc.

Schol. οὕτως καὶ τῶν θεῶν εὐδαιμονέστεροι οἱ ὄρνεις. R.

521. *Λάμπων*] Iste erat vates. Mentio ejus et infra 988.

ὄμνυσ' — τὸν χῆν'] Cf. ad Vesp. 83. Scholia: *ὅτι πρῶτοι οἱ Σωκρατικοὶ οὕτως ἐπετήδευσαν ὀμνύναι.*

ἐξαπατᾷ τι] Praeter exspectationem pro *χρησμολογῇ τι* dictum. Cf. Dem. 23, 117. *ἐξαπατώντων τι τῶν Λακεδαιμονίων.* 20, 5. *ἐξαπατηθέντας τι.*

Schol. Λάμπων δ' ὄμνυσι: (Τῶν εἰκῇ δαιμόνων· ὅτι πρῶτοι οἱ Σωκρατικοὶ ἐπετήδευσαν οὕτως ὀμνύναι. Σωσικράτης γὰρ ἐν τῷ β' τῶν Κρητικῶν οὕτως φησὶ "Ῥαδάμανθυς δὲ δοκεῖ διαδεξάμενος τὴν βασιλείαν δικαιότατος γεγενῆσθαι πάντων ἀνθρώπων. λέγεται δὲ αὐτὸν πρῶτον οὐδένα ἐᾶν ὅρκους ποιεῖσθαι κατὰ τῶν θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ κριὸν καὶ τὰ ὅμοια.") ὁ δὲ Λάμπων θύτης ἦν καὶ χρησμολόγος καὶ μάντις· (ᾧ καὶ τὴν εἰς Σύβαριν τῶν Ἀθηναίων ἀποικίαν ἔνιοι περιάπτουσιν, αὐτὸν ἡγήσασθαι λέγοντες Ἀθηναῖον ὄντα σὺν ἄλλοις ι'.) ὤμνυε δὲ κατὰ τοῦ χηνὸς ὡς μαντικοῦ ὀρνέου. ἔτυχε δὲ καὶ τῆς ἐν πρυτανείῳ σιτήσεως. (Ἄλλως. ὅτι οὗτος χρησμολόγος, ἔζη δὲ ἐπὶ τῆς τῶν Ὀρνίθων διδασκαλίας, οὐχ, ὥς τινες, ἐτεθνήκει. πολλῷ γὰρ ὕστερον Κρατῖνος ἐν τῇ Νεμέσει οἶδεν αὐτὸν ζῶντα.)

522. Cf. Eq. 530. *οὕτως ἤνθησεν ἐκεῖνος.*

523. *Μανᾶς*] I. e. servos. Cf. 1311. 1329. Pac. 1146. Lys. 1212. Pherecr. II. 254. *οὐ γὰρ ἦν τότ' οὔτε Μάνης οὔτε σηκὶς οὐδενὶ | δοῦλος,* Alex. III. 395. Mnesim. III. 568. Similiter ancillarum nomen erat *Μανία,* Th. 728. Cf. etiam Ran. 730. *τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ Πυρρίαις — εἰς ἅπαντα χρώμεθα.*

Schol. Μανᾶς: Ἀπὸ τοῦ Μάνης. πρὸς δὲ τὰ ἀνδράποδα καὶ ὄνομα εἶπε δουλικόν, ὡσεὶ ἔλεγε τοὺς δούλους Μανᾶς. οὕτω γὰρ ἐκάλουν τοὺς οἰκέτας πολλάκις.

524. ὥσπερ — τοὺς μαινομένους βάλλουσ' ὑμᾶς] Ita enim mos erat. Cf. Ach. 1168. Vesp. 1491.

Schol. οὐδὲ μελλονικιᾶν: *Ὅτι βραδὺς ἦν περὶ τὰς ἐξόδους, καὶ ὡς οἱ διαβάλλοντες, οὐχὶ προνοητικὸς ἦν, ἀλλ' ἀμελητής* (l. *ἀλλὰ μελλητής*). *τινὲς δέ φασι διὰ τὸ προνοητικὸν καὶ μὴ προπετὲς τοιοῦτον αὐτὸν εἶναι.* — *ὁ Νικίας υἱὸς Ἀλκιβιάδου* (imo *Νικηράτου*), *ὃς ἀνεβάλλετο ἀπελθεῖν εἰς Σικελίαν.* R. V.

640. Cf. Ran 568. *ἀλλ' ἐχρῆν τι δρᾶν.*

Schol. ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν: *Ὁ ἔποψ παρακελεύεται αὐτοῖς εἰς*

τὴν νοσσιὰν εἰσελθεῖν, ἵνα αὐτῶν ἀποστάντων σχοίη καιρὸν ἡ παράβασις. [τὸ δὲ κάρφη καὶ φρύγανα ἐκ παραλλήλου τὸ αὐτό.]]

641 sq. εἰσέλθετ' — φράσατον] Diversi numeri consociantur, ut in Pl. 73. 75—76. Pac. 414—415. Soph. Oed. C. 1435 sq.

642. κάρφη] Cf. Sophr. Fr. 44. φύλλα καὶ κάρφεα. Herod. III. 111. ὄρνιθας δὲ λέγουσι μεγάλας φορέειν ταῦτα τὰ κάρφεα —, φορέειν δὲ τὰς ὄρνιθας ἐς νεοσσιάς. Eur. Ion. 171. μῶν ὑπὸ θριγκοὺς εὐναίας | καρφηρὰς θήσων τέκνοις; "Colum. R. R. VIII. 15. festucae surculique passim in aviariis spargendi sunt, ut conligere possint aves quibus nidos construant." (Ko.)

644. τῳδεδί] Cf. τηνδεδὶ v. 17.

645. Κριῶθεν] Tribus Antiochidis pagus fuit Κριός, teste scholiasta, qui aliam lectionem memorat Θρίηθεν (Θρίαθεν? Θριᾶσι [Θρίασι?] est Isae. XI. 58. Menand. IV. 303. Οἰδίπους Θριάσιος. Θρίαν commemorant Phot. p. 94. et Steph. Byz. in Θρία.). Cf. Dem. p. 1042. Πολυεύκτου τοῦ Κριωέως. p. 1083. Λυσίππου τοῦ Κριωέως. V. Steph. Byz. in Κρίωα. et Hesych. in Κριῶθεν.

χαίρετον ἄμφω. ΠΕ. δεχόμεθα] Cf. Th. 312. χαίρωμεν. ΧΟ. δεχόμεθα etc. Eupol. com. II. 468. χαίρετε πάντες. Β. δεχόμεσθα. Pl. 788. καὶ σὺ καὶ σὺ χαίρετον (χαίρετε al.).

Schol. Κριῶθεν: Γράφεται καὶ Θρίηθεν, καὶ ἔστι δῆμος τῆς Οἰνηΐδος· ἐὰν δὲ Κριῶθεν, τῆς Ἀντιοχίδος. Ἄλλως. Κριὸς δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ἀπὸ Κριοῦ τινος ὠνομασμένος. ἀναγράφει δὲ τοὺς ἐπωνύμους τῶν δήμων καὶ φυλῶν Πολέμων.

647. ἴθι] Peisetaerum, ut ducem, alloquitur. Sed vide annot. crit.

648. τὸ δεῖνα] Cf. ad Vesp. 524. εἰπέ μοι, τί δ', ἢν τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃς; Pac. 268. τὸ δεῖνα γάρ, | ἀπόλωλ' Ἀθηναίοισιν ἀλετρίβανος. Lucian. 14, 19. τὸ δεῖνα δέ, ὅπως εἰδῶ (haec delet Cobet.), τίσι χαίρει τῶν ἐδεσμάτων; "Ita loquuntur quibus subito in mentem venit aliquid rogare aut monere quod in rem praesentem faciat, cujus adhuc fuerint immemores." (Cobet. V. L. p. 108.) Anglice, by the bye.

ἐπανάκρουσαι] Plena constructio foret πρύμναν aut ἐπὶ πρύμναν (Herod.). Cf. ad Vesp. 399. ἤν πως πρύμνην ἀνακρούσηται.

Schol. ἐπανάκρουσαι: [[Ἐπανάκαμπτε. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων ἢ τὰς ναῦς. Ἄλλως.]] ἀντὶ τοῦ ὑπόστρεψον, ἐπάνιθι. ἐπανάκρουσις δέ ἐστι κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν μεθ' ὁρμῆς εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. καὶ νῦν δὲ τὸ πάλιν ἐπὶ τοῦ ὀπίσω. ἀπὸ τῶν εἰς τοὔμπροσθεν ἐρεσσόντων. ἢ ἀντὶ τοῦ ᾆσας πρὸ τούτου πάλιν ᾆσον καὶ ἐπανάλαβε.

649. ἐγώ τε χοὑτοσί] Cf. Equit. 1159. ἐμέ τε καὶ τουτονί.

Schol. πρὸς ἀλλήλους τοῦτό φησι. R.

651. καλῶς] Ut alibi ῥᾳδίως. Cf. ad 201.

ἐν Αἰσώπου λόγοις —] In Pace v. 119. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη μόνος πετεινῶν (κάνθαρος) εἰς θεοὺς ἀφιγμένος. De Aesopo etiam in Vespis v. 1401. Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας | θρα-

σεῖα καὶ μεθύσῃ τις ὑλάκτει κύων· | κᾆπειτ' ἐκεῖνος εἶπεν, Ὦ κύον κύον etc. ibid. v. 1446. *Αἴσωπον οἱ Δελφοί ποτ' — φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ. | ὁ δ' ἔλεξεν αὐτοῖς ὡς ὁ κάνθαρός ποτε* etc. Hic in Avibus v. 471. *ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας, ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι* etc. BE.

Αἰσώπου] Non revera Aesopi, sed Archilochi, fabulam fuisse eam auctor est scholiasta. V. Aesopi Fab. 1. ed. Fur. Archil. p. 166. ed. Liebel. *Schol.* *ὅρα νῦν ὡς ἐν Αἰσώπου λόγοις*: *Ὅτι σαφῶς ἀνετίθεσαν Αἰσώπῳ τοὺς λόγους, καὶ τοῦτον τὸν παρὰ τῷ Ἀρχιλόχῳ λεγόμενον, καίτοι πρεσβυτέρῳ ὄντι.*

652. *ἔστιν λεγόμενον*] Narratum exstat, traditum est. *τὴν ἀλώπεχ'*] Eadem constructio est quae in Nub. 95. *οἳ τὸν οὐρανὸν | λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς*, etc. 1148. *καί μοι τὸν υἱὸν εἰ μεμάθηκε τὸν λόγον | ἐκεῖνον εἴφ' ὃν ἀρτίως εἰσήγαγες.* Namque *ἐστὶν λεγόμενον* idem valet quod *λέγουσι*. Cf. Xen. Cyr. II. 1. 5. *τοὺς μέντοι Ἕλληνας — οὐδέν πω σαφὲς λέγεται εἰ ἕπονται.* Thuc. III. 51. *ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος τοῖς Ἀθηναίοις — εἶναι, τούς τε Πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους αὐτόθεν λανθάνοντες, — τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν.* Sed mendum, opinor, hic latet. Nisi duas potius constructiones conflatas esse statuas, ut in 1269 infra.

653. *φλαύρως*] I. e. cum damno suo. Cf. Lys. 1041. *οὐκέτι | οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ' ὑφ' ὑμῶν πείσομαι.* Herod. VI. 94. *Μαρδόνιον φλαύρως πρήξαντα τῷ στόλῳ παραλύει τῆς στρατηγίας.*

ἐκοινώνησεν ἀετῷ] Societatem iniit cum aquila. Plat. Rep. 343 D. Legg. 844 C. Alibi *κοινωνεῖν τινί τινος* (to go shares with anyone in anything) Legg. 686 A. Archiloch. Fr. 86. *αἶνός τις ἀνθρώπων ὅδε, | ὡς ἄρ' ἀλώπηξ καἰετὸς ξυνωνίην ἔμιξαν.*

654. *Schol.* *μηδὲν φοβηθῇς*: *Ἐπειδὴ μετὰ ὀρνίθων ὄντες ἀπορνιθωθῆναι ἔμελλον, προκατασκευάζει δι' ὧν ἔμελλον τούτου τυχεῖν.* [*τὸ δὲ οὕτω ἀντὶ τοῦ ἐπὶ ταύταις ταῖς συνθήκαις. παίσωμεν δὲ χορεύσωμεν.*]

655. *ἔσεσθον ἐπτερωμένω*] Cf. Soph. Oed. C. 816. *λυπηθεὶς ἔσει.*

656. *οὕτω μὲν εἰσίωμεν*] Haec cum ita sint. Cf. 1503. *οὕτω μὲν ἐκκαλύψομαι.* Eq. 1131. *οὕτω μὲν ἂν εὖ ποιοῖς, εἰ* etc.

ἄγε δή, Ξανθία καὶ Μανόδωρε] Hic primum apparet una cum istis venisse servos: sunt enim haec servilia nomina. Xanthias servus introducitur in Vespis et Ranis, statim initio fabularum. In Ran. 165 ad eum similiter atque hic dicitur *σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.* Qui autem hic Manodorus vocatur videtur idem esse qui Manes dicitur v. 1329. et 1311. BE. Similiter modo *Ἰσμηνίας* modo *Ἰσμήνιχος* idem servus dicitur Ach. 861. 954.

Schol. *ὀνόματα τῶν οἰκετῶν μετὰ τῶν πρὸς ὄρνιθας ἀφικομένων.* R V.

659. *ἀρίστισον*] Cf. Eq. 538. *ὑμᾶς ἀριστίζων ἀπέπεμπεν.* Diodor. com. III. 544. *ἀριστίσας ἑαυτὸν, ἐντραγὼν, πιών.*

ἡδυμελῆ] Cf. Pind. Ol. VII. 11. ἀδυμελεῖ φόρμιγγι. XI. 3. κόσμον — ἀδυμελῆ. N. II. 25. Isth. VI. 20.

ξύμφωνον ἀηδόνα Μούσαις] I. e. Musis aequiparandam. Cf. 737. Μοῦσα λοχμαία. 221. ξύμφωνος — ὀλολυγή.

Schol. ἀντὶ τοῦ μουσικήν. R. V.

660. παίσωμεν] I. e. συγχυρεύσωμεν, ut explicat schol.

Schol. ἀντὶ τοῦ συγχορεύσωμεν αὐτῇ. R. V. ἀγαγών. R.

661. ὢ — πιθοῦ] Cf. 1273. ὢ κατακέλευσον. Nub. 1378. ὢ τί σ' εἴπω; τοῦτο — αὐτοῖσιν πιθοῦ] Cf. Nub. 87. τί οὖν πίθωμαι δῆτά σοι; 1000. Th. 593. πείθεσθε τούτῳ ταῦτα;

Schol. [[ὢ τοῦτο μέντοι: Εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιε'. ἐπὶ τῷ τέλει κορωνὶς, ἐξιόντων ὑποκριτῶν. ἐκβίβασον δὲ ἔκβαλον (ἐκκάλεσον?), ἐξάγαγε.]]

662. βουτόμου] Schol: φυτάριον παραποτάμιον — παραπλήσιον καλάμῳ — ὃ ἐσθίουσιν οἱ βόες. Sparganium fortasse Linnaei. Cf. Theocr. XIII. 35. ἔνθεν βούτομον ὀξὺ βαθύν τ' ἐτάμοντο κύπειρον. Geopon. 2, 6, 28. βούτομον γίνεται ἐν τοῖς ἕλεσι, φύλλα δὲ φέρει ὅμοια λειρίοις. οἱ βόες αὐτὰ ἡδέως βόσκονται, καὶ ἐκβράσσουσι δ' ἐκ μιᾶς ῥίζης οὐ καθ' ἕν, ἀλλ' ὡς οἱ θάμνοι.

Schol. ἐκ τοῦ βουτόμου: Φυτάριον παραπλήσιον καλάμῳ, ὃ ἐσθίουσιν οἱ βόες. Ἄλλως. φυτάριον παραποτάμιον, (ὃ τοῖς βουσὶ παρασκευάζουσι). τοῦτο δὲ λέγεται ὡς τῆς Πρόκνης ἐγκρυπτομένης τῇ ὕλῃ. [αὐτοῦ δὲ αὐτόθι, ἐν τῷ θεάτρῳ.]

663. αὐτήν] I. e. τὴν ὄρνιθα. Praecessit τοὐρνίθιον.

664. νὼ θεασώμεσθα] Sic Ran. 885. εὔχεσθε δὴ καὶ σφώ τι etc.

τὴν ἀηδόνα] I. e. τὴν Πρόκνην.

Schol. ποικίλον γὰρ καὶ ἄξιον θέας. R. V.

665. Cf. Lys. 1176. ἀλλ', εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε etc.

ἡ Πρόκνη] Hic ingreditur Procne seu luscinia. Breve tamen tempus in scena versatur, namque exit, ut videtur, statim post v. 800. Cf. 660—664.

666. Cf. Ach. 884. ἔκβαθι τῷδε κηπιχαρίττα τῷ ξένῳ. Nub. 269. ἔλθετε — τῷδ' εἰς ἐπίδειξιν.

667. Auctore scholiasta prodit meretricula valde ornata, sed persona lusciniae instructa. Nimirum histrio ad modum meretricis erat exornatus. BECK. Cf. Eq. 1390. ὢ Ζεῦ πολυτίμηθ', ὡς καλαί. Ach. 807. Menand. Fr. Inc. 480. ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαὶ νῷν αἱ γυναί.

ὡς καλὸν τοὐρνίθιον, ὡς δ' ἁπαλόν] Cf. Lys. 1063. κρέ' ἔδεσθ' ἁπαλὰ καὶ καλά. Nausicrat. com. IV. 575. δύο μὲν ἁπαλοὶ καὶ καλοὶ (γλαῦκοι). Com. anon. IV. 673. ἀγένειος ἁπαλὸς καὶ καλὸς νεανίας. Lucian. D. D. II. 2. ἁπαλὸν καὶ καλὸν ὀφθῆναι. Cratin. II. 117. οἴμ' ὡς ἁπαλὸς καὶ λευκός.

Schol. ὦ Ζεῦ πολυτίμηθ': Ἑταιρίδιον πρόσεισι, τὰ ἄλλα μὲν κεκαλλωπισμένον, τὴν δὲ κεφαλὴν ὄρνιθος ἔχον ὡς ἀηδόνος.

668. ὡς δ' ἁπαλόν, ὡς δὲ λευκόν] Cf. Thesm. 191. σὺ δ' εὐπρόσωπος, λευκὸς, ἁπαλὸς, εὐπρεπὴς | ἰδεῖν. Cratin. ap. Athen. 29 D. οἴμ' ὡς ἁπαλὸν καὶ λευκόν. ἆρ' οἴσει τρία; Xen. An. V. 4. 32. παῖδας — ἁπαλοὺς καὶ

λευκοὺς σφόδρα. Plut. Caes. 17. τὴν σάρκα λευκὸς καὶ ἁπαλός. Lucian. D. D. XX. 14. λευκὴ μὲν — ἁπαλὴ δὲ etc.

ἀρά γ' οἶσθ' ὅτι] Eadem verba v. 1221.

Schol. ὡς δ' ἁπαλὸν: Ἅμα λέγων ψηλαφᾷ αὐτήν. (διαμηρίζοιμ' ἄν, συνουσιάσαιμι.)

669. διαμηρίζοιμ'] Cf. 706. 1254. Vox rara. Confer v. διακορεῖν. Thesm. 480.

670. ὅσον δ' ἔχει τὸν χρυσὸν] Imitatur Homerum Il. β'. 872. ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠΰτε κούρη. V. Porson. ad Eurip. Hec. 153. qui docet morem fuisse apud veteres virginibus plurimum auri gestare. BECK. Cf. ad Ach. 258.

Schol. ὅσον δ' ἔχει τὸν χρυσὸν: Ἅμα πρὸς τὸ ποικιλόδειρον τοῦ ὀρνέου καὶ πρὸς τὸν πολὺν κόσμον τῆς ἑταίρας.

671. Redde: I for my part think I shall (I feel disposed to) kiss her. Cf. Eq. 620. ὡς ἐγώ μοι δοκῶ κἂν μακρὰν ὁδὸν διελθεῖν ὥστ' ἀκοῦσαι. Isae. Or. II. 26. ἡδέως δ' ἄν μοι ποθῶ (δοκῶ recte Orell.) τούτου πυθέσθαι —. Antiphan. Athen. p. 60. μύκητας ὠμοὺς ἂν φαγεῖν ἐμοὶ δοκῶ. Amphis Athen. p. 8 C. τοῦτον ταχέως νόμιζε καὶ (imo κἂν) τάξιν λιπεῖν. Pl. 1187. καὐτός μοι δοκῶ — ἐνθάδ' αὐτοῦ καταμενεῖν. Plura dedi ad Ach. 994. Quod ad ἐγὼ μὲν (equidem), cf. 801.

672. ῥύγχος] Faciem. Phot. p. 491, 28. ῥύγχος. τὸ πρόσωπον. Κρατῖνος καὶ ἕτεροι. Araros Athen. 95 E. ὁ γὰρ θεὸς τὸ ῥύγχος εἰς ἡμᾶς στρέφει. Archippus Athen. 95 C. καὶ ταῦτ' ἔχων τὸ ῥύγχος οὑτωσὶ μακρόν. Theocr. VI. 30. ἐκνυζᾶτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.

ῥύγχος ὀβελίσκοιν] Sic κρόκης χόλιξ Vesp. 1144. De duplici tibia recte accipit Wieseler Adv. p. 45. Cf. ad 674 Plat. com. ap. Athen. p. 665. αὐλοὺς δ' ἔχουσά τις χορίσκη — μελίζεται.

Schol. ῥύγχος ὀβελίσκοιν ἔχει: Εἰς ὀξὺ γὰρ λήγει ἡ κεφαλὴ ὡς ὀβελίσκος.

673. *Schol.* ἀπολέψαντα χρὴ: Ἀντὶ τοῦ ἀφελόντα τὸ προσωπεῖον. ὡς ἐν θυμέλῃ γὰρ προσωπεῖον ἐξῆλθεν ἔχουσα. τῇ τροπῇ δὲ ἐχρήσατο. [[δέον δὲ εἰπεῖν φαγεῖν εἶπε φιλεῖν.]]

674. τὸ λέμμα] Anglice the shell. Capistrum (τὴν φορβειάν) dicit.

κᾆθ'] Cf. ad 536. 1456. Nub. 623. λαχὼν Ὑπέρβολος | τῆτες ἱερομνημονεῖν κἄπειθ' ὑφ' ἡμῶν — τὸν στέφανον ἀφῃρέθη. Plat. comic. ap. Polluc. X. 167. λαβὼν οὖν | τὸν σκύλακα τὸν τοῦ προξένου κἄπειτα δήσον αὐτόν. Neque lusciniam neque corvum personas gestasse videri vel eam ob causam quod capistra haberent arguit Wieseler Adv. p. 69.

675. ἡγοῦ δὴ σὺ νῷν] Cf. Soph. El. 1038. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν. Phil. 133. Ἑρμῆς — ἡγήσαιτο νῷν. Aesch. 3, 76. ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον.

τὐχἀγαθῇ] Cf. ad 435. Eccl. 131. et ad Th. 283.

676. ὦ ξουθή] Aeschylus Agam. 1143. οἷά τις ξουθὰ ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς ἀηδὼν βίον. Theocrit. Epigramm. IV. 11. ξουθαὶ δ' ἀδονίδες. BE. Cf. 214. γένος

ξουθῆς. 744. δι' ἐμῆς γέννος ξουθῆς. 800. ξουθὸς ἱππαλεκτρυών. Pac. 1177. Ran. 932. Chaeremon. Athen. 608 A. ξουθοῖσιν ἀνέμοις. Metrum est choriambicum.

Schol. ὦ φίλη, ὦ ξουθή: [[Τὸ πρὸ τῆς παραβάσεως τουτὶ κομμάτιον κώλων ἐστὶν ἀσυναρτήτων θ'. ὧν τὸ α' χοριαμβικὸν ἐφθημιμερές. τὸ β' ἡμιόλιον. τὰ γ', στ', ζ', η' ἀντισπαστικὰ γλυκώνεια. τὰ δ', θ' ἐφθημιμερῆ. τὸ ε' ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.]] (ἔλυσεν Ἀριστοφάνης τὸ ζήτημα εἰ ἡ ὄρνις προγενεστέρα τοῦ ἄρρενος ἢ ὁ ἄρρην τῆς ὄρνιθος.) ὡς πρὸς τὴν ἀηδόνα δὲ δοκεῖ λέγειν. φυσικώτερον δέ τινες πρὸς τὴν Μοῦσαν, ἀπὸ τοῦ μουσικοῦ ὀρνέου. — εὐμορφοτάτη. R.

678. ξύννομε τῶν ἐμῶν ὕμνων] Particeps mearum cantilenarum. Cf. 209. Aesch. Pers. 704. τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι. Eur. Hel. 1487. ὦ πταναὶ — σύννομοι νεφέων δρόμου. Soph. Oed. C. 340. El. 601. Eubul. Athen. p. 108 A. τηγάνων σύντροφα μειρακύλλια. Thuc. II. 58. ξυστράτηγοι ὄντες Περικλέους. Plat. Phaed. p. 195. τοῦ θνητοῦ ξυγγενῆ. Lycurg. § 149. σύνοικος ὑμῶν γενήσεται. Eur. Cycl. 708. ὑμεῖς δὲ συνναῦταί γε τοῦδ' Ὀδυσσέως —. Thesm. 574. ξυγγενεῖς τοὐμοῦ τρόπου.

679. ξύντροφ'] Cf. Ach. 989. ὦ Κύπριδι — ξύντροφε Διαλλαγή. Plat. Pol. 273 B. τὸ τῆς πάλαι ποτὲ φύσεως ξύντροφον. Aesop. Fab. 251. ed. Fur. τῶν συντρόφων σοι οἰωνῶν. Eubul. Athen. III. 108 A. τηγάνων σύντροφα μειρακύλλια.

Schol. ὡσεὶ ἔλεγε συγχορεύτρια. R. V.

682. καλλιβόαν — αὐλὸν] Cf. Soph. Tr. 640. καλλιβόας τάχ' ὑμῖν αὐλὸς οὐκ ἀναρσίαν ἀχῶν καναχὰν ἐπάνεισιν. Simonid. Fr. 56. ὁ καλλιβόας πολύχορδος αὐλός. Confer v. ὀξυβόας Aesch. Ag. 57. et κοκκυβόας Soph. Fr. 900.

κρέκουσ' αὐλόν] Schol: κρέκειν κυρίως τὴν κιθάραν κρούειν. Diogenes trag. ap. Athen. p. 636 A. κρεκούσας μάγαδιν. Theocritus Epigr. V. 3. κἠγὼν καπίδ' ἀειράμενος | ἄρξευμαί τι κρέκειν. Infra 771. συμμιγῆ βοὴν ὁμοῦ πτεροῖς κρέκοντες. Aesch. Cho. 808. κρεκτὸν — νόμον μεθήσομεν. Telestes ap. Athen. p. 626 A. τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖς κρέκον Λύδιον ὕμνον. Anth. Pal. IX. 584. αἰόλον ἐν κιθάρᾳ νόμον ἔκρεκον. Epich. ap. Athen. 183 C. ἁ δὲ γεγάθη πυκινῶν κρεγμῶν ἀκροαζομένα. Et κρέκειν τὰ βάρβιτα Dion. Hal. VII. 72. Plut. Symp. II. 4. Schol: ἐξῆλθεν ἔχουσα αὐλόν. — πολλάκις πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις.

Schol. ἀλλ' ὦ καλλιβόαν κρέκουσα: Ὡς αὐλὸς γάρ ἐστι φθεγγομένη. ἢ ἐξῆλθεν ἔχουσα αὐλόν. τὸ δὲ κρέκουσα νῦν ἀντὶ τοῦ λαλοῦσα. κυρίως γὰρ τὸ τὴν κιθάραν κρούειν. πολλάκις πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις.

683. φθέγμασιν ἠρινοῖς] Quo tempore lusciniae canere solent et celebrantur Dionysia urbana, quibus hanc fabulam doctam esse constat. Hom. Od. τ'. 519. ὡς δ' ὅτε — χλωρηῒς ἀηδὼν | καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο. Sappho (ap. schol. Soph. El. 149): ἦρος ἄγγελος ἱμερόφωνος ἀηδών.

Schol. ἠρινοῖς: Ἐαρινοῖς εἶπε, παρόσον τῷ ἔαρι ἐν τῇ Ἀττικῇ φαίνονται ἀηδόνες. τὸ δὲ ὅλον πάλιν πρὸς τὴν Μοῦσαν. ὅτι τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια.

684. τῶν ἀναπαίστων] Cf. ad Ach. 627.

685—800.] In the first part (the anapaests and the μακρὸν) of this Parabasis the Chorus give a sort of philosophic theory of creation, partly borrowed no doubt from real philosophic systems. By it the birds are made out to be the earliest beings and entitled to precedence. They are the great benefactors of mankind; they settle the seasons; give omens. This divinity of theirs should be recognized, and then health and wealth will return to the world. A lyric strophe (v. 737—751), probably in imitation of Phrynichus, is followed by the epirrhema pointing out the free and easy life of birds. Then the antistrophe in the same style (v. 769—784) is succeeded by the antepirrhema to the same effect as the epirrhema, shewing especially the blessings which bird-life offers to rogues. The early part of this Parabasis has been deservedly admired. (Gr.)

685. ἀμαυρόβιος] Nusquam alibi, opinor, occurrit hoc epithetum.

φύλλων γενεᾷ προσόμοιοι] Allusio est ad Homericum illud Il. ζ. 146. οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν. Schol: ὡς θεοὶ δὲ ἐσόμενοι προευτελίζουσι τοὺς ἀνθρώπους.

Schol. ‖ἄγε δὴ φύσιν: Ἡ παροῦσα παράβασις ἐκ στίχων ἐστὶ λη', δῆλον δὲ ὡς ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν. ἐπὶ τῷ τέλει παράγραφος.

ἀμαυρόβιοι: Γράφεται καὶ ἡμερόβιοι.]] — ἀμαυρόβιοι: Ἀσθενεῖς, ἤγουν ἀμαυρὸν βίον ἔχοντες καὶ ἀσθενῆ. Vict.

φύλλων γενεᾷ προσόμοιοι: Μετάβασις ἀπὸ τῶν ἔσω πρὸς τὸ θέατρον. καὶ ἔστιν ἀνάπαιστος. ὡς θεοὶ δὲ ἐσόμενοι προευτελίζουσι τοὺς ἀνθρώπους, παρὰ τὸ Ὁμηρικὸν [Il. Z. 146], "οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν."

686. ὀλιγοδρανέες] Schol: ἀσθενεῖς. Aesch. Prom. 546. τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης | ὀλιγοδρανίαν ἄκικυν | ἰσόνειρον, ᾇ τὸ φωτῶν ἀλαὸν γένος ἐμπεποδισμένον; Orph. Argon. 432. ἀνθρώπων ὀλιγοδρανέων πολυεθνέα φύτλην | ἤειδον. Verbum ὀλιγοδρανέειν (part. ὀλιγοδρανέων) est Hom. Il. XV. 246. XVI. 843. XXII. 337. Ion. Fr. XII. ed. Wagner. Cf. part. ὀλιγηπελέων Il. XV. 24. etc. et v. ἀδρανής (Plut. adv. Stoic. p. 1057 E. ἐξ ἀδρανοῦς . . . ἰσχυρὸς . . . γέγονεν). Tertiae syllabae productio fit in arsi, ut in φυλλοτρῶγες (Antiphan. com. III. 94.), τερενοχρῶτες (Anaxandr. com, III. 184).

πλάσματα πηλοῦ] Cf. Lucian. Prom. 3. (Προμηθεὺς) αὐτοὺς ἀνέπλασε· συνειργάζετο δέ τι (οἱ?) Ἀθηνᾶ ἐμπνέουσα τὸν (εἰς τὸν?) πηλὸν καὶ ἔμψυχα ποιοῦσα τὰ πλάσματα. Hor. Carm. I. 16. 13.

σκιοειδέα] Cf. Pind. P. VIII. 135. ἐφάμεροι. τί δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ ἄνθρωπος. Soph. Aj 125. ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν |

εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν. et 1236. Eur. Fr. 512. τί δ' ἄλλο; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ. Fr. 536. κατθανὼν δὲ πᾶς ἀνὴρ | γῆ καὶ σκιά. Soph. Fr. 13. ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.

ἀμενηνά] Cf. Hom. Il. ε'. 887. Od. λ'. 51. νεκύων ἀμενηνὰ κάρηνα. κ'. 521. τ'. 562. Hymn. Ven. 189. Eur. Tro. 193. νεκύων ἀμενηνὸν ἄγαλμ'.

687. ἀπτῆνες] Sine pennis, quas Aves contra.

ἐφημέριοι] Diei unius spatium durantes. Cf. Nub. 223. Orph. Arg. 36. ἠδ' ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς | ψυχαὶ ἐφημερίων. Eur. Or. 976. ἰὼ ἰὼ, πανδάκρυτ' ἐφαμέρων | ἔθνη πολύπονα. Plat. Rep. 617 D. ψυχαὶ ἐφήμεροι.

ταλαοί] I. q. τλήμονες, ut videtur. Vox nusquam alibi reperta, et fortasse non sincera. Reponendum, ni fallor, ἀλαοί. V. annot. crit.

ἀνέρες] Excusationem in anapaestis habet forma epica. Cf. Ran. 706. ἀνέρος (in v. dact.). Eq. 1295. ἀνέρων (in chor.).

εἰκελόνειροι] Cf. Aesch. Prom. 448. ὀνειράτων | ἀλίγκιοι μορφαῖσι. 549. Ag. 82. 1228. ὀνείρων προσφερεῖς μορφώμασι. Eur. Ph. 1722. ὥστ' ὄνειρον ἰσχὺν ἔχων. 1561. Eur. Aeol. Fr. 18. γέροντές ἐσμεν οὐδὲν ἄλλο πλὴν ὄχλος | καὶ σχῆμ', ὀνείρων δ' ἕρπομεν μιμήματα, | νοῦς δ' οὐκέτ' ἐστίν. Hom. Il. χ'. 199—201. Pind. P. VIII. 135. Virg. Aen. XII. 908—912. Shakespearius noster Tempest. IV. We are such stuff as dreams are made of.

Schol. ταλαοί: Ὡς τληπαθεῖς [[καὶ τὰ καθημερινὰ εἰδότες, μὴ προορώμενοι δὲ τὰ μέλλοντα.]] ἔνιοι δὲ τὸ ταλαοὶ διαιροῦσιν ὥστε εἶναι ἀλαοί.

688. αἰὲν ἐοῦσιν] Forma epica in anapaestis recte habet. Cf. ad 614. Nub. 272. 287. 989. Eq. 763.

689. ἄφθιτα μηδομένοισιν] Cf. Hom. Il. ώ. 88. Ζεὺς ἄφθιτα μήδεα εἰδώς.

691. *Schol.* φύσιν: Καλῶς φύσιν εἶπεν οἰωνῶν, γένεσιν δὲ θεῶν.

692. Προδίκῳ κλάειν εἴπητε] Cf. Pl. 62. κλάειν ἔγωγέ σοι λέγω. Vesp. 584. Lucian. D. Mort. 1, 2. σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε.

Προδίκῳ] Laudatur hic propter sapientiam etiam in Nub. 361.

Schol. Προδίκῳ παρ' ἐμοῦ: Ὅτι οὐκ ὀρθῶς Καλλίμαχος τὸν Πρόδικον ἐν τοῖς ῥήτορσι καταλέγει. σαφῶς γὰρ ἐν τούτοις φιλόσοφος (ἐστιν ἐν τοῖς φιλοσόφοις?). μέμνηται δὲ τούτου καὶ ἐν Νεφέλαις [361].

693 sqq. Pleraque horum tradiderunt Orpheus aliique veteres Graecorum theologi, qui ex Nocte omnia prognata (v. Arist. Metaph. XII. 6. et Damascii Excerpta ap. Wolf. Anecd. Gr. vol. III. p. 256.), et Noctem Chaos atque Coelum antiquitus regnasse aiunt. Ἔρεβος ex Hesiodea theologia habet (v. Hesiod. Theog. 116): permiscet enim poetarum et philosophorum varia decreta joci causa. BECK. Cf. Hesiod. Th. 116. ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα | Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ, | Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης, | ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι. — Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο· | Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο, | οὓς

τέκε κυσαμένη Ἐρέβει φιλότητι μιγεῖσα. | Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ | Οὐρανὸν ἀστερόενθ' —. Lucian. Disput. 1. θεῶν τε γενέσεις διηγούμενος ἄχρι καὶ τῶν πρώτων ἐκείνων, χάους καὶ γῆς καὶ οὐρανοῦ καὶ ἔρωτος. "Die orphische Kosmogonie beginnt (Lobeck Aglaoph. I. 470 ff.) mit der inhaltslosen Zeit, ἀγέννητος χρόνος, ὃν αἰῶνα καλοῦσιν. Aus diesem entspringen Aether und Chaos, auch πελώριον χάσμα genannt. Cedrenus: ἐντεῦθεν κἀκεῖθεν τοῦ αἰθέρος ἦν χάος, καὶ νὺξ ζοφερὰ πάντα κατεῖχε. Das Chaos rundet sich dann im Verlaufe der Zeit zu einem ὠεὸν ἀργύφεον, und aus diesem Ei entspringt dann Phanes, auch Metis und Erikepäos, aber auch Eros genannt. Proculus: ὁ Φάνης περικαλλὴς αἰθέρος υἱὸς ὀνομάζεται καὶ Ἀβρὸς Ἔρως· "θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον· | τοῖον ἀπέστιλβεν χροὸς ἀθανάτοιο Φάνητος." Hermias: αὐτῷ δὲ τούτῳ (τῷ Φάνητι) πρώτῳ καὶ πτέρυγας δίδωσι· "χρυσείαις πτερύγεσσι φορεύμενος ἔνθα καὶ ἔνθα." Hymn. Orph. 6. ruft den Erikepäos an: ᾠογενῆ χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν. Phanes schafft dann die Welt und vertheilt sie unter Götter und Sterbliche, schafft Sonne und Mond usw. Auch Akusilaos und Epimenides leiteten den Ursprung aller Dinge von Νύξ oder Erebos oder Luft ab." (Ko.) Hunc locum feliciter expressit poeta noster Darwin in Botanic Garden v. 413. Thus when the egg of Night, on Chaos hurl'd, | Burst and disclosed the cradle of the world; | First from the gaping shell refulgent sprung | Immortal Love, his bow celestial strung; | O'er the wide waste his gaudy wings unfold, | Beam his soft smiles, and wave his curls of gold; | With silver darts he pierced the kindling frame, | And lit with torch divine the ever-living flame.

Schol. (Χάος ἦν καὶ Νὺξ: Ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν πρὸς τὰ Ἡσιόδου ἤ πρός τινα ἄλλου τινὸς γενεαλόγου.)

694. γῆ δ' οὐδ' ἀήρ] I. e. γῆ δ' οὐκ ἦν οὐδ' ἀήρ. Sic nos, Land nor air. Cf. Simonid. Fr. 5. ἐντάφιον δὲ τοιοῦτον εὐρὼς | οὔθ' (οὐδ'?) ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος. Pyth. P. X. 46. ναυσὶ δ' οὔτε (οὐδὲ Markl.) πεζὸς ἰὼν ἂν εὕροις etc. Pyth. III. 54. ἔργοις οὔτε (οὐδὲ?) βουλαῖς. Pythag. V. 26. πρῆξαι μήτ' (μηδ'?) εἰπεῖν ὅ τι τοι μὴ βέλτερόν ἐστιν. Aesch. Ag. 532. Πάρις γὰρ οὔτε (οὐδὲ?) συντελὴς πόλις | ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον. Cho. 294. δέχεσθαι δ' οὔτε (οὐδὲ?) συλλύειν τινά. Soph. Phil. 771. ἐφίεμαι | ἑκόντα μήτ' (μηδ'?) ἄκοντα — μεθεῖναι ταῦτα. Aj. 627. αἴλινον αἴλινον οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς ἥσει. Eur. Tro. 477. οὓς Τρῳὰς οὐδ' Ἑλληνὶς οὐδὲ βάρβαρος | γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε. Herod. I. 215. σιδήρῳ δὲ οὐδ' ἀργύρῳ χρῶντα οὐδέν. IV. 28. ἡμίονοι δὲ οὐδὲ ὄνοι ἀνέχονται τὴν ἀρχήν. V. 92. ἐκ δέ οἱ ταύτης τῆς γυναικὸς οὐδ' ἐξ ἄλλης παῖδες ἐγένοντο. Isae. VI. 57. ἐκεῖ μὲν γὰρ (ἐν τῷ νόμῳ) ἔστι νόθῳ μηδὲ νόθῃ εἶναι ἀγχιστείαν. Dem. 43, 51. νόθῳ δὲ μηδὲ νόθῃ μὴ (om.?) εἶναι ἀγχιστείαν. Theocr. Epigr. VI. 6. τί τοι πλέον, ἀνίκα τήνας | ὀστέον οὐδὲ τέφρα λείπεται οἰχομένας; Lucian. V. Hist. p. 682. δένδρον δὲ οὐδὲ ὕδωρ ἐνῆν. Ibid. ἔντερον

δὲ ἐν αὐτῇ οὐδὲ ἧπαρ φαίνεται. Asin. 22. χρυσίον οὐδὲ ἀργύριον οὐδὲ ἄλλο οὐδέν. V. Schaef. ad Bos. p. 777. Elmsl. in Oed. R. 817.

ἐν ἀπείροσι κόλποις] "Orph. Arg. 13. Κρόνον, ὃς ἐλόχευσεν ἀπειρεσίοις ὑπὸ κόλποις | Αἰθέρα καὶ διφυῆ πυρσωπέα κυδρὸν Ἔρωτα." (Kock.)

695. ὑπηνέμιον — ᾠὸν] Scholia: ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως. Lucian. Sacrif. c. 6. ὅμοια δὲ τούτοις καὶ περὶ τῆς Ἥρας ᾄδουσιν, ἄνευ τῆς πρὸς τὸν ἄνδρα ὁμιλίας ὑπηνέμιον αὐτὴν παῖδα γεννῆσαι τὸν Ἥφαιστον. Plat. com. ap. schol. Nub. 659. ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις. Plat. Theaet. 161. ἀνεμιαῖόν τε καὶ ψεῦδος (τὸ γιγνόμενον). Gregor. Cypr. III. 91. Ὑπηνέμια τίκτει: ψευδῆ καὶ ἀβέβαια. Lucian. Harm. 4. ὀνείρατα ὑπηνέμια (ubi scholiasta V. per ἀβέβαια explicat). Alciphr. II. 2. 52. ὑπήνεμοι δόξαι. "Athen. II. 57 E. ᾠὰ δὲ οὐ μόνον ἀνεμιαῖα ἐκάλουν, ἀλλὰ καὶ ὑπηνέμια. Ἀριστοφάνης. Arist. An. VI. 2. 5. ὦπται γὰρ ἱκανῶς ἤδη ἀνόχευτοι νεοττίδες ἀλεκτορίδων καὶ χηνῶν τεκοῦσαι ὑπηνέμια. 6. ζεφύρια δὲ καλεῖται τὰ ὑπηνέμια ὑπό τινων, ὅτι ὑπὸ τὴν ἐαρινὴν ὥραν φαίνονται δεχόμεναι τὰ πνεύματα αἱ ὄρνιθες. Plin. N. H. X. 60. 80. quidam et vento putant ea (τὰ ὑπηνέμια) generari." (Kock.) Hoc loco ὑπηνέμιον audacius ovum istud dicit Comicus quia nullus conjux seu maritus esset ex quo Nox conciperet, ut vere monuit Leutsch. ad Greg. Cypr. III. 91. "πρωτόγονον ᾠὸν est Orphicum. V. Plut. Sympos. Quaest. II. 3. Diod Sic. I. 27. ibique Wessel. Ut hoc rideret, noster ὑπηνέμιον dixit. V. Plin. H. N. X. 58. Varron. de R. R. II. p. 62. Albert. ad Hesych. vol. II. p. 1465. Eadem ova dicuntur ἀνεμιαῖα" (Beck.)

μελανόπτερος] Anglice, with sable wings.

Schol. τίκτει πρώτιστον ὑπηνέμιον: Ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως. καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτῷ προσέρριπται, ἀλλὰ ἀπὸ ἱστορίας τῆς κατὰ τοὺς Διοσκούρους. φασὶ γὰρ ἐξ ᾠοῦ αὐτοὺς γεγονέναι καὶ ὅτι σύνηθες αὐτοῖς μᾶλλον ἀνεμιαῖον λέγειν. καὶ Πλάτων ἐν Θεαιτήτῳ [p. 151, E] "γόνιμον ἀνεμιαῖον τυγχάνει."

696. περιτελλομέναις ὥραις] Anglice, in course of time. Cf. Soph. Oed. R. 156. περιτελλομέναις ὥραις πάλιν. Thuc. I. 22. Secundum Homericum περιτελλομένων ἐνιαυτῶν. "Quae de Amore omnium rerum auctore dicuntur Hesiodea sunt. V. Plat. Symp. 6. Primum omnium creatum esse Amorem Parmenides dixit. V. Sext. Empir. adv. Phys. p. 550. ibique Fabric." BECK. Schol. Apoll. Rhod. III. 26. Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ Χάους λέγει γενέσθαι τὸν Ἔρωτα.

697. στίλβων νῶτον πτερύγοιν χρυσαῖν] Brevitur infra 1736. ἔρως χρυσόπτερος. Cf. Hom. Od. ζ΄. 237. κάλλεϊ καὶ χάρισι στίλβων. Il. γ΄. 393. κάλλεΐ τε στίλβων καὶ εἵμασιν. Hymn. Orph. 6. ᾠογενῆ χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν. Proculus, τοῖον ἀπέστιλβεν χροὸς ἀθανάτοιο Φάνητος. Hermias, χρυσείαις πτερύγεσσι φορεύμενος ἔνθα καὶ ἔνθα (ὁ Φάνης).

ἀνεμώκεσι] Cf. Eurip. Phoen. 166. ἀνεμώκεος εἴθε δρόμον νεφέλας ποσὶν ἐξανύσαιμι. BE. "Schol. Apoll. citat ex Orphicis, αὐτὰρ Ἔρωτα Κρόνος (Χρόνος) καὶ πνεύματα πάντ' ἐτέκνωσι. Eur. Phoen. 163. ἀνεμώκεος εἴθε δρόμον νεφέλας ποσὶν ἐξανύσαιμι δι' αἰθέρος." (Kock.).

Schol. εἰκὼς ἀνεμώκεσι δίναις: Ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικώς, οἷον ταχύς. ἡ δὲ ὅλη σύστασις ὅτι ἐκ τοῦ πτερωτοῦ Ἔρωτος τὰ ὄρνεά ἐστιν. ἀτόπως μὴν καὶ ἀπιθάνως τῇ γενεαλογίᾳ κέχρηται.

698. Χάει — μιγείς] Cf. Virg. Georg. IV. 347. Aque Chao densos divum numerabat amores.

699. ἐνεόττευσεν] Cf. Nub. 999. τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης. Plat. Pol. IX. 503 C. ἆρα οὐκ ἀνάγκη μὲν τὰς ἐπιθυμίας βοᾶν πυκνάς τε καὶ σφόδρα ἐννενεοττευμένας;

702. ὧδε] Sic. Cf. Th. 729. οὕτως ἡμεῖς ἐπιδήλως | ὑμῶν ἐσμὲν πολὺ βελτίους. βάσανος δὲ πάρεστιν ἰδέσθαι.

703. *Schol.* (ἐσμὲν Ἔρωτος: λείπει υἱοί.)

704. πολλοῖς δῆλον] Sc. τεκμηρίοις, multis argumentis. Cf. Ran. 1484. πάρα δὲ πολλοῖσιν μαθεῖν. Nub. 385. φέρε τουτὶ τῷ χρὴ πιστεύειν;

τοῖσιν ἐρῶσι σύνεσμεν] Amantibus adsumus. V. schol.

Schol. καὶ τοῖσιν ἐρῶσι: Σύμμαχος, διὰ τὸ τοὺς ἐραστὰς ὄρνιθας εὐγενεῖς (τοὺς εὐγενεῖς ἐραστὰς ὄρνιθας? v. ad 707.) χαρίζεσθαι τοῖς ἐρωμένοις. Δίδυμος δέ, ἐπεὶ ἡ σίττη καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἔρωτας φαίνεται. "ἐγὼ μέν, ὦ Λεύκιππε, δεξιὴ σίττη."

705. ἀπομωμοκότας] Qui dejeraverant nunquam se morigeros fore. Cf. Lys. 903. νῦν δ' ἀπομώμοκα. Nub. 1232. Eq. 423. Contra qui morigerantur χαρίζεσθαι dicuntur, ut in Eq. 517. πολλῶν γὰρ δὴ πειρασάντων αὐτῆς ὀλίγοις χαρίσασθαι, i. e. copiam sui fecisse.

πρὸς τέρμασιν ὥρας] Ad terminum tenerae juventutis, i. e. fortasse deflorescente jam aetate primula et tenella. Ita schol: μετὰ τὴν νεότητα. Cf. Eur. Andr. 1081. γήρως ἐσχάτοις πρὸς τέρμασιν. Alc. 643. ἐπὶ τέρμ' ἥκων βίου. Alii rectius, opinor, de principio juventutis accipiunt, ut Kock. Utrumque enim principium et finem significat τέρμα. Sic τέρμα τῆς σωτηρίας Soph. Oed. C. 725. Eur. Or. 1343.

Schol. πολλοὺς δὲ καλούς: Ἀντὶ τοῦ μετὰ τὴν νεότητα ἠναγκάσαμεν ἀκαίρως ἑταιρεῖν. (ἀπομωμοκότας δὲ) ἀποταξαμένους. διεμήρισαν δὲ συνουσίασαν. — τὰς συνουσίας μετέδωκαν. R.

706. διεμήρισαν] Cf. 669. 1254.

707. ὁ μὲν ὄρτυγα δούς] Non semper adeo simplices fuere pulchri pueri ut aetatis florem pro avicula darent. Majoris lucri cupidos eos factos fuisse queritur Glaucus in epigrammate in Analectis vol. 2. p. 347. Ἦν ὅτε παῖδας ἔπειθε πάλαι ποτὲ δῶρα φιλεῦντας | ὄρτυξ καὶ ῥαπτὴ σφαῖρα καὶ ἀστράγαλοι (Vesp. 294)· | νῦν δὲ λοπὰς καὶ κέρμα, τὰ παίγνια δ' οὐδὲν ἐκεῖνα | ἰσχύει. ζητεῖτ' ἄλλο τι, παιδοφίλαι. BR. "Plut. Lys. 211 E. βουλοίμην ἄν μοι φίλον ἀγαθὸν γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα ἢ ἀλεκτρυόνα. Plaut. Capt. V. 4. 5. patriciis pueris aut monedulae aut anates aut coturnices dantur, quicum lusitent. Plin. Ep. IV. 2. 3. habebat puer mannulos (ponies) multos, habebat canes (Pl. 157), habebat luscinias, psittacos, merulas. Plut. Alc. 10. Ovid. A. A. II. 269. quin-

etiam turdoque licet missaque columba | te memorem dominae testificere tuae." (Kock.) Plura de hoc more coturnices aliasque aves pueris amatis donandi congessit Jacobsius ad Anthol. vol. X. p. 13. BECK.

πορφυρίων] Fulicam porphyrionem. Cf. 882. 1249. Aelian. N. A. III. 42. *ὁ πορφυρίων ὡραιότατός τε ἅμα καὶ φερωνυμώτατός ἐστι ζῴων.* Athen. IX. 388 C. Plin. N. H. X. 46. 73. Avis aquatica. Diversa avis est *πορφυρὶς* 304. "Athen. IX. 388 C. *Ἀριστοτέλης σχιδανόποδά φησιν αὐτὸν εἶναι ἔχειν τε χρῶμα κυάνεον, σκέλη μακρά, ῥύγχος ἠργμένον ἐκ τῆς κεφαλῆς φοινικοῦν* (*αὐχένα μακρόν*, Arist. An. II. 12. 16), *μέγεθος ἀλεκτρυόνος —. καὶ ἔοικεν ἡ σοβαρᾶς οἰκίας ἢ μέγα πλουσίας ἄθυρμα εἶναι, ἢ ὑποδέχεται νεὼς αὐτὸν καὶ ἄφετος ἀλᾶται καὶ ἱερὸς περίεισιν ἐντὸς περιβόλου.* Aelian. An. III. 42. Plin. N. H. X. 46. 73. laudatissimi in Commagene. Rostra eis et praelonga crura rubent." (Kock.)

Περσικὸν ὄρνιν] I. e. gallum gallinaceum. Cf. ad 485.

Schol. ⟦*ὁ δὲ Περσικὸν ὄρνεον: Τὰ πολυτελῆ πάντα, οἷς μόνος βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο Περσικά. καὶ νῦν οὐκ ἰδίως τις ὄρνις Περσικός. τινὲς δὲ τὸν ἀλεκτρυόνα. οἱ δὲ τὸν ταῶ.*⟧

709. *ὥρας*] Tempestates anni.

ἦρος] Veris, inclusa aestate, ut tres tantum tempestates enumerentur. Cf. 725.

Schol. *πρῶτα μὲν ὥρας: Παρὰ τὰ Ἡσιόδου* [Op. 446], "*φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς* ⟦*ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης.*⟧ *ἥ τ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην.*"

710. Ex Hesiodo Op. 450. *φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς | ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης, | ἥ τ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην | δεικνύει ὀμβρηροῦ.* Hyemis appropinquantis signum est grus avolans.

711. Ex Hesiodo adumbrata et haec, Op. 45. *αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο.* et 629. *πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι, | αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰσόκεν ἔλθῃ.*

ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν] Cf. Lys. 13. Eccl. 705. Thuc. II. 80. *τῷ ναυτικῷ παρήγγειλε παρασκευασαμένῳ πλεῖν.* Polyb. XI. 15. 340.

Schol. *καὶ πηδάλιον τότε: Καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον* [ib. 45] "*αὐτίκα* (imo *αἶψά κε*) *πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο*", *καὶ* [ib. 627] "*πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.*"

712. *Ὀρέστης*, nocturnus illius temporis grassator, de quo faceta mentio rursus occurrit infra 1490. et Acharn. 1167. BR.

Ὀρέστῃ χλαῖναν ὑφαίνειν] Cf. Lys. 586. *τῷ δήμῳ χλαῖναν ὑφῆναι.*

ἀποδύῃ] Spoliet, sc. vestibus. Cf. Eccl. 668. 670. Ran. 715. et ad 492 supra.

χλαῖναν] Vestimentum crassius externum, hyemi aptum.

χλαῖνα pallium crassius erat, usui hiberno idoneum.

Schol. εἶτα δ' Ὀρέστῃ: Ὀρέστης μανίαν προσποιούμενος ἐν τῷ σκότει τοὺς ἀνθρώπους ἀπέδυεν.

713. ἰκτῖνος δ' αὖ —] Respondent haec praecedentibus πρῶτα μὲν —. ἑτέραν ὥραν] Sc. ver primum.

Schol. ἴκτινος αὖ μετὰ ταῦτα: Ἐν Ἑλλάδι καιρῷ ἔαρος φαίνεται ἴκτινος, ὅτε κουρεύεται τὰ θρέμματα. πέκειν δὲ ποκάζειν.

714. πεκτεῖν] I. q. πέκειν, tondere. Proprie est vellere, unde πόκος vellus: nam mos erat antiquitus pelles ovinas vellere, non tondere. Pro πεκτεῖν hic corrigendum forsan πείκειν, quae epica forma est.

πεκτεῖν — πόκον] Cf. Lys. 685. βωστρεῖν — πεκτούμενον. Theocr. V. 98. ἀλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω | τὰν οἶν τὰν πελλὰν, Κρατίδᾳ δωρήσομαι αὐτός. ubi v. schol. Hom. Od. σ'. 315. ἠλάκατα στροφαλίζετ' ἢ εἴρια πείκετε χερσίν. Lucian. Alex. 6. τοὺς παχεῖς τῶν ἀνθρώπων — ἀποκείροντες. Id. Fug. 14. δασμολογοῦσι γὰρ ἐπιφοιτῶντες ἢ, ὡς αὐτοί φασιν, ἀποκείρουσι τὰ πρόβατα.

πόκον ἠρινόν] Quasi πόκον εἰρίνεον. Hom. Il. ἑ. 137. εἰροπόκοις ὀΐεσσιν. Od. ί. 443. εἰροπόκων ὀΐων. Hesychius: ἠρινοῦ πόκου: ἀπὸ τῶν ποιμνίων, τῶν συμμάχων κατ' ἔτος φόρους τελούντων ἔαρι (ex emend. Meinek. Fr. Com. IV. 637.). Phot. Ἠρινοῦ τόκου (πόκου recte Dobr. Adv. I. 593): ἐπεὶ ἔαρος οἱ φόροι ἐφέροντο. Eadem fere sed corrupte Hesychius v. Ἠρινοτόκου. Macar. IV. 55. Ἠρινὸς πόκος: ἐπὶ τῶν καθ' ὥραν δρεπομένων. In Graecia nimirum bis quotannis tondebantur oves: unde hic πόκον ἠρινόν. V. Theocr. XXVIII. 12. Varron. 2, 11, 8. quidam has (oves hirtas ?) in anno bis tondent, ut in Hispania citeriore, ac semestres faciunt tonsuras. Geop. 18, 8. μήτε κρύους ἔτι ὄντος μήτε θέρους ὥρᾳ, ἀλλὰ μεσοῦντος ἔαρος κείρειν χρὴ τὰ πρόβατα. Allusio videtur esse ad tributorum sociorum pensionem, quae verno tempore quotannis fiebat Athenis. Schol. Ach. 378. ἥτις (ἑορτὴ) ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι. Cf. ad Ach. 505. Praeterea ad lites sociorum fortasse alluditur, quae verno tempore Athenis dijudicabantur. V. schol. Av. 1465. Theophr. Char. III. 2.

εἶτα χελιδών] Sub. ἑτέραν ὥραν ἀποφαίνει, ὅτε etc.

715. ληδάριον] I. e. μικρὸν λήδιον. Λήδιον autem tenuissimum erat ἐπίβλημα linteum, quo aestivo tempore plerumque utebantur luxuriantes. Macho Athen. 582 D. καινὸν λήδιον. Clearchus apud Athenaeum VI. p. 256. καθῆστο τοὺς τοῦ μειρακίου πόδας ἐπὶ τοῖς αὐτοῦ γόνασι λεπτῷ ληδίῳ συνημφιακώς. Philostr. Vit. Apoll IV. 20. μεταβαλὼν τε τῶν χλανιδίων καὶ τῶν ληδίων καὶ τῆς ἄλλης συβαρίδος ἐς ἔρωτα ἦλθεν αὐχμοῦ καὶ τρίβωνος. Corrupte Suidas, Λήιον (l. Λήδιον): εὐτελὲς κολόβιον. Alcman ap. schol. λᾶδος εἱμένα καλόν.

Schol. ληδάριον: Θερίστριον ἢ εὐτελὲς ἱμάτιον θερινόν. σημείωσαι δὲ ὅτι ἐν συστολῇ τὸ πρίασθαι.

716. Cf. 618. κοὐκ ἐς Δελφοὺς | οὐδ' εἰς Ἄμμων' ἐλθόντες ἐκεῖ θύσομεν.

717. ὄρνις] Cf. ad Soph. Oed. R. 966. κλάζοντας ὄρνις.

πρὸς ἅπαντα τρέπεσθε] You betake yourselves to everything, to your respective pursuits and occupations. Schol: *οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε.*

οὕτω] Cf. Pl. 321.

Schol. ἐλθόντες γὰρ πρῶτον: *Μαντευσάμενοι γὰρ πρῶτον ἐκ τῶν ὀρνεομάντεων οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε.*

719. *ὄρνιν*] I. e. omen. Vide schol. Cf. Pl. 63. *δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.* Eur. Iph. A. 988. *ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις | θανοῦσ' ἐμὴ παῖς.* Hom. Il. ώ. 219. λ'. 243. Pind. P. IV. 19. Plut. de Genio Socratis c. 11. Arist. Probl. XXXIII. 7. Anth. Pal. XI. 375. Thom. Mag. 657. *ὄρνιθες ἰδίως οἱ εἰς μαντείαν συντελοῦντες ὄρνιθες· ἀφ' οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἔλεγον, οἷον πταρμὸν ἢ παλμὸν ἤ τι τοιοῦτον.* Suid. et Hesych. in *ξυμβόλους.* Etiam *οἰωνὸς* omen significat, ut in Homerico isto, *εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.* Sic Latinis avis et ales.

πάνθ' ὅσαπερ] Cf. 119. 1069. Vesp. 805. *ἅπαντ' ἐγὼ φέρω | ὅσαπέρ γ' ἔφασκον.*

μαντείας] Divinationis.

διακρίνει] Cf. Paus. I. 34. 4. *δοκῶ δὲ Ἀμφιάραον ὀνείρατων διακρίσει μάλιστα προσκεῖσθαι.*

Schol. ὄρνιν τε νομίζετε: *Πάντα γὰρ οἰωνοὺς καλοῦσι καὶ τὰ μὴ ὄρνεα.*

720. *φήμη*] *Φῆμαι* sunt omina quae ex deorum praecipue hominumque vocibus aliisque rumoribus capiuntur; *σύμβολα* signa varii generis, ut tonitrua, fulgores, hominum occursus etc., unde omina capiebant homines superstitiosi. Phavorin: *φήμη λόγος ἐστὶ δηλωτικὸς μέλλοντός τινος ἐξ αὐτομάτου λαλουμένη.* Eur. Ion. 179. *κτείνειν δ' ὑμᾶς αἰδοῦμαι | τοὺς θεῶν ἀγγέλλοντας φήμας | θνατοῖς.* Herod. I. 43. *ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην.* III. 153. *πρὸς ταύτην τὴν φήμην Ζωπύρῳ ἐδόκεε εἶναι ἁλώσιμος ἤδη ἡ Βαβυλών.* Xen. Cyr. VIII. 7. 6. *χαριστήρια ὅτι ἐσημήνατε μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν.* Apol. Socr. 12. *οἱ φθόγγοις οἰωνῶν καὶ οἱ φήμαις ἀνθρώπων χρώμενοι φωναῖς δήπου τεκμαίρονται.* 13. *οἰωνούς τε καὶ φήμας καὶ συμβόλους* (*συμβολὰς*?) *τε καὶ μάντεις.* Mem. I. 1. 3. *ὅσοι μαντικὴν νομίζοντες οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις.* Symp. IV. 48. *σημαίνουσί μοι* (*οἱ θεοὶ*) *πέμποντες ἀγγέλους φήμας καὶ ἐνύπνια καὶ οἰωνούς.* Hipp. IX. 9. *ἐν οἰωνοῖς καὶ ἐν φήμαις καὶ ἐν ὀνείρασιν.* Apoll. Rh. III. 1110. *ἔλθοι δ' ἡμὶν ἀπόπροθεν ἠέ τις ὄσσα, | ἠέ τις ἄγγελος ὄρνις.* Schol. Pind. Ol. XII. 10. *Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας, τουτέστι κληδόνας καὶ πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις σύμβολά φησι λέγεσθαι.* Cf. ad Pac. 457. 648. 930. Pl. 63. cum schol. Blomf. Gl. Pron. 496. Eodem sensu *κληδὼν* (Aesch. Prom. 486) et *ὄττα.* V. schol. Plat. Legg. VII. 632. Sic exclamatio *αἲ αἲ* omen infaustum habita est. V. schol. Lys. 388.

πταρμόν] Sternutamentum *οἰωνὸν*, avem, vocat Xenoph. Anab. 3, 2, 5. *τοῦτο λέγοντος αὐτοῦ πτάρνυταί τις. Ἀκούσαντες δὲ οἱ στρατιῶται πάντες μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν. Καὶ Ξενοφῶν εἶπε, Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν λεγόντων οἰωνὸς τοῦ Διὸς τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια.* BE. Hom. Od. ρ'. 541. *ὣς φάτο, Τηλέμαχος δὲ μέγ' ἔπταρεν.* H. in Merc. 298. Herod. VI. 107. *καί οἱ ταῦτα διέποντι ἐπῆλθε πταρεῖν τε καὶ βῆξαι* etc. Philem. com. IV. 38. *ὅταν δὲ παρατηροῦντ' ἴδω τίς ἔπταρεν | ἢ τίς ἐλάλησεν ἢ τίς ἐστιν ὁ προϊὼν | σκοποῦντα, πωλῶ τοῦτον εὐθὺς ἐν ἀγορᾷ.* Plat. Them. 13. *ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε* etc. "Chrysost. ad Paul. Ephes. 4. Homil. 12. *πολλῶν δειμάτων αὐτοῖς (τοῖς Ἕλλησιν) ἡ ψυχὴ μεστή, οἷον· "ὁ δεῖνά μοι πρῶτος ἐνέτυχεν ἐξιόντι τῆς οἰκίας· πάντως μυρία δεῖ κακὰ συμπεσεῖν." "ἔξω δὲ ἐξελθόντι ὁ ὀφθαλμός μοι ὁ δεξιὸς κάτωθεν ἀναπηδᾷ· δακρύων τοῦτο τεκμήριον." κἂν ὄνος ἀνακράξῃ, κἂν ἀλεκτρυὼν, κἂν πτάρῃ τις, κἂν ὁτιοῦν συμβῇ, καθάπερ μυρίοις δεδεμένοι δεσμοῖς πάντα ὑποπτεύουσιν".* (Dobree und Haupt. Kock.)
Nub. 688. *οὐκ ἄρρεν' ὑμῖν ἐστιν;*

721. *ξύμβολον*] Ab nominativo *ξύμβολος*, ut videtur. Xen. Apol. Socr. 13. *οἰωνούς τε καὶ φήμας καὶ συμβόλους (συμβολάς?).* Mem. I. 1. 3. Aesch. Ag. 142. *τερπνὰ τούτων αἰτεῖ ξύμβολα κρᾶναι.* Prom. 485. *ἐνοδίους τε συμβόλους* (ubi schol: *τοὺς ἐξ ὑπαντήσεως*) *γαμψωνύχων τε πτῆσιν οἰωνῶν | σκεθρῶς διώρισ'.* Est autem *ξύμβολον* signum sive praesagium quod ex occursu hominis alicujus aut animalis capitur. "Sub. *ἄνθρωπον.* I. q. *ἐνόδιον* Cramer. Anecd. 4, 241. *ἐνόδιον δὲ, ὅταν ἐξηγήσηταί τις τὰ ἐν ὁδῷ ἀπαντῶντα λέγων, ἐάν σοι ὑπαντήσῃ τοιοῦτος ἄνθρωπος ἢ τόδε βαστάζων ἢ τόδε, συμβήσεταί σοι τόδε."* (Kock.)

φωνήν] *Φωνὴ* ita differre videtur a *φήμη*, ut illa humana, haec divina vox sit.

θεράποντ'] Occurrentem famulum intellige.

ὄνον ὄρνιν] Haec sic explicat schol: *λέγεται γάρ τι τοιοῦτον, ὡς συμβολικὸς* (i. e. praesagiorum interpres) *ἐρωτώμενος περὶ ἀρρώστου εἶδεν ὄνον ἐκ πτώματος ἀναστάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος, Βλέπε πῶς (ὡς?) ὄνος ὢν ἀνέστη. ὁ δὲ ἔφη, ὁ νοσῶν ἀναστήσεται. καὶ ἀνέστη.* Scilicet verba *πῶς ὄνος ὢν ἀνέστη* similia sunt verbis *πῶς ὁ νοσῶν ἀνέστη.* Vide etiam Suidam s. v. *ὄνος.*

Schol. (*σύμβολον ὄρνιν: Καὶ γὰρ ταῦτα συμβόλους ἐποίουν τὰ πρῶτα συναντῶντα καὶ ἐξ ἀπαντήσεώς τι προσημαίνοντα. ταῦτα δὲ πάντα Δημήτερι ἀνέκειτο, ὥς φησι Φιλόχορος.*)

θεράποντ' ὄρνιν: Ἐπεὶ πολλάκις εἰώθαμέν τινας τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίστους.

ὄνον ὄρνιν: Λέγεται γάρ τι τοιοῦτον, ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀρρώστου εἶδεν ὄνον ἐκ πτώματος ἀναστάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος, βλέπε πῶς (ὡς?) ὄνος ὢν ἀνέστη. ὁ δὲ ἔφη, ὁ νοσῶν ἀναστήσεται. καὶ ἀνέστη.

722. *μαντεῖος Ἀπόλλων*] Cf. Eur. Orest. 1666. *ὦ Λοξία μαντεῖε.*

723—36. "Hephaestion informs us (c. 14) that the *μακρὸν*, as it was called, of the comic parabasis ought to be pronounced *ἀπνευστὶ* (without taking breath). In the Birds of Aristophanes the *μακρὸν* consists of $13^1/_2$ dimeter anapaestics, which contain 134 syllables." (ELMSL. Ed. Rev. XXXVII. 82.) Cf. Eccl. 1169. ubi una vox circiter 80 syllabas continens *ἀπνευστὶ* pronuntianda est.

723. *νομίσητε θεούς*] Sub. *εἶναι*. Cf. ad 496.

Schol. [[*ἢν οὖν*: *Ἔκθεσις τοῦ μακροῦ ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιδ'. ὧν τὰ μὲν ιβ' δίμετρα ἀκατάληκτα. τὸ ιγ' ἀναπαιστικὴ βάσις, ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἑφθημιμερές. ὑφ' ὃ παράγραφος.*]] *τοὺς ὄρνιθας.* R.

724. *μάντεσι μούσαις*] Anglice, vocal prophets, quasi *μουσικοῖς* (1332). Uno verbo *μουσόμαντις* supra 276. *μουσόμαντις — ὄρνις*. Schol: *χρῆσθαι ἡμῖν καὶ εἰς μουσικὴν καὶ εἰς μαντείαν.*

Schol. μάντεσι, Μούσαις: *Ὥστε χρῆσθαι ἡμῖν καὶ εἰς μουσικὴν καὶ εἰς μαντείαν. πολλὰ γὰρ τῶν ὀρνέων μουσικά.*

725. *αὔραις, ὥραις*] Schol: *ὅτι καὶ ἀνέμους καὶ καιροὺς προσημαίνουσι.* Cf. 597. Sed latet, opinor, mendum.

χειμῶνι] Anglice in winter. Soph. Oed. C. 1138. Hom. Il. *χ'*. 283. Sic *θέρεϊ* Il. *ψ'*. 151. Plat. Phileb. 26 A. *ἐν χειμῶσι καὶ πνίγεσιν ἐγγενόμενα* (*τὰ μέτρια*) *τὸ μὲν πολὺ καὶ λίαν καὶ ἄπειρον ἀφείλετο, τὸ δὲ ἔμμετρον ἀπειργάσατο.*

Schol. ταῖς τροπαῖς. R. V. — *χειμῶνι*: *Ὅτι καὶ ἀνέμους καὶ καιροὺς προσημαίνουσιν.* [[*μετρίῳ δὲ πνίγει,*]] *συμμέτρῳ καύματι. λέγει δὲ τὸ ἔαρ.*

726. *μετρίῳ πνίγει*] Modico calore, i. e. tempestate mediocris frigoris aut caloris, ut *πνῖγος* vox mediae significationis esse putanda sit. Cf. 1091. *οὐδ' αὖ θερμὴ πνίγους ἡμᾶς | ἀκτὶς τηλαυγὴς θάλπει.* Plat. Phaedr. 279. *ἴωμεν, ἐπειδὴ καὶ τὸ πνῖγος ἠπιώτερον γέγονεν.* Scilicet supra (713 et 715) dixerant aves hyemis adventum hominibus se indicaturas, ut *χλαῖναν* sibi emant; et aestatis etiam adventum, ut *ληδάριόν τι* parent: utrumque ad inclementiam coeli mitigandam, ita ut *μέτριον πνῖγος* futurum sit, si aves pro diis habituri sint homines. *Πνῖγος* autem tum de frigore tum de aestu extremo usurpatur, ut *κάειν* et Latinum urere. Sic Xen. An. IV. p. 291. *ἄνεμος βορρᾶς — ἀποκάων πάντα καὶ πηγνὺς τοὺς ἀνθρώπους.* Plut. Demetr. 12. *ἀμπέλους καὶ συκᾶς ἁπάσας ἀπέκαυσε τὸ ψῦχος.* Lucian. Lex. 2. *ἐν κρύει σφοδρῷ γίνεται τὰ καύματα.* Diog. L. II. 12. 6. *χειμῶνος συγκεκαυμένον.* Virg. Geo. I. 92. rapidive potentia solis | acrior, aut Boreae penetrabile frigus adurat. Claudian. laud. Seren. 6. quos neque frigoribus Boreas nec Sirius urit. Intelligit autem poeta tempestates ambas ver et auctumnum, quae ambae *μέτριον πνῖγος* habent.

727. *σεμνυνόμενοι*] Cf. Ran. 1020.

728. *παρὰ ταῖς νεφέλαις*] Quasi propter nubes non possint videre aut audire quid homines velint. Ita infra dicit homines sub nubibus secure pejerare, diis nihil animadvertentibus, v. 1607. *νῦν μέν γ' ὑπὸ ταῖς*

νεφέλαισιν ἐγκεχρυμμένοι κύψαντες ἐπιορκοῦσιν οἱ βροτοί. Etiam Pac. 207. dicit de diis, *αὐτοὶ δ' ἀνῳκίσανϑ' ὅπως ἀνωτάτω, | ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι | μηδ' ἀντιβολούντων μηδὲν αἰσϑανοίατο.* BE.

728. *ὥσπερ χὼ Ζεύς*] Cf. Pac. 350. 363. Lys. 528.

Schol. *ὥσπερ ὁ Ζεύς: Νεφεληγερέτης γάρ.*

731. *πλουϑυγιείαν*] Cf ad 604. Eq. 1091. Philem. IV. 22. *πλοῦτον ὑγίειαν.*

Schol. *πλουϑυγιείαν: Ἔμιξε τὰ δύο, διὸ (δι' ἃ?) μάλιστα οἱ ἄνϑρωποι χαίρουσι καὶ δοκοῦσι τὸν βίον ἐπανορϑοῦσϑαι, ἐκ τούτου ἔμφασιν εὐδαιμονίας ἐμφαίνων.*

732. *ϑαλιάς*] Cf. Hesiod. Op. 115. *τέρποντ' ἐν ϑαλίῃσι κακῶν ἔκτοσϑεν ἁπάντων.*

Schol. *γέλωτα: Καὶ τὰς ἄλλας ἡδονάς, δι' ὧν γέλως ἐστὶ καὶ χορεία καὶ ϑαλία.* V. et R. qui *καὶ χορεῖαι καὶ εὐωχίαι.*

733. *γάλα τ' ὀρνίϑων*] Proverbium de rebus rarissimis et pretiosissimis. Infra 1673. *ὀρνίϑων παρέξω σοι γάλα.* Philocleon in Vesp. 508. *ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίϑων γάλα | ἀντὶ τοῦ βίου λάβοιμ' ἄν.* Fr. 490. *ἡδύς γε πίνειν οἶνος Ἀφροδίτης γάλα.* Mnesimachus ap. Athen. p. 387. *καὶ τὸ λεγόμενον σπανιώτερον (-τατον?) πάρεστιν ὀρνίϑων γάλα.* Menand. Fr. Inc. p. 313. Lucian. de Merc. cond. c. 13. *καὶ ἕξεις τὸ τῆς Ἀμαλϑείας κέρας, καὶ ἀμέλξεις ὀρνίϑων γάλα.* Strabo de insula Samo XIV. 1. 15. *τὰ δ' ἄλλα εὐδαίμων, ὡς δῆλον ἔκ τε τοῦ περιμάχητον γενέσϑαι καὶ ἐκ τοῦ τοὺς ἐπαινοῦντας, μὴ ὀκνεῖν ἐφαρμόττειν αὐτῇ τὴν λέγουσαν παροιμίαν ὅτι φέρει καὶ ὀρνίϑων γάλα· καϑάπερ που καὶ Μένανδρος ἔφη.* Athen. VIII. p. 371 C. *ἠδ' ὅπερ ὄρνιϑος κλέεται γάλα.* II. p. 57 D. IX. p 387 B. Lucian. Dom. 13. *ἕξεις τὸ τῆς Ἀμαλϑείας κέρας καὶ ἀμέλξεις ὀρνίϑων γάλα.* Eust. ad Dionys. Perieg. 533. *ἡ δὲ Σάμος … πάνυ εὐτύχησέ ποτε, ὡς καὶ παροιμιασϑῆναι, γάλα ὀρνίϑων φέρειν αὐτήν.* Id. ad Od. p. 1485, 39. *ἔστι παροιμία ἐπὶ εὐδαιμονίας.* Diogen. III. 92. *Γάλα ὀρνίϑων: ἐπὶ τῶν σπανίων.* Bachm. Anecd II. 339. *ἀμέλξεις ὀρνίϑων γάλα.* Plinius in Historiae Naturalis praefatione: Inscriptionis apud Graecos mira felicitas. *Κηρίον* inscripsere quod volebant intelligi favum; alii *κέρας Ἀμαλϑείας*, quod Copiae cornu, ut vel lactis gallinacei sperare possis in volumine haustum. Petronius cap. 38. Nec est quod putes illum quidquam emere: omnia domi nascuntur, lanae, cerae, piper: lacte gallinaceum, si quaesieris, invenies. Cf. etiam ad Vesp. 724. Similiter fere *Διὸς ἐγκέφαλος* apud Ephipp. com. III. 330. Proprie autem *ὀρνίϑων γάλα* dicebatur *τὸ ἐν τοῖς ᾠοῖς λευκὸν* secundum Anaxagoram apud Athen. 57 D.

Schol. *γάλα τ' ὀρνίϑων: Τοῦτο ἐκ παροιμίας ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. (Ἄλλως. τοῦτο ἐπὶ τῶν σπανίων ἔταττον. τὰ σπάνια οὖν, φησί, καὶ δυσεύρετα τῶν ἀγαϑῶν παρέξομεν.)*

734. *κοπιᾶν*] Cf. Th. 795. Fr. 302. Alex. com III. 451. *κοπιῶ τὼ σκέλη.*

Schol. *κοπιᾶν: Ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαϑῶν ἀπειρηκέναι μέλλετε.*

737. *Μοῦσα λοχμαία*] Lusciniam invocat. Cf. 678. *πάντων ξύννομε τῶν ἐμῶν ὕμνων ξύντροφ' ἀηδοῖ.* Avium voces in hoc et sequenti carmine (769 sq.) ab luscinia sola tibia expressas censet Wieseler Adv. p. 32.

Schol. [[*Μοῦσα λοχμαία: Ἡ στροφὴ καὶ ᾠδὴ αὕτη κώλων ἐστὶ διαφόρων καὶ ἀσυναρτήτων ιϛ'. ὧν τὸ πρῶτον πενθημιμερές. τὸ β' ἑφθημιμερὴς τοῦ α' ποδὸς ἐξαβράχεος. τὸ γ' τροχαϊκὸν εὐριπίδειον. τὸ δ' ἀσυνάρτητον προσῳδιακὸν καλούμενον, περὶ οὗ εἴρηται ἐν τῇ παραβάσει τοῦ Νεφελῶν δράματος. τὸ ε' ὅμοιον τῷ β'. τὸ ϛ' ὅμοιον τῷ δ', οὐκ ἐκ παίωνος δευτέρου ἀρχόμενον ὡς ἐκεῖνο, ἀλλ' ἐκ δακτύλου. τὸ ζ' ὅμοιον τῷ β', πλὴν βραχυκατάληκτον. τὸ η' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. καὶ τὸ ιδ'. τὸ θ' ἀσυνάρτητον ὅμοιον τοῖς ῥηθεῖσι. τὸ ι' ὅμοιον. τὸ ια' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διαλελυμένων χοριάμβων, τοῦ α' ἑξασυλλάβου, τοῦ δὲ δευτέρου πενταουλλάβου. τὸ ιβ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ιγ' δακτυλικὸν ἑφθημιμερές. τὸ ιε' ἰαμβικὸν ἑφθημιμερές. τὸ ιϛ' ὅμοιον τῷ πρώτῳ πενθημιμερὲς ἐκ διαλελυμένου χοριάμβου. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. εἰσὶ δὲ καὶ ταῦτα πολυσχηματιστα.*]]

Μοῦσα λοχμαία: (Τὴν ἑαυτῶν λέγει, οἷον λοχμίδα. Δίδυμος, ὅτι ἐγκεκρυμμένοι ἐν ταῖς λόχμαις εἰώθασι φωνεῖν. ὁ λόγος δὲ ἀπὸ τοῦ ποιητοῦ. Ἄλλως.) ἀντὶ τοῦ μέλος ὡς ὄρνιθος. οἰκείως λοχμαίαν Μοῦσαν καλοῦσι. διὰ μέσου τὸ τῆς φωνῆς μίμημα καὶ ἐπιμίγνυσι τῷ τῆς ἀνθρωπείας. ἔστι δὲ τὸ ἑξῆς οὕτως· Μοῦσα λοχμαία ποικίλη, μεθ' ἧς ἐγὼ νόμους ἱεροὺς ἀναφαίνω. ξουθῆς δὲ εἶπε παρόσον τὰ πλεῖστα τῶν ὀρνέων ξουθὰ φαίνεται.

738. Metrum est dochmiacum.

740. Cf. Nub. 278. *ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ δενδροκόμους.* Idem metrum Ran. 1361. *σὺ δ', ὦ Διὸς διπύρους ἀνέχουσα* (Eur.).

742. Cf. 210 sq. 676 sq. Hom. Od. 19, 518. *ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηῒς ἀηδὼν | καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο | δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν, | ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν, | παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον,* etc. Virg. G. IV. 513. at illa | flet noctem ramoque sedens miserabile carmen | integrat. Catull. 45, 14.

μελίας — φυλλοκόμου] I. e. comatae foliis. Cf. 215. *φυλλοκόμου μίλακος.* Confer v. *δενδρόκομος* Nub. 278.

744. Cf. 214. *ἐλελιζομένη δ' ἱεροῖς μέλεσιν γέννυος ξουθῆς.* 677. Eur. Hel. 1111. *ἐλθ', ὦ διὰ ξουθᾶν γενύων ἐλελιζομένα,* etc. Aesch. Ag. 1142. *οἷά τις ξουθὰ ἀκόρετος βοᾶς — Ἴτυν στένουσ' — ἀηδών.* Eur. Herc. 692. *κύκνος ὡς γέρων ἀοιδὸς πολιᾶν ἐκ γενύων κελαδήσω.* Hunc versum dactylicum cum anacrusi habet Richter. Praef. Pac. p. 49. Metrum enim versuum 737—752. dactylico-trochaicum esse.

μελέων — νόμους] Cf. 211. *νόμους ἱερῶν ὕμνων. ἀοιδαῖς.* 905. *τεαῖς ἐν ὕμνων ἀοιδαῖς.*

745. *Πανί*] Panis in honorem. Sic Lys. 1277. *ὀρχησάμενοι θεοῖσιν.* N. 271. "Pind. P. III. 78. *ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμά.* Fr. 71. *ὦ Πάν, Ἀρκαδίας μεδέων, Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.*" (Ko.) Schol: *ἐπεὶ νόμιος ὁ θεὸς καὶ ὄρειος, καὶ τῶν ὀρνέων δὲ ἐν ὄρεσιν αἱ διατριβαί.*

ἀναφαίνω] Cf. Hom. Il. *ά*. 87. *θεοπροπίας ἀναφαίνεις.*

Schol. Πανὶ νόμους: Ἐπεὶ νόμιος ὁ θεὸς καὶ ὄρειος, καὶ τῶν ὀρνέων δὲ ἐν ὄρεσιν αἱ διατριβαί. ⟦*σεμνᾷ δὲ μητρὶ,*⟧ *τῇ Ῥέᾳ.*

746. *μητρὶ — ὀρείᾳ*] I. e. Cybelae, quae in montibus choros ducere putabatur. V. Eur. Bacch. 74. Supra 875. *μεγάλῃ μητρὶ θεῶν καὶ ἀνθρώπων.*

χορεύματ'] Pratinas apud Athen. 617 C. *τίς ὁ θόρυβος ὅδε; τί τάδε τὰ χορεύματα;* Eur. Phoen. 664. Herc. 886.

748. *ὡσπερεὶ μέλιττα* —] Plat. Ion. 534 A. *λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταὶ ὅτι ἀπὸ κρηνῶν μελιρρύτων ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται, καὶ αὐτοὶ οὕτω πετόμενοι.* Isocr. ad Demon. p. 48. *ὥσπερ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν βλαστήματα καθιζάνειν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνειν, οὕτω χρὴ* etc. Lucian. Pisc. 6. *ταῦτα παρ' ὑμῶν λαβὼν καὶ κατὰ τὴν μέλιτταν ἀπανθισάμενος ἐπιδείκνυμαι.* Anthol. *Μουσέων ἄνθεα βοσκόμενος.* Lucret. III. 11. Floriferis ut apes in saltibus omnia libant, | Omnia nos itidem depascimur aurea dicta. Hor. Od. IV. 2. 27. Ego apis Matinae | More modoque | grata carpentis thyma per laborem | plurimum — operosa parvus | carmina pango.

Schol. ἔνθεν: Ἀπὸ τῶν ἐμῶν ποιημάτων ὥσπερ ἡ μέλιττα ἀπεβόσκετο.

749. *Φρύνιχος*] Poeta tragicus celeberrimus propter carminum suavitatem laudem summam consecutus, de quo cf. Vesp. 220. 269. 1490. Th. 164. Ran. 910. 1299. "Dactylicus heptameter catalecticus in disyllabum cum versu ithyphallico compositus." (Dind.)

Schol. Φρύνιχος ἀμβροσίων: Φρύνιχος τραγῳδίας ποιητής, ὃς ἐπὶ μελοποιίαις ἐθαυμάζετο. τέσσαρες δὲ ἐγένοντο Φρύνιχοι. ὁ μὲν εἷς οὗ νῦν μνημονεύει, Πολυφράδμονος παῖς, ποιητὴς ἡδὺς ἐν τοῖς μέλεσιν. ὁ ἕτερος, Χοροκλέους παῖς, ὑποκριτής. τρίτος, Φρύνιχος ὁ κωμικός, οὗ μέμνηται Ἕρμιππος ἐν Φορμοφόροις ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα. τέταρτος δέ ἐστιν Ἀθηναῖος τὸ γένος ὁ στρατηγήσας τὰ περὶ Σάμον (καὶ Ἀστυόχῳ προσθέμενος, ἐπιχειρήσας δὲ τῇ τοῦ δήμου καταλύσει. περὶ ὧν ἐν τοῖς Βατράχοις [ad 1299] *ἱκανῶς εἰρήκαμεν.)*

750. Infra 1066. *δένδρεσί τ' ἐφεζόμενα καρπὸν ἀποβόσκεται.* Ran. 1299. *ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ | λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων.* Vesp. 462. *εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρωκότες.* 220. *μινυρίζοντες μέλη | ἀρχαιομελισιδωνοφρυνιχήρατα.* "Phrynichei loci parodia manifesta: quid mutarit Aristophanes nescimus. Eadem fortasse est origo versus antistrophici 781. *εἷλε δὲ θάμβος ἄνακτας κτέ.*" (Bakh.) Auctor Vitae Sophoclis: *μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθ' ὃ καὶ μέλιττα ἐλέγετο.*

841. *φύλακας*] Sic vulgo legitur, sed reponendum *φυλακάς*, excubias. Quanquam fatendum est utramque lectionem in usu fuisse videri. V. Schneid. ad Xen. Cyr. V. 1. 30. Cf. 1161. *φυλακαὶ καθεστήκασι.* Vesp. 2. Herod. III. 72. *φυλακὰς τὰς κατεστεώσας.* V. 33. *περιιόντος Μεγαβάτεω τὰς ἐπὶ τῶν νεῶν φυλακάς.* Thuc. II. 94. *φυλακὰς τοῦ Πειραιῶς καθίσταντο.* IV. 90. *καθίστατο φυλακάς* (*φύλακάς* A. B. E.). Xen. An. IV. 5. 21. *φυλακὰς οἵας ἐδύναντο καταστησάμενοι.* Oecon. XX. 8. *φυλακὰς — καθιστάναι καὶ ἡμερινὰς καὶ νυκτερινάς.* V. 2. 16. *φύλακας* (l. *φυλακὰς*) *καθίστασαν.* Hell. III. 2. 14. *ἱκανὰς φυλακὰς καταστήσαντες.* Cyr. V. 3. 51. *φύλακας* (al. *φυλακὰς*) *καταστησάμενοι.* III. 3. 33. IV. 1. 1. V. 1. 30. Plat. Rep. IV. p. 421. *τοὺς φύλακας καθιστῶμεν.*

ἀεί] Anglice regularly.

τὸ πῦρ] Schol: *εἰώθασι γὰρ ἐν ταῖς φυλακαῖς πυρκαϊὰς καίειν.*

Schol. τὸ πῦρ ἔγκρυπτ' ἀεί: (Ἵνα σχῇ αὐτό, εἰ χρεία γενήσεται φυλακῆς.) εἰώθασι γὰρ ἐν ταῖς φυλακαῖς πυρκαϊὰς καίειν.

842 sq. In his Euripidis Palamedem *παρακωμῳδεῖν* nostrum suspicatur scholiasta. "In Palamede mentio fiebat *τινῶν περιπολούντων σὺν κώδωσι τῆς νυκτός*, ut docet Harpocration ap. Dind. Eur. Fr. 592." (Bakh.)

κωδωνοφορῶν περίτρεχε] Nempe ad explorandos excubitores. Infra 1160. *κωδωνοφορεῖται, πανταχῇ | φυλακαὶ καθεστήκασι.* BE. Tintinnabulis enim excubitores explorabant. V. ad Thucyd. IV. 135. *τοῦ γὰρ κώδωνος παρενεχθέντος οὕτως ἐς τὸ διάκενον πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτὸν ἡ πρόσθεσις ἐγένετο.* Nicoph. com. II. 855. Plut. Arat. 7. Dion. Cass. Vol. I. p. 733. Hesych. in *κωδωνίσαι* et *κωδωνοφορῶν.*

Schol. κωδωνοφορῶν: Οἱ περίπολοι οἱ τὰς φυλακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας κώδωνας εἶχον, καὶ διὰ τούτων ἐψόφουν, πειράζοντες τὸν καθεύδοντα, καὶ ἵνα οἱ φυλάττοντες ἀντιφθέγγωνται.

(*μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ δεδιδαγμένον.*)

843. *Schol.* *εἰς θεοὺς ἄνω*: *Ἐπεὶ μεταξὺ γῆς καὶ οὐρανοῦ ἐστιν ὁ ἀήρ.*

845. *αὐτοῦ μένων*] Cf. Vesp. 766. *αὐτοῦ μένων δίκαζε τοῖσιν οἰκέταις.* 971. *ἐστιν οἰκουρὸς μόνον.* | *αὐτοῦ μένων γὰρ* —. Similis fere jocus est Thesm. 1062—1063.

κἀκεῖθεν —] Indeque rursus ad me fac isti veniant. Praeco ex hominibus redit v. 1271. Ab superis tres legati veniunt v. 1494. Ipse Euelpides non amplius in scenam redit. Deinde *παρ' ἐμὲ* redde ad me.

846. *οἴμωζε παρ' ἔμ'*] Dixerat alter *κἀκεῖθεν αὖθις παρ' ἐμέ*, id est, *πρὸς ἐμέ.* Ultima verba repetit facetus Euelpides, sed alio sensu. Isti *παρ' ἐμὲ* valet mea causa, ut est apud Plautum saepe. Epid. 5, 2, 14. Dum sine me quaeras, quaeras mea causa vel medio in mari. Et Menaechm. 5, 1, 27. Mea quidem hercle causa vidua vivito | vel usque dum regnum obtinebit Jupiter. BR. Ultima Peisetaeri sermonis verba, sed alio sensu (per me, mea quidem causa, Anglice, for all I care), ironice repetit Euelpides, tot tantosque labores perferre et munera obire jussus. Indignatur scilicet Euelpides se ad aera amandari, Pisthetaerum autem otiosum remanere. Ridicule ergo regerit, Tu vero hic remanens mea causa plora. Cf. Lycurg. § 64. *ὡς οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο τούτων.* ibid. *παρὰ τοῦτον.* Aesch c. Ctes. 131. *παρὰ τοῦτο* (hanc ob causam). Dinarch. I. 73. *παρὰ τί οἴεσθε τὰς πόλεις τότε μὲν εὖ τότε δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο πλὴν παρὰ τοὺς συμβούλους* etc. Dem. p. 43. *καὶ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν.* p. 354. *παρὰ τὸ προαισθέσθαι κεκώλυται.* Isocr. Epist. IX. 17. *ὥσπερ παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν πράξουσαν.* Cf. Eq. 891. *σὺ δ' οἴμωζ', ὦ πόνηρ'. ΔΗ. ἰαιβοῖ.*

Schol. *οἴμωζε παρ' ἐμέ*: *Παίζων τοῦτό φησιν, ἐπειδὴ εἶπεν αὐτῷ παρ' ἐμέ.*

849. *τὸν ἱερέα — καλῶ*] Cf. Pl. 1182. *κἀμέ γ' ἐκάλει τὸν ἱερέα* (sc. *θύων*).

Schol. *πομπεύσοντα.* R.

850. *παῖ παῖ*] Cf. ad 57.

τὸ κανοῦν αἴρεσθε —] Tollite, sc. ut in pompa sacra. Unum servorum canistrum, alterum aquam lustralem jubet tollere. "Pro ὑμῶν, ὦ παῖδες, ὁ μὲν αἰρέσθω τὸ κανοῦν, ὁ δὲ ἕτερος τὴν χέρνιβα" (Abresch. Anim. ad Aesch. I. 503). Sed mendosum videtur *αἴρεσθε.* Unus enim tantum servus videtur compellari. Cf. 958. *αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.* 863. Pac. 956. *ἄγε δὴ τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα* | *περίιθι τὸν βωμὸν ταχέως ἐπιδέξια.* Eur. Iph. A. 1568. *ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς* | *λαβὼν κανοῦν ἔθρεξε χέρνιβάς θ' ὁμοῦ.* Herc. 929. *μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,* | *ἐς χέρνιβ' ὡς βάψειεν.* Eur. El. 800. *οἱ μὲν σφαγεῖον ἔφερον, οἱ δ' ᾖρον κανᾶ.* Pherecrat. com. II. 323. *πρόσαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόσφερε.* Dem.

p. 618. *τὸν εἰς ἱερὰ εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἁψόμενον.* Pac. 956. De voce *χέρνιψ* vide Athen. IX. 409 A.

Schol. τὴν χέρνιβα: Ἀντὶ τοῦ τὸ ὕδωρ. [[*Δημοσθένης* [p. 618.] "*καὶ χερνίβων καὶ κανῶν ἁψόμενον.*" *εἴη δ' ἂν ἀπὸ εὐθείας τῆς χέρνιψ.*]]

851 sq. Hoc non minus quam sequens carmen (895—902) Sacerdoti tribuendum esse monet Wieseler Adv. p. 108. Itaenim loqui minime convenire Choro (cf. 1058 sq.). Ejusdem personae utrumque carmen esse ostendunt plane ista v. 895. *εἶτ' αὖθις αὖ — δεύτερον μέλος* etc.

851—858 = 895 = 902.

851. *ὁμορροθῶ, συνθέλω*] Sophoclis ex Peleo. Schol: *ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ.* Cf. 811. *ταῦτα κἀμοὶ ξυνδοκεῖ.* 1630. Eur. Herc. 832. *συνθέλω δ' ἐγώ.* "Insunt huic comoediae carmina chorica quae tragoediam sapiunt, e. g. 451 sq., quae tamen cum revera parodiam contineant dijudicare non possumus. V. schol. ad h. l. et ad 857." (Bakh.)

ὁμορροθῶ] Vox rarior. Cf. Eur. Or. 529. *ἐν λόγοισι τοῖς ἐμοῖς | ὁμορροθεῖ.* Soph. Ant. 536. *ὁμορροθῶ.*

Schol. [[*ὁμορροθῶ: Κορωνὶς καὶ εἴσθεσις μετὰ χοροῦ καὶ στροφὴ κώλων διαφόρων θ'. ὧν τὸ α' περίοδος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς. τὰ ἑξῆς τρία τροχαϊκά, τὸ μὲν ἐφθημιμερές, τὸ δὲ πενθημιμερές, τὸ δ' ἀκατάληκτον δίμετρον, ὡς καὶ τὸ ὄγδοον. τὸ ς' ἀναπαιστικὴ βάσις. τὸ ζ' ἰαμβικὸν ἐφθημιμερὲς καὶ θ'. τινὲς δὲ προστιθέασι καὶ "ᾠδάν." ὑφ' ὃ κορωνίς.*]]

(*ὁμορροθῶ: Σοφοκλέους ἐκ Πηλέως, ἀντὶ τοῦ, τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν. νῦν δὲ ἀντὶ τοῦ συνεργῶ τῇ εἰς θεοὺς θυσίᾳ.*)

852 sq. "Quid in his Sophoclis fuerit non liquet. Quae subiungit poeta *συμπαραινέσας ἔχω* Sophoclea esse possunt, non tamen hoc schema unius Sophoclis proprium est. Cf. Eur. Her. 436. Tro. 1150. et v. Herw. ad Ion. 230." (Bakh.).

852. *συμπαραινέσας ἔχω*] Cf. Th. 706. *ἔχει — ἐξαρπάσας.* Eccl. 355. *ἐγκλείσασ' ἔχει.* Herod. I. 120. *τὰ λοιπὰ πάντα διατάξας εἶχε.* II. 52. *κόσμῳ θέντες τὰ πάντα πρήγματα — εἶχον.*

Schol. συμπαραινέσας ἔχω: Ἀντὶ τοῦ συμπαρῄνεσα.

853. *προσόδια*] Cf. Nub. 307. *καὶ πρόσοδοι μακάρων ἱερώταται.* Pac. 396. *καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαις — ἀγαλοῦμεν.* Blomf. ad Ag. 1597.

Schol. προσόδια μεγάλα: (Ἀπὸ τῶν προσόδων.) οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς πομπάς, καὶ προσόδια τὰ εἰς πανηγύρεις τῶν θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα.

854. Nihil offendere debet correptio secundae syllabae in *προσιέναι* (*προσπέμπειν*) in carmine lyrico. Cf. ad 946. In senariis enim producitur prima in *ἰέναι* apud Atticos scriptores.

855. *χάριτος ἕνεκα*] Favoris conciliandi gratia. Vulgo explicant ad persolvendas gratias.

856. *πρόβατον*] *Πρόβατον* hic non arietem aut vervecem, sed caprum significare contendit Wieseler Adv. p. 109, postea enim *τράγον* appellari, de hac vocabuli significatione laudans Vossii Epist. arg. myth. I. 17 (p. 110. ed. II.). Cf. Pac. 948. *τὸ κανοῦν πάρεστ' ὀλὰς ἔχον καὶ στέμμα καὶ μάχαιραν, | καὶ πῦρ γε τουτὶ κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ἡμᾶς.*

857. *ἴτω — βοά*] Cf. Eur. El. 879. *ἴτω ξύναυλος βοὰ χαρᾷ.* Iph. A. 1470. *ἴτω δὲ Δαναΐδαις εὐφημία.* Ion. 1096. *παλίμφαμος ἀοιδὰ | καὶ μοῦσ' εἰς ἄνδρας ἴτω | δυσκέλαδος —.* Eur. Pha. Fr. 1, 57. *ἴτω τελεία γάμων ἀοιδά.* Soph. Tr. 207. *ἐν δὲ κοινὸς ἀρσένων ἴτω κλαγγά.* Fr. 435, 5. Aesch. Sept. 964. *ἴτω δάκρυ. — ἴτω γόος.* Eum. 966. *σπονδαὶ δ' εἰσόπιν ἐνῷδες ἴτων.* Ion. Eleg. 2, 7. *πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή.*

Πυθιὰς βοά] Schol: *ἡ μετ' αὐλοῦ γινομένη βοή. τὸ Πύθιον μέλος. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. καὶ τοῦτο δὲ ἐκ Πηλέως.* Hymnum dicit, ad tibiae sonum cantatum. Bene igitur schol: *βοᾷ ὁ αὐλητής.* Unde mox *παῦσαι σὺ φυσῶν.*

Schol. Πυθιὰς βοά: *Βοᾷ ὁ αὐλητής. εἴρηται ὅτι ἐπὶ ταῖς θυσίαις ηὔλουν. Ἄλλως. ἡ μετ' αὐλοῦ γινομένη βοή. τὸ Πύθιον μέλος. ἔνθεν καὶ πυθαύλης γίνεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. καὶ τοῦτο δὲ ἐκ Πηλέως.*

858. *ξυναδέτω — ᾠδάν*] Sc. tibia. *Ἄιδειν* enim et *ᾠδή*, ut Latina canere et cantus, de tibiis saepe usurpatur.

Χαῖρις] Scholia: *ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις.* Non enim apparere videtur accersitus ut sacerdos. Etiam in Pace v. 951. *ὡς ἢν Χαῖρις ἡμᾶς ἴδῃ, πρόσεισιν αὐλήσων ἄκλητος.* Erat autem malus tibicen et citharoedus. BE. Cf. Pac. 951—952. ubi schol: *τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. ἦν δὲ καὶ ἕτερος κιθαρῳδός.* At schol. h. l: *ἦν δὲ ὁ Χαῖρις οὗτος κιθαρῳδὸς ψυχρὸς καὶ γέγονεν αὐλητής. Μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις, "Φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο; | Β. ὁ Πεισίου Μέλης. Α. μετὰ δὲ Μέλητα τίς; | Β. ἔχ' ἀτρέμ', ἐγῷδα· Χαῖρις." Ἔστι δὲ ἕτερος, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει.* Diversine hi fuerint an idem et citharoedus et tibicen non omnino liquet. Citharoedus certe intelligitur Ach. 16. *ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον*, tibicen autem ibid. 866. *Χαιριδῆς βομβαύλιοι* (ubi schol: *Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος*), et Pac. l. l. Semper eundem Chaerin apud nostrum intelligendum esse et quidem tibicinem contendit Wieseler Adv. p. 107.

Schol. Χαῖρις ᾠδάν: *Ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις. ἦν δὲ* [*ὁ Χαῖρις οὗτος*] *κιθαρῳδὸς ψυχρὸς καὶ γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις, "φέρ' ἴδω κιθαρῳδὸς τίς κάκιστος ἐγένετο; (ὁ Πεισίου Μέλης. μετὰ δὲ Μέλητα τίς; ἔχ' ἀτρέμ', ἐγῷδα· Χαῖρις." ἔστι καὶ) ἕτερος αὐλητὴς, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει.*

859. *Schol.* [*παῦσαι σύ*: *Εἴσθεσις συστηματικὴ ἀμοιβαίας ἐξ περιόδους ἔχουσα. τῆς δὲ πρώτης στίχοι τρεῖς ἰαμβικοὶ ἀκατάληκτοι. καὶ ἐν*

ἐκθέσει ἕτερος ὁμοίως. ὑφ' ὃν παράγραφος.]] *ἔξεισιν ἱερέα καὶ αὐλητὴν ἔχων.*

860. Construe *τουτὶ — οὔπω εἶδον, κόραχ' ἐμπεφορβειωμένον.*

861. *κόραχ'* —] "Is musicus (corvus) neque ad Chorum pertinet neque ad actores, sed ad solam pompam, quae in scenam inducitur. Notum est autem veteres solitos fuisse sacris tibicines adhibere. Qui postquam scenam ingressus est post v. 850 abit post v. 1057." (Wieseler Adv. p. 45.)

ἐμπεφορβειωμένον] Qui prodibat in scenam tibicen corvino vultu ornatus erat et capistratus tibicinum more. BR. Schol: *φόρβιον δέ ἐστι τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ.* Hoc capistro tibicines os sibi obligabant et buccas substringebant, ne ultra justum modum inflarentur neve turpiculum os redderent, ut monuit Salmasius Plin. Ex. I. 585. Minore etiam sic nisu et labore opus erat ad flandum. Cf. Pac. 954. *φυσῶντι καὶ πονουμένῳ.* Coriaceum fuisse videatur, si fides habenda scholiastae. Cf. Vesp. 582. *ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσιν.* Soph. Fr. 753. *φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι, | ἀλλ' ἀγρίαις φύσαισι φορβειᾶς ἄτερ.* Plut. de Adul. p. 56 E. *Πτολεμαίῳ δὲ τί περιῆψεν ἄλλο φορβειὰν καὶ αὐλούς;* Longin. de Subl. c. 3. De *φορβειᾷ* capistro musicis proprio copiose egit Boettiger. Script. Min. I. 51 sq.

Schol. [*οὔπω κόραχ' εἶδον: Ἴσως ὡς μέλανα σκώπτει. ἔοικε δὲ ὁ αὐλητὴς διεσκευάσθαι εἰς κόρακα. φόρβιον δέ ἐστι τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ.*]

(*ἐμπεφορβιωμένον: Φορβειά ἐστιν ὁ χαλινός. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶ τῆς Ὀδυσσειακῆς προσῳδίας τὸ φορβειά διὰ τῆς ει διφθόγγου γράφεσθαι καὶ ὀξυτόνως.*)

863. *τὸ κανοῦν*] Cf. Pac. 948. *τὸ κανοῦν πάρεστ' ὀλὰς ἔχον καὶ στέμμα καὶ μάχαιραν.*

864. *Schol.* [[*δράσω τάδ' ἀλλά: Ἡ δευτέρα περίοδος κώλων καὶ στίχων ἐστὶ δέκα. ὧν ὁ πρῶτος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ β' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων καὶ σπονδείου. τὸ γ' ὅμοιον ἐξ ἐπιτρίτων καὶ αὐτὸ τρίμετρον βραχυκατάληκτον. τὸ τέταρτον ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε' καὶ ς' δίμετρα βραχυκατάληκτα τροχαϊκά. τὸ* (*ὁ* vulg.) *ζ' ὅμοιον τῷ α', τὸν β' ἔχον πόδα χορεῖον. τὸ η' ὅμοιον τῷ γ'. τὸ θ' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ ι' Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. ἐν ἐκθέσει δ' ἴαμβος τῷ πρώτῳ ὅμοιος. ὑφ' ὃν παράγραφος.*]]

865. *εὔχεσθε* —] Cf. Th. 331. *εὔχεσθε τοῖς θεοῖσι τοῖς Ὀλυμπίοις καὶ ταῖς Ὀλυμπίαισι, καὶ τοῖς Πυθίοις | καὶ ταῖσι Πυθίαισι, καὶ τοῖς Δηλίοις | καὶ ταῖσι Δηλίαισι, τοῖς τ' ἄλλοις θεοῖς*, etc. Menand. IV. 153. *θεοῖς Ὀλυμπίοις εὐχώμεθα | Ὀλυμπίαισι πᾶσι πάσαις — διδόναι σωτηρίαν, | ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν ἀγαθῶν ὄνησιν πᾶσι. ταῦτ' εὐχώμεθα.* Dem. de Cor. init. *θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις.* "Parodia est precum, quas Ionica dialecto recitabant sacrificaturi." (Bakh.)

Ἑστίᾳ] Scilicet a Vesta in sacris auspicabantur. Cf. ad Vesp. 846. *ἵνα | ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.* Ridicule hic miscentur epitheta avium et deorum, *Ἑστίᾳ ὀρνιθείῳ, ἰκτίνῳ ἑστιούχῳ.* Ceterum oratio prosa vel soluta est hic et infra 870. 875. 878. 881. 1035. 1040. 1046. 1050.

τῷ ἰκτίνῳ] Inter primos hic memoratur: rex enim olim fuisse perhibetur v. 499.

"They begin a solemn prayer to all the birds of Olympus, putting the swan in the place of Apollo, the cock in that of Mars, and the ostrich in that of the great mother Cybele, etc." (Cook.) "The priest's prayer is a sort of parody on the usual forms, birds and gods being strangely mixed together. Invocations customarily began with *Ἑστία*." (Gr.)

Schol. τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ: Ἐμιμήσατο τὰ τῶν ἀνθρώπων ἔθη. καὶ γὰρ ἔθος ἀπὸ τῆς Ἑστίας ἀπάρχεσθαι (ἐν ταῖς θυσίαις). ἔμιξε δὲ τὰ ἐπίθετα τῶν θεῶν τοῖς ὀρνέοις, Ἑστίᾳ ὀρνιθείῳ καὶ ἰκτίνῳ ἑστιούχῳ.

866. *τῷ ἑστιούχῳ*] I. q. *τῷ ἐφεστίῳ, τῷ ἑρκείῳ.* Solemne Jovis epithetum. Eust: *ἐν τῇ κατ' οἶκον ἑστίᾳ Διὶ ἐγίνοντο θυσίαι, ὃν οἱ μὲν ἄλλοι ἐφέστιον, Ἡρόδοτος δὲ Ἰωνικῶς λέγει ἐπίστιον, τὸν αὐτὸν ὄντα τῷ ἑστιούχῳ.* Id: *τόπος ἦν ἐν τοῖς οἴκοις ὅπου τῇ Ἑστίᾳ ἔθυον, καὶ αὐτὸς ἱερὸς ἑστιούχῳ Διί.* Id: *ἑστία ἐσχάρα οἴκου, καθ' "ἣν ἔθυον ὁσημέραι Διί τε ἑστιούχῳ καὶ θεᾷ τινι, ἣν ἐκάλουν Ἑστίαν.* Statt des Zeus wird der Milan König des Heerdes, weil er als die rapacissima et famelica semper ales (Plin. N. H. 10, 10, 12) sich sein Fleisch sehr häufig aus den Häusern, ja selbst aus den Händen des Menschen holt. Paus. 5, 14, 1. *οἱ γὰρ ἰκτῖνες πεφυκότες ἁρπάζειν μάλιστα ὀρνίθων ἀδικοῦσιν οὐδὲν ἐν Ὀλυμπίᾳ τοὺς θύοντας.*" (Ko.) Formatum ut *πολιοῦχος.* Rapacitas ejus hic notatur. Cf. 892.

868. *Σουνιέρακε*] Compositum ex *Σούνιον*, quod est promontorium Atticae, et *ἱέραξ*, accipiter. Alludit autem ad *Σουνιάρατε*, quod est epitheton Neptuni. In Eq. 556. *ὦ δελφίνων μεδέων Σουνιάρατε*, quem locum citavit scholiastes. *Πελαργικέ. πελαργὸς* ciconia, *πέλαγος* mare. Ex his permistis facit avibus Neptunum deum maris. BE. Schol: *Πελαργικὲ δὲ ἀντὶ τοῦ Πελασγικέ· ἅμα δὲ ἴσως παρὰ τὸν πελαργόν, καὶ ὅτι ὁ Ποσειδῶν [τοῦ] πελάγους ἔφορος.* "Parodia est versus, *ὦ Σουνιάρατε χαῖρ' ἄναξ Πελασγικέ*" (Bentl.) De Neptuni templo vel potius ara in templo Minervae sita dixit Leake in Comm. de Demis Atticis. Pelasgicum cognominatum fuisse Neptunum in Sunio situm, quum praesertim Pelasgos ibi sedem antiquitus habuisse constet, suspicatur Wieseler Adv. p. 110. Hinc Fritzschius (Qu. Arist. p. 41) colligit a Pelargis Tyrrhenis eximie coli esse solitum Neptunum, allato etiam Dion. Hal. I. 17. *ἡγοῦντο δὲ τῆς ἀποικίας* (ubi de Pelasgis Tyrrhenis disputat) *Ἀχαιὸς καὶ Φθίος καὶ Πελασγός, οἱ Λαρίσσης καὶ Ποσειδῶνος υἱοί.*

Schol. (ὦ σουνιέρακε: Ἐπεὶ περὶ ὀρνίθων ὁ λόγος, ἀντὶ τοῦ Σουνιάρατε. φαίνεται δὲ εἶναι Ποσειδῶνος τὸ ἐπίθετον. καὶ ἐν Ἱππεῦσι [560] "*ὦ δελφίνων μεδέων Σουνιάρατε.*" *παρὰ τὸ ἐν τῷ Σουνίῳ ἄκρῳ τῆς*

Ἀττικῆς τὰς εὐχὰς καὶ τὰς ἀρὰς δέχεσθαι.) [[*Πελαργικὲ δὲ ἀντὶ τοῦ Πελασγικέ. ἅμα δὲ ἴσως καὶ παρὰ τὸν πελαργὸν, καὶ ὅτι ὁ Ποσειδῶν πελάγους ἔφορος.*]]

869. *Πελαργικέ*] Cf. ad 832.

870. 875. 881. Repetendum *εὔχεσθε* ex v. 865.

870. Cf. Dem. p. 531. *περὶ τύχας ἀγαθᾶς* (*θύειν καὶ εὔχεσθαι*) *Ἀπόλλωνι ἀγυιεῖ, Λατοῖ, Ἀρτέμιδι.* Aesch. in Ctes. 108, 4. *ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ Ἀρτέμιδι καὶ Λητοῖ καὶ Ἀθηνᾷ Προνοίᾳ* —. et 110, 5.

κύκνῳ Πυθίῳ καὶ Δηλίῳ] Epitheta Apollinis tribuit cygno, qui est Apollini sacer. BE.

Λητοῖ Ὀρτυγομήτρᾳ] Latona in Ortygia, quae *ἀπὸ τῶν ὀρτύγων*, a coturnicibus, dicta est, peperit Apollinem et Dianam. BE. Pro *Ὀρτυγίᾳ*. Vide ad Callim. H. in Ap. 58. Soph. Tr. 214. *Ἄρτεμιν Ὀρτυγίαν*. Est autem avis *ὀρτυγομήτρα* dicta. "Arist. H. A. VIII. 14. 6. *ἡ δὲ ὀρτυγομήτρα παραπλήσιος τὴν μορφὴν τοῖς λιμναίοις ἐστί.* Athen. IX. 392 F. *ἡ δὲ ὀρτυγομήτρα ἐστὶ τὸ μέγεθος ἡλίκη τρυγὼν, σκέλη δὲ μακρὰ, δισθαλὴς καὶ δειλή.* Plin. N. H. X. 23. 33. aquilone maxime volant (coturnices) ortygometra duce." (Ko.) Cratin. ap. Athen. 392 F. *Ἰθακησία ὀρτυγομήτρα.* Hesychius *ὄρτυξ ὑπερμεγέθης* explicat. Phot. p. 350, 22. *ὀρτυγομήτρα. ὄρτυξ μέγας.* Similis formae est v. *δικομήτρα* (quasi *δικῶν μήτηρ*). Phryn. Bekk. p. 35, 4.

873. *Κολαινίς*] Hoc cognomine Diana apud Myrrhinusios colebatur, ut Diana *Μουνυχία* ap. Piraeenses, et Diana *Βραυρωνία* apud Philaïdenses. V. schol. Metagenes ap. schol. *ἱεροὺς γὰρ ὧν τετύχηκα τῆς Κολαινίδος.* Rex Atticae ante Cecropem traditur fuisse Colaenus. V. Paus. I. 31. Est autem *Κολαινὶς* hodie *Καλάνδρα*, ut opinatur Wordsworth Athens etc. p. 233. Ludit comicus in paronomasia *Κόλαινὶς* et *Ἀκαλανθίς.* Est autem *ἀκαλανθὶς* carduelis. Cf. v. *ἀκανθυλλίς* (al. -*θυλίς*) Arist. H. A. 8, 3, 9. et 9, 13, 5.

Schol. *οὐκέτι Κολαινίς*: (*Παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις "τίς ἡ Κολαινὶς Ἄρτεμις; ἱερεὺς γὰρ ὧν τετύχηκα τῆς Κολαινίδος." φησὶ δὲ Ἑλλάνικος Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείου ἱερὸν ἱδρύσασθαι Κολαινίδος Ἀρτέμιδος, καὶ Φανόδημος ἐν τῇ δ', Εὐφρόνιος δέ φησιν ὅτι ἐν Ἀμαρύνθῳ ἡ Κολαινὶς, διὰ τὸ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκεῖ κριὸν κόλον. ἐπὶ ταύτης δὲ Καλλίμαχος* [Fr. 76] *λέγει, "τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἵσατο, | τῇ καὶ λίπουρα καὶ μόνωπα θύεται." τοῦτο δὲ μήποτε ἐσχεδίασται. οἱ γὰρ Μυρρινούσιοι Κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν, ὥσπερ Πειραιεῖς τὴν Μουνυχίαν, Φιλαΐδαι δὲ τὴν Βραυρωνίαν. — Ἄλλως.*) *ἔπαιξε πάλιν. κόλαινον γὰρ εἶδος ὀρνέου, διό φησιν Ἄρτεμιν ὀρνιθείαν καλεῖσθαι. ἔστι γὰρ καὶ Ἄρτεμις Κολαινίς.* R. V.

Ἀκαλανθὶς Ἄρτεμις: *Ἡ κύων, παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους. ὅθεν κώδωνα προσαγορεύει αὐτὴν Ἀριστοφάνης*

ἐν Εἰρήνῃ [1078], ὅτι ἐπειγομένη τυφλὰ τίκτει. ἔστι δὲ καὶ εἶδος ὀρνέου ἀκαλανθίς.

874. φρυγίλῳ Σαβαζίῳ] Quasi Φρυγί. Cf. 762. εἰ δὲ τυγχάνει τις ὢν Φρύξ, φρυγίλος ὄρνις ἐνθάδ' ἔσται. Noster ap. schol: τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον. Est autem Σαβάζιος barbarorum deus. V. ad Vesp. 9. Cic. Legg. II. 15. "Novos vero deos et in his colendis nocturnas pervigilationes sic Aristophanes, facetissimus poeta veteris comoediae, vexat ut apud eum Sabazius et quidam alii dii peregrini judicati ex civitate ejiciantur". (Sc. in Ὥραις fabula.)

Schol. [[καὶ φρυγίλῳ: Ἡ τρίτη περίοδος κώλων καὶ στίχων ἐστὶν ἑπτά. ὧν τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' δακτυλικὸν πενθημιμερές. τὸ γ' ἐφθημιμερές. τὸ δ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ε' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον, ἔχον τὸν β' πόδα τρίβραχυν, εἰ δὲ βούλει, Ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον καταληκτικὸν ἐκ παίωνος. τὸ ϛ' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' ἰαμβικὸν ἐφθημιμερές. ἐν ἐκθέσει ἴαμβος τρίμετρος ἀκατάληκτος. ὑφ' ὃν παράγραφος.]]

καὶ φρυγίλῳ Σαβαζίῳ: (Παίζει πρὸς τὸ ὄνομα, ἐπεὶ οἱ Φρύγες τὸν Σαβάζιον τιμῶσι. τίς δέ ἐστιν οὗτος ὁ θεὸς ὁ Ἡρακλεώτης περὶ Ἡρακλείας ἐν τῷ β' φησὶν οὕτως "φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλλογιζόμενοι πολλαχόθεν ὅτι Διόνυσος καὶ Σαβάζιος εἷς ἐστι θεός, τυχεῖν δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγουσιν." Ἄλλως.) παίζει πρὸς τὰ ὄνομα, ἐπεὶ Φρύγες τὸ εὐάζειν σαβάζειν φασὶ καὶ ἐκ τούτου Σαβάζιον τὸν Διόνυσον λέγουσι. σάβους δὲ ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους καὶ τοὺς βάκχους τοῦ θεοῦ. ὁ αὐτὸς δὲ Ὕας καὶ Εὔαιος καλεῖται. (ἔστι δὲ καὶ εἶδος ὀρνέου, ὃ καλεῖται φρυγίλος. παρὰ τοῦτο οὖν ἔπαιζε τὸν Διόνυσον ὀρνίθειον φάσκων τιμᾶσθαι. Ἄλλως. ἐπεὶ Φρυγῶν ὁ θεός. καὶ ἐν Ὥραις, "τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον".)

875. στρούθῳ] Intelligit struthiocamelum, quae est avis maxima. BE. Cf. ad Ach. 1105. τὸ τῆς στρούθου πτερόν.

μεγάλῃ μητρὶ θεῶν —] I. e. Cybelae sive Rheae. Cf. Eur. Bacch. 78. τά τε ματρὸς μεγάλας ὄργια Κυβέλας. Pind. Fr. 71. ὦ Πάν, Ἀρκαδίας μεδέων, Ματρὸς μεγάλας ὀπαδέ. Lyricus incert. Bergk. 118. ἴθι, μᾶτερ μεγάλη. Plut. Mar. 17. ὁ τῆς μεγάλης μητρὸς ἱερεύς. Dem. p. 1460. ἐθύσαμεν δὲ καὶ τῇ Πειθοῖ καὶ τῇ Μητρὶ τῶν θεῶν καὶ τῷ Ἀπόλλωνι. Est autem ita collocatum epithetum μεγάλῃ ut etiam ad στρούθῳ referri queat. Cf. Lucian. de Dips. 2. στρουθῶν τῶν μεγάλων χαμαιπετῶν.

(Schol.) καὶ στρουθῷ μεγάλῃ: Ὅτι καὶ ἐπὶ τῆς στρουθοκαμήλου τὸ μεγάλη προσετίθεσαν. ἔπαιζε δὲ διὰ τὸ μέγεθος [τῇ Ῥέᾳ ταύτην προσεικάσας.]

877. μῆτερ Κλ.] Cleocritus ut vasti et proceri corporis memoratur etiam Ran. 1437. Non inepte igitur mater ejus esse fingitur m a g n a d e a.

Schol. Κυβέλη: Κυβέλην φασὶ τὴν Ῥέαν, παρὰ τὰ Κύβελα ὄρη. ὀρεία γὰρ ἡ θεός. διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. τὸ δὲ μῆτερ Κλεοκρίτου

παρ' ὑπόνοιαν ἐπήγαγεν, βουλόμενος αὐτὸν διαβάλλειν ὡς στρουθόποδα, τουτέστι μεγαλόπουν. ἐκωμῳδεῖτο δὲ ὡς ξένος καὶ δυσγενής. Σύμμαχος προείρηκεν ὅτι ξένος καὶ τάχα ὑποκριτής. νῦν δὲ ἐμφαίνεται ὅτι καὶ τὴν ὄψιν στρουθώδης. ὁ δὲ Δίδυμος μητέρα Κλεοκρίτου, ὅτι ὡς (γυναικίας καὶ) κίναιδος κωμῳδεῖται. ἐν δὲ τοῖς μυστηρίοις τῆς Ῥέας μαλακοὶ πάρεισι. καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ' Εὐπόλιδος ἐν Δήμοις καὶ Κόλαξι. (*στρουθὲ μῆτερ: Ἡρωδιανὸς ἐν τῷ* [Il. A. 186] "*βάσκ' ἴθι, Ἶρι ταχεῖα τὸν Ἕκτορι μῦθον ἔνισπε*" *ἐπιμερισμῷ φησι τὸν Χάρητα λέγειν βαρύτειν Ἀττικοὺς τὸ στροῦθος, ὁμοίως καὶ ἐν τῷ ἑκκαιδεκάτῳ τῆς καθόλου λέγων καὶ Τρύφωνα μεμνῆσθαι ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας.*

878. *διδόναι — ὑγίειαν καὶ σωτηρίαν*] Haec fuit formula precum. Menander ap. Athen. XIV. p. 659. in loco simili: *διδόναι σωτηρίαν, | ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν | ἀγαθῶν ὄνησιν πᾶσι· ταῦτ' εὐχόμεθα.* BE.

Νεφελοκοκκυγιεῦσιν] Anglice dicas Cuckoocloudlanders.

879. *αὐτοῖσι καὶ Χίοισι*] Theopompus historicus ap. schol: *τὰς εὐχὰς καὶ περὶ ἐκείνων καὶ περὶ σφῶν αὐτῶν ἐποιοῦντο, καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ σφίσιν αὐτοῖς.* BE. Chii scilicet primis belli Pelop. annis cum Atheniensibus faciebant (Thuc. IV. 51), omninoque illis multum profuerant in variis bellis. Diod. Sic. XII. 27. Eupolis ap. schol: *αὕτη Χίος, καλὴ πόλις. | πέμπει γὰρ ὑμῖν ναῦς μακρὰς ἄνδρας θ', ὅταν δεήσῃ, | καὶ τἄλλα πειθαρχεῖ καλῶς ἄπληκτος ὥσπερ ἵππος.*

880. *πανταχοῦ προσχ.*] Nunquam non adjunctis, sc. Atheniensium mentioni in precibus. Tacite subindicat his verbis Peisetaerus fidem nimiam Chiis non habendum esse. Suspectam semper eorum fidem habebant Athenienses (Thucyd. IV. 51), nec immerito, nam post cladem Siciliensem ad defectionem statim inclinarunt (Thucyd. VIII. 5).

Schol. Χίοισιν ἥσθην: Καὶ τοῦτο ἀφ' ἱστορίας ἔλαβεν. ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις, ἐπειδὴ ἔπεμπον οἱ Χῖοι συμμάχους εἰς Ἀθήνας, ὅτε χρεία πολέμου προσῆν. (*καθάπερ Θεόπομπος ἐν τῷ ιβ' τῶν Φιλιππικῶν φησιν οὕτως "οἱ δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον, ὥστε τὰς εὐχὰς κοινὰς καὶ περὶ ἐκείνων καὶ σφῶν αὐτῶν ἐποιοῦντο, καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ὁμοίως ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ σφίσιν αὐτοῖς." λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν Πόλεσιν αὕτη Χίος, καλὴ πόλις. | πέμπει γὰρ ὑμῖν ναῦς μακρὰς ἄνδρας θ', ὅταν δεήσῃ, | καὶ τἄλλα πειθαρχεῖ καλῶς ἄπληκτος ὥσπερ ἵππος." τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν ἐν τῇ μεγάλῃ τέχνῃ. ὁ δὲ Ὑπερίδης ἐν τῷ Δηλιακῷ καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις δεδήλωκεν.*)

882. *Schol.* [[*καὶ ἥρωσι καὶ ὄρνισιν: Ἡ τετάρτη περίοδος κώλων καὶ στίχων ὀκτώ. ὁ α' ἀντισπαστικὸς τετράμετρος βραχυκατάληκτος. ὁ β' Ἰωνικὸς ἀπὸ μείζονος τρίμετρος καταληκτικός. τὸ γ' ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος. τὸ δ' ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε' χοριαμβικὸν δίμετρον καταληκτικόν, εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον. τὸ ς'*

ὅμοιον δακτυλικὸν ἑφθημιμερές. τὸ ζ' χοριαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ὄγδοον ἰαμβικὸν πενθημιμερές. ὑφ' ὃ παράγραφος.]]

883. πελεκᾶντι] Cf. 1155. Picum intelligit Schneider.

πελεκίνῳ] Avis ignota.

Schol. καὶ πελεκᾶντι: Μήποτε πελέκας προενεκτέον ὡς ἀλίβας. ὁ δὲ πελεκῖνος τῷ πελεκᾶντι προσέρριπται. πελεκὰν μέντοι πελεκάνος (πελεκᾶνος?) κοινῶς, πελεκὰς πελεκᾶντος Ἀττικῶς. πελεκᾶς πελεκᾶ Δωρικῶς.

884] φλέξιδι] Ignota avis et haec. Utramque vocem corruptam esse suspicor.

Schol. καὶ φλέξιδι: Ἐπισκεπτέον περὶ τούτων ἐκ τῆς τῶν ζῴων ἱστορίας, τίς ὁ τέτραξ καὶ φλέξις καὶ ἐλασᾶς. ἡ γὰρ βάσκα καὶ καταρράκται εἰσὶ παρὰ Καλλιμάχῳ ἀναγεγραμμέναι. (καὶ ἀντὶ ἐδωλίου [ἐρωδιοῦ Bentl. ad Callim. Fr. p. 469.] εἰδώλιος.) ὁ δὲ (οὔτε δὲ Mein. prob. Dind.) αἰγίθαλλος, οὔτ' ἐρισάλπιγξ (ἠρισάλπιγξ ap. Hesych.). ἔστι δὲ ὑπὸ τὸν ἱέρακα. οὕτως δὲ ὠνομάσθη, ὥς τινες, παρὰ τὸ ἐξ αἰγὸς τεθηλακέναι.

885. τέτρακι] Fort. tetraoni minori. V. Athen. IX. 398 D. τέτραξ τὸ μέγεθος ἴσος σπερμολόγῳ, τὸ χρῶμα κεραμεοῦς, ῥυπαραῖς στιγμαῖς καὶ μεγάλαις γραμμαῖς ποικίλος, καρποφάγος. ὅταν ᾠοτοκῇ δέ, τετράζει τῇ φωνῇ 398 F. Nemesian. I. 128. 'tetracem, Romae quem nunc vocitare taracem | coeperunt. avium est multo stultissima: namque, | cum pedicas necti sibi contemplaverit adstans, | inmemor ipse sui tamen in dispendia currit | .. hic radicibus Apennini | nidificat, patulis qua se sol obicit agris: | persimilis cineri dorsum, maculosaque terga | inficiunt pullae cacabantis (i. e. perdicis) imagine guttae.'

ταῶνι] Cf. ταῶσι Ach. 63.

ἐλεᾷ] V. ad 302. Avis palustris nomen, fortasse the teal.

βασκᾷ] Proprie, the strutter. Legendum forsan βοσκᾷ, the feeder. Athen. IX. 395 D. τῶν δὲ βοσκάδων ὁ μὲν ἄρρην κατάγραφος. ἐστὶ δὲ ἧττον νήττης. ἔχουσι δὲ οἱ ἄρρενες σιμά τε καὶ ἐλάττονα τῇ συμμετρίᾳ τὰ ῥύγχη. ἔστι δὲ καὶ ἄλλο γένος βοσκάδων, μεῖζον μὲν νήττης, ἔλαττον δὲ χηναλώπεκος.

886. ἐλασᾷ] The driver, rumor. Ignota avis. Similis formae sunt nomina τρεσᾶς, χεσᾶς (com. ap. Poll. V. 91), etc.

887. καταρράκτῃ] Arist. H. A. 9, 13, 1. ὁ δὲ καταρράκτης ζῇ μὲν περὶ θάλατταν, ὅταν δὲ καθῇ ἑαυτὸν εἰς τὸ βαθὺ, μένει χρόνον οὐκ ἐλάττονα ἢ ὅσον (add. ἂν) πλέθρον διέλθοι τις· ἔστι δ' ἔλαττον ἱέρακος τὸ ὄρνεον. 9, 12, 3. 2, 17, 31. Hesychius, Καταρράκτης: ὀχετὸς, ῥύαξ. καὶ ὁ ἀετός. Σοφοκλῆς Λαοκόωντι. καὶ τὰς Ἁρπυίας ἐν Φινεῖ. Itaque sic appellatus iste ales παρὰ τὸ καταρράσσειν (Anglice to pounce down); qua de causa Harpyiis hoc epithetum tribuisse videtur Sophocles. Compositum ex κατὰ et ῥάσσειν. Dem. p. 1259. ῥάξαντες εἰς τὸν βόρβορον. "Pelecanum bassanum intelligi demonstravit Oedmann." (Schneider) Mergula fortasse est.

μελαγκορύφῳ] Athen. II. 65 B. Ἀλέξανδρος ὁ Μύνδιος ἱστορεῖ δύο εἶναι γένη τοῦ αἰγιθαλοῦ, συκαλίδα καὶ μελαγκόρυφον. Arist. H. A. 9, 16, 1.

νεοττεύει δὲ ὁ μελαγκόρυφος ἐν τοῖς δένδρεσι καὶ βόσκεται τοὺς σκώληκας. 9, 36, 3. *καὶ αἱ συκαλίδες καὶ οἱ μελαγκόρυφοι μεταβάλλουσιν εἰς ἀλλήλους.* (Ko.) Atriceps Scaligeri. Fort. ficedula.

888. *αἰγιθάλλῳ*] Fortasse the tit, titmouse. Arist. H. A. VIII. 5. 3. *τὰ δὲ σκωληκοφάγα, οἷον αἰγιθαλός. ἔστι δὲ τῶν αἰγιθαλῶν εἴδη τρία*, etc. IX. 15. 2. (Ubi *αἰγιθαλλὸν* et *μελαγκόρυφον* commemorat.) IX. 40. 37. Alcaeus Gramm. Bekker. Anecd. p. 360. *ἔοικεν αἰγίθαλλος διακωλύειν τὸ πρᾶγμα.* Simile nomen avis *αἰγιθήλας* (the goat-sucker) legitur Arist. H. A. IX. 30. 2.

ἠρισάλπιγγι] Anglice, the spring-trumpet or trumpeter. Avis non aliunde cognita.

889. *παῦ', ἐς κόρακας*] Plague on you, stop! Eadem verba Ach. 864.
Schol. [[*παῦ' ἐς κόρακας*: *Ἡ πέμπτη περίοδος ἐκ στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϛ'. ἐπὶ τῷ τέλει παράγραφος.*]]

890. *Schol.* [*ἐπὶ ποῖον*: *Τοῦτο εἰς διαβολὴν τοῦ χορηγοῦ, ὅτι μικρὸν δέδωκεν ἱερεῖον.*]

891. *ἁλιαέτους καὶ γῦπας*] Has aves ut prae caeteris voraces pro avibus generatim nominat.

ἁλιαέτους] Ossifragas. Cf. Arist. H. A. VIII. 3. 16. Plin. N. H. X 3. 3. haliaeetos clarissima oculorum acie, librans ex alto sese visoque in mari pisce praeceps in eum ruens et discussis pectore aquis rapiens. Eur. Fr. 637. *ὁρῶ γ' ἐπ' ἀκταῖς νομάδα κυματοφθόρον | ἁλιάετον.*
Schol. *ἁλιαιέτους*: *Εἶδος ἀετοῦ* [*ὁ ἁλιαίετος*] *ἐν θαλάσσῃ διαιτώμενος.*

892. *ἰκτῖνος — ἁρπάσας*] Cf. Pac. 1099. *φράζεο δὴ μὴ — ἰκτῖνος μάρψῃ* (sc. *τὰ σπλάγχνα*).

893. Cf. ad Soph. Aj. 1147. *οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα* etc. El. 622. Oed. C. 750. Ant. 573. Eur. Orest. 538. Iph. A. 393. Agathon. Fr. inc. 8. *ἀπολεῖς μ' ἐρωτῶν καὶ σὺ χὠ νέος τρόπος.* Supra 131. *ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία.*

τὰ στέμματα] Cf. Pac. 948. Herod. I. 132.
Schol. *ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα*: *Πρὸς τὸν ἱερέα λέγει, ὡς μικροῦ ὄντος τοῦ ἱερείου καὶ μὴ δυναμένου πρὸς τὴν θυσίαν αὐτουργῆσαι.*

894. *τουτογί*] Sc. *τὸ ἱερεῖον* aut *πρόβατον* (856). Quod si vera est altera scriptura *τουτονί*, subaudire licebit *τὸν τράγον* (959).

895. Sacerdos, victimam relinquere jussus a Peisetaero, quod tot aves ad victimam tam exiguam vocaret, iterum vult carmen accinere, polliceturque unam tantum se ex avibus diis vocaturum, sollicitus nimirum ne, cura sacrificii peragendi ab Peisetaero ipso suscepta, ipse nullam portionem habiturus sit.

Schol. [[*εἶτ' αὖθις αὖτ' ἄρα σοι*: *Ἡ ϛ' περίοδος ἐν ἐκθέσει κώλων ἐστὶν ὀκτώ. τὸ α' χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ β' τροχαϊκὸν ἑφθημιμερές. τὸ γ' δακτυλικὸν δίμετρον τοῦ β' ποδός προκελευσματικοῦ. τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον τῶν α' καὶ β' ποδῶν χορείων. τὸ ε' ὅμοιον ἐκ χορείων. τὸ ϛ' τροχαϊκὸν ἰθυφαλλικὸν τοῦ α' ποδὸς χορείου.*

ὁ ζ' ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ η' Ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ.]]

897. *χέρνιβι* — *ἐπιβοᾶν*] Ad gutturnium accinere.

898. *καλεῖν δὲ*] Sc. *μέμνησο*. Cf. Fr. 559. Pherecr. ap. Athen. VIII. 364 B. *ἡμῶν δ' ἤν τινά τις καλέσῃ θύων ἐπὶ δεῖπνον* etc. Nisi subaudiendum *δεῖ*, aut reponendum *καλεῖς*.

ἐπιβόα] Cf. Pher. com. II. 318. *ἔγχει κἀπιβόα τρίτον παιῶν'*.

Schol. *εἰ καὶ ἑνὶ μόνῳ ἀρκέσει τὸ θῦμα*. R.

899. *μάκαρας* Deos, i. e. Aves. Cf. 222. 702. 703. Nub. 853. *πρόσοδοι μακάρων*. Pac. 780. *θαλίας μακάρων*. 1106. *μακάρεσσι θεοῖσιν*. Eur. El 994. *σεβίζω σ' ἴσα καὶ μάκαρας*. Pind. Ol. I. 52. *γαστρίμαργον μακάρων τιν' εἰπεῖν*. Extemplo addit *ἕνα τινὰ μόνον*, unum aliquem tantum, ne in eundem errorem cadat ut supra. Vide ad 895.

ἕνα τινὰ μόνον] Unum aliquem tantum. Cf. Eq. 1301. *καὶ μίαν λέξαι τιν' αὐτῶν*, etc. et ad Ran. 911. Alex. com. III. 492. *κἀκεῖ γὰρ ἄν τίς τιν' ἐπὶ δεῖπνον ἕνα καλῇ*, | *πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι*. Lysias 31, 1. *οὐχ ἕν τι μόνον ἀλλὰ πολλὰ τολμηρός ἐστιν*. Supra 892, *ἰκτῖνος εἰς ἂν τοῦτό γ' οἴχοιθ' ἁρπάσας*.

εἴπερ ἱκανὸν ἕξετ' ὄψον] Si quidem satis obsonii habituri estis. Anglice, if indeed you are to have enough meat. Cf. ad Nub. 1035. *δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτὸν*, | *εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ* etc. 920. Vesp. 1263. Ran. 13.

Schol. *μάκαρας ἕνα τινά*: *Εἰπὼν πληθυντικῶς ἔλαβε τὸ ἑνικὸν λέγων ἕνα. εἰ καὶ ἑνὶ μόνῳ ἀρκέσει τὸ θῦμα*. R.

902. *γένειον* — *καὶ κέρατα*] Schol: *ὡσεὶ ἔλεγε, τρίχες καὶ κέρατα*. Choragum hic vellicat, qui victimam macram et exiguam suppeditaverit. Vide schol. ad 891.

Schol. *γένειόν ἐστι καὶ κέρατα*: *Ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκας τοῦτό φησιν. ἔστι δὲ παροιμιῶδες, ὡσεὶ ἔλεγε, τρίχες καὶ κέρατα*.

903. *Schol*. [[*θύοντες εὐξώμεσθα*: *Εἴσθεσις ἑτέρας περιόδου ἀμοιβαίας κώλων καὶ στίχων ιη'. ὧν οἱ α', ε', θ', ι' καὶ οἱ τελευταῖοι ἓξ ἴαμβοι. οὗτοι μὲν ἀκατάληκτοι τρίμετροι. ὁ δὲ δ' ἑφθημιμερής. ὁ δεύτερος χοριαμβικὸς τρίμετρος καταληκτικὸς, τὸν πρῶτον ἔχων πόδα πεντασύλλαβον. τὸ γ' τροχαϊκὸν πενθημιμερές. ὁ ϛ' Ἰωνικὸς τετράμετρος βραχυκατάληκτος. τὰ ζ', ια' δακτυλικὰ, τὸ μὲν πενθημιμερὲς, τὸ δὲ τρίμετρον καταληκτικὸν εἰς δισυλλαβίαν. τὰ η', ιβ' ἀναπαιστικὰ ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος*.]]

904 sq. "Parodia poematis lyrici, cujusnam nescimus. Similis parodia vv. 908. 921. 924. 936. 950." (Bakh.)

904. Intervenit poeta dithyrambicus, carmina quaedam oblaturus in laudem novae urbis, ut aliquid munusculi auferat. BE. "A miserable poet, having already heard of the new settlement, comes with some lyric poetry which he has composed on this great occasion. Pisthetaerus knows his errand from his looks, and makes them give him an old coat; but, not contented with that, he begs to have the waistcoat to it, in the elevated style of Pindar. They comply, and get rid of him." (Cook.)

904 sq. Cf. Lys. 1247. *ὅρμαον τὼς χυρσανίως, ὦ Μναμοῦνα, τὰν τεὰν μῶαν*, etc.

Schol. Νεφελοκοκκυγίαν τὴν εὐδαίμονα: *Ἔρχεταί τις ποιητὴς ὡς ἐπὶ νεοκτίστου πόλεως ἐγκώμια λέξων.*

906. *τεαῖς — ἀοιδαῖς*] Cf. Lys. 1247. *ὅρμαον — τὰν τεὰν μῶαν* etc.

908. *μελιγλώσσων —*] Cf. Hom. Il. *α'*. 249. *τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.* Bacchylid. ap. Stob. Tit. LV. p. 208. *τίκτει δέ τοι θνατοῖσιν εἰρήνη μεγάλα πλοῦτον καὶ μελιγλώσσων ἀοιδᾶν ἄνθεα.* Alcman. Fr. 13. *παρθενικαὶ μελιγάρυες ἱμερόφωνοι.* Aesch. Prom. 172. *καίτοι μ' οὐ μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσι θέλξει.* Theocr. IV. 12. *τὰν μελίγηρυν ὄπα.* Hor. Epist. 1. 19. 44. manare poetica mella. Cf. v. *μελίγηρυς, μελίφθογγος, μελίγδουπος.*

909. *Μουσάων θεράπων*] Schol: *ἐπειδὴ ὀτρηροὶ ἐπὶ τῶν θεραπόντων λέγεται. ἐπεπίστευτο δὲ καὶ ὁ Μαργίτης τοῦ Ὁμήρου εἶναι, ἐν ᾧ εἴρηται· "Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος."* Ad quem locum comicus respexit. BE. Hesiod. Theog. 99. *ἀοιδὸς | Μουσάων θεράπων.* Theogn. 769. *χρὴ Μουσέων θεράποντα καὶ ἄγγελον* etc. Eur. El. 717. *λωτὸς δὲ φθόγγον κελάδει | κάλλιστον, Μουσᾶν θεράπων.* Plat. Anthol. VII. 35. *Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.* Epigr. ap. Alcidam. p. 186. *Μουσάων πρόπολον τῇδ' Ὀρφέα Θρῇκες ἔθηκαν.* Horat. Od. III. 1. 3. Musarum sacerdos. Sic apud Homerum *θεράποντες Ἄρηος.* Apud Homerum saepius legitur *ὀτρηρὸς θεράπων*, nunquam tamen addito *Μουσάων.* Fortasse in Margite ea locutione usus erat.

910. et 914. *κατὰ τὸν Ὅμηρον*] Delenda haec tanquam glossema videntur. Schol. R: *περισσά τινες ταῦτα.* Sed cf. 919.

911. *ἔπειτα δῆτα —;*] Cf. Eur. Alc. 815. *τί φῄς; ἔπειτα δῆτά μ' ἐξενίζετε;* Hec. 623. *εἶτα δῆτ' ὀγκούμεθα;* BE. Nub. 1249. *ἔπειτ' ἀπαιτεῖς τἀργύριον τοιοῦτος ὤν;* Pl. 79. *εἶτ' ἐσίγας Πλοῦτος ὤν;*

κόμην ἔχεις] Liberorum tantum erat comam alere. Cf. ad Nub. 14. Arist. Rhet. I. 8. 3. "Lucian. Nav. 2. *ἡ κόμη δὲ καὶ ἐς τοὐπίσω ὁ πλόκαμος συνεσπειραμένος οὐκ ἐλεύθερον αὐτόν φησιν εἶναι.*" (Ko.)

Schol. δοῦλος ὢν κόμην ἔχεις: *Διὰ τὸ θεράπων δοῦλος εἶπεν. ἦν δὲ τῶν ἐλευθέρων τὸ κομᾶν.*

912. *οὐκ, ἀλλὰ —*] Non ita est (non *δοῦλοι* sumus), sed Musarum ministri etc. Cf. 105. et ad Pac. 850.

διδάσκαλοι] I. e. poetae. *Διδάσκαλος* non modo ille dicebatur qui chorum actoresque docebat et fabulam repraesentandam curabat, sed saepius poeta ipse, qui id munus plerumque suscipiebat: unde *διδάσκειν*, fabulam docere; et *τραγῳδοδιδάσκαλος*, *κωμῳδοδιδάσκαλος*, *κυκλιοδιδάσκαλος*, poeta tragicus, comicus, dithyrambicus.

913. *Schol. περισσὰ τινὲς ταῦτα.* R. (*θεράποντες ὀτρηροί*: *Ἐπειδὴ ὀτρηροὶ ἐπὶ τῶν θεραπόντων λέγεται. ἐπεπίστευτο δὲ καὶ ὁ Μαργίτης τοῦ Ὁμήρου εἶναι. ἐν ᾧ εἴρηται, "Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος."*)

915. *ὀτρηρόν*] Quasi *τετρημένον.*

Schol. οὐκ ἐνὸς ὀτρηρὸν: Παίζει παρὰ τὸ ὀτρηροὶ, ὅτι τετρημένον ἦν αὐτοῦ καὶ τὸ ἱμάτιον.

916. κατὰ τί] Qua de causa, quapropter? Cf. Nub. 239. ἦλθες δὲ κατὰ τί; Pac. 192. ἥκεις δὲ κατὰ τί; Eccl. 543. κατὰ τί —; Pac. 133. κατ' ἔχθραν.

ἀνεφθάρης] Cf. Pac. 72. ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι. Eccl. 248. προσφθαρείς. Nub. 789. οὐκ ἐς κόρακας ἀποφθερεῖ; Eq. 892. Dem. p. 560. ἀλλὰ δεινοί τινές εἰσιν — φθείρεσθαι πρὸς τοὺς πλουσίους. Eodem sensu ἀνέρρειν. Cf. ad Pac. 72.

917. πεποίηκ'] Scripsi, composui. Cf. 920. Ran. 1043. Th. 193.

τὰς Νεφελοκοκκυγίας] Cf. 963. 1023.

918. κύκλια] Cantanda a choris cycliis, παρθένεια a choris virginum. DIND. Κύκλια autem dicebantur carmina quae a choris in orbem saltantibus (κυκλίοις χοροῖς, Nub. 333. Ran. 366.) canebantur, hinc dithyrambica in honorem Bacchi cantata et omnino dithyrambi: in quo carminum genere quum excelluerit Simonides Ceus patet cur additum sit κατὰ τὰ Σιμωνίδου, facta ad exemplum carminum Simonidis.

Schol. κύκλιά τε πολλά: Τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. ἀντὶ τοῦ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη τὰ ἐκτεταμένα. ἔστι δὲ διηγηματικόν. (Ἄλλως. ἀντὶ τοῦ κατάτεχνα. ποικίλα οἷον ὕμνους, παιᾶνας, προσόδια, καὶ τὰ λοιπὰ τούτοις παραπλήσια. προπερισπωμένως δὲ τὸ ὄνομα τὰ παρθενεῖα. ἔστι δὲ τὰ εἰς παρθένους ᾀδόμενα.)

919. παρθένεια] I. e. cantica abs choris virginum cantata. Cf. Eur. Hel. 1312. κυκλίων χορῶν — παρθενίων. Hipp. 1302. παρθένειος ἡδονή. "Plut. Mor. 1136 F. ἐπεὶ, ὡς προείπομεν, πολὺ τὸ σεμνόν ἐστιν ἐν τῇ Δωριστὶ (ad Eq. 989), πολλὰ Δώρια παρθένεια Ἀλκμᾶνι καὶ Πινδάρῳ καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ πεποίηται." (Ko.) Eur. Tro. 671. παρθένειον — λέχος. Alc. 177. παρθένεια — χορεύματα.

Σιμωνίδου] Poetae celeberrimi Cei.

κατὰ τὰ Σιμωνίδου] Anglice, after (in the style of) those of Simonides. Cf. Vesp. 531. μὴ κατὰ τὸν νεανίαν τόνδε λέγειν.

920. *Schol.* [[ταυτὶ σύ: Ἐντεῦθεν διαιρεῖται τὰ πρόσωπα εἰς συστηματικὰς περιόδους ἀμοιβαίας η'. καὶ ἔστιν ἡ πρώτη περίοδος στίχων ἰαμβικῶν τριμέτρων δ'. ἡ β' στίχων καὶ κώλων ζ'. ὧν ὁ πρῶτος χοριαμβικὸς τρίμετρος καταληκτικός. τὸ β' ὅμοιον δίμετρον ἀκατάληκτον, τὸν δεύτερον ἔχων πόδα πεντασύλλαβον. τὸ τρίτον περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ δ' ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς καὶ ἰαμβικῆς βάσεως. τὸ ε' τροχαϊκὴ βάσις ἐκ χορείων. τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, εἰ δὲ βούλει, Ἰωνικὸν ἐφθημιμερές. τὸ ζ' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἐφ' ὃ παράγραφος.]]

921. Cf. Soph. Phil. 806. ἀλγῶ πάλαι δή. Oed. C. 1627. Aesch. Prom. 977.

τήνδ' — πόλιν] Articulus omissus ut in loco tragoediam spirante. Cf. ad Eq. 568.

922. τὴν δεκάτην] Sc. σελήνην. Cf. 494. Eubul. com. III. 203. νῦν οὖν ὅπως τὴν νύχθ' ὅλην | ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε. Dem. p. 1016. φησὶ

τὸν πατέρα μου δεκάτην ὑπὲρ αὐτοῦ ἑστιᾶσαι. p. 1026. *μαρτυρεῖ μὲν δεκάτην ἑστιᾶσαι τούτου τὸν ἐμὸν πατέρα.* Eur. El. 1124. *ἤκουσας, οἶμαι, τῶν ἐμῶν λοχευμάτων. | τούτων ὑπέρ μου θῦσον, οὐ γὰρ οἶδ' ἐγώ, | δεκάτῃ σελήνῃ παιδός, ὡς νομίζεται.* Hoc festo, quod die decimo post natalem habebatur, agnoscebatur infantis *γνησιότης*. V. Isaeum de Pyrrhi Haer. 60. Dem. 1001. Plat. Legg. VI. 784. Eodem die nomen infanti imponebatur. V. Suid. h. v. Quanquam septimo etiam die id fiebat secundum Arist. H. A. VIII. 11. Cf. schol. Plat. Theaet. 160. Ceterum *θύειν τὴν δεκάτην* dictum ut *θύειν εὐαγγέλια* Eq. 653. *ἀναγώγια* Aelian. V. H. I. 15. *ἐλευθέρια*, et similia. Cf. Bekk. Anecd. 237, 26. *δεκάτην ἑστιᾶσαι: δεκάτην τὸ τῇ δεκάτῃ ἡμέρᾳ τῆς γεννήσεως τοῦ παιδὸς συγκαλεῖν τοὺς συγγενεῖς καὶ τοὺς φίλους καὶ τιθέναι ὄνομα τῷ παιδὶ καὶ εὐωχεῖν τοὺς συνεληλυθότας.*

Schol. *οὐκ ἄρτι θύω: Πρὸς τὸ ἔθος. εἴρηται δὲ πρότερον ὅτι ἐπὶ ἐνεστῶτος. σαφὲς δὲ ὅτι τὰ ὀνόματα τῶν παίδων ἐτίθεσαν τῇ δεκάτῃ.*

923. *τοὔνομ — 'θέμην*] Cf. ad 809. 817. Dem. p. 1000. *ἀλλὰ καὶ τὴν δεκάτην ὁ πατήρ ἐμοὶ ποιῶν (ἐμοῦ θύων?) τοὔνομα τοῦτο ἔθετο.* p. 1001. p. 8.

νῦν δή] Anglice, just now.

924. *ἀλλά τις ὠκεῖα —*] Cf. Pl. 726. 1003. Th. 639. Soph. Aj. 1266. *ὡς ταχεῖά τις* etc. Diphil. Athen. p. 35 C. *ὡς ἡδύς τις εἶ.* Aesch. Prom. 696. *φόβου πλέα τις εἶ.* Usitatius foret *ἀλλ' ὠκεῖά τις.* Sic Soph. Phil. 519. *ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς.*

ὠκεῖα Μουσάων φάτις] Cf. Soph. Ajac. 998. *ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινος | διῆλθ' Ἀχαιοὺς πάντας.* Pac. 115.

Schol. *ἀλλά τις ὠκεῖα Μουσάων: Ἡ τῶν Μουσῶν φάτις ταχεῖά ἐστιν ὡς ἵππος ὠκεῖα. ἤτοι δὲ καθολικῶς λέγει, ἐπεὶ πτερόεντα τὰ ἔπη καὶ ταχέως διαγγέλλοντα τὰ πράγματα, ἢ πρὸς ἑαυτὸν ταχέως γράφοντα τὰ ποιήματα.*

925. *ἀμαρυγά*] Producta penultima, ut in Hom. H. III. 45. *αἵ δέ τε δινηθῶσιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαί.* Apoll. Rhod. II. 42. *οὔπερ (ἀστέρος) κάλλισται ἔασιν | ἑσπερίην διὰ νύκτα φαεινομένου ἀμαρυγαί.* IV. 1696. *οὐδ' ἀμαρυγαὶ | μηνῆς.* III. 1017. *τῆς δ' ἀμαρυγὰς | ὀφθαλμῶν ἥρπαζεν.* III. 287. *ἀντία δ' αἰεὶ | βάλλεν ἐπ' Αἰσονίδην ἀμαρύγματα.* IV. 847. *ὠκυτέρη ἀμαρύγματος ἠὲ βολάων | ἠελίου.* IV. 1146. *τοῖον ἀπὸ χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος.* 178. Hom. Od. θ'. 265. *μαρμαρυγὰς θηεῖτο ποδῶν.* Theocr. XXIII. 7. *ἀμάρυγμα χείλεος* (tremor labii). Hes. Theog. 827. *ὑπ' ὀφρύσι πῦρ ἀμαρύσσει ἐξ ὄσσων.* Fr. 35. *Χαρίτων ἀμαρύγματ' ἔχουσαι.* Hom. H. Merc. 278. *πύκν' ἀμαρύσσων.* Cf. v. *ἀμαρυγή* et Latinum micare.

926. *σὺ δέ, πάτερ —*] Ita compellat conditorem urbis hujus aëriae, ut Pindarus Hieronem Syracusanum Aetnae urbis conditorem. BE. Imitatur Pindari verba ex hyporchemate in Hieronem, Aetnae conditorem, *Σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ὁμώνυμε πάτερ κτίστορ Αἴτνας.* De quo vid. Boeckh. Fr. 71. p. 597. DIND. Ad Pindari verba respicit etiam Plato Phaedr. 236 D. Menon. 76 D. Cf. schol. Pind. Pyth. II. 127. et Nem. VII. 1. "The poet calls Hiero *ζαθέων ἱερῶν ὁμώνυμος* by a playful allu-

sion to the connexion of his family with the worship of the Triopian deities. See New Crat. p. 557—558." (Donaldson ad l.)

κτίστορ Αἴτνας] Cf. Eur. Ion. 74. *κτίστορ' Ἀσιάδος χθονός.*

Schol. σὺ δ' ὦ πάτερ κτίστορ: Ἐκ τῶν Πινδάρου ὑπορχημάτων [fr. 71] "*ξύνες ὅ τι λέγω ζαθέων ἱερῶν ἐπώνυμε πάτερ κίστορ Αἴτνας.*" *ἐπειδὴ ὁ Ἱέρων ἔκτισεν αὐτήν.*

927. *ζαθέων ἱερῶν*] Divinorum sacrorum. *Ὁμώνυμα* autem sunt *ἱερῶν* et *Ἱέρων*.

929. *τεᾷ κεφαλᾷ*] I. e. nutu tui capitis, ut explicat scholiasta. Cf. Pind. Ol. VI. 60. *αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ.*

Schol. παίζει πρὸς τὸ Πινδαρικόν. τῇ γὰρ κεφαλῇ ἐπινεύουσιν οἱ βασιλεῖς. R. V.

930. *πρόφρων*] Cf. Ariphron. Athen. 702 A. *σὺ δέ μοι πρόφρων σύνοικος εἴης.*

δόμεν] I. q. *ἐπινεῦσαι.*

ἐμὶν τεῒν] Sententiae inutilia ista pronomina addit comicus ad derisionem dithyrambicorum, qui Pindarum aemulantes hos Dorismos identidem ingerebant. BR. Dorice pro *ἐμοὶ σοί.* Apud Pindarum *τὸ ἐμὶν* frequens est in petitionibus, ut monet scholiasta. Ridicule hic igitur *τεῒν* post *ἐμὶν* infert dithyrambicus, quasi poetam donando aliquo munere sibimet ipsi benefacturus sit Peisetaerus, propter eximia carmina, quibus eum celebrans poeta gratiam relaturus sit. Sed delendum suspicor *τεῒν*. "Rectissime scholiasta ista *ἐμὶν τεῒν* poetam dithyrambicorum sugillandorum causa dixisse statuit, his Doricis formis ad taedium usque utentium." (Mein.) "*Τεῒν* saepius Doricum dicitur, sed nunquam legitur in purioribus Doridis fontibus, ne apud Pindarum quidem aut Theocritum: quare grammatici Homericum *τεῒν* Doricae terminationis caussa Doricum existimasse videntur." (Ahrens.)

Schol. ἐμὶν τεῒν: Χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις Δωρισμόν, καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν.

931. *Schol.* [[*τουτὶ παρέξει: Ἡ τρίτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων πέντε. ἐπὶ τῷ τέλει παράγραφος.*]]

932. *ἀποφευξούμεθα*] Cf. Ach. 1129. *φευξούμενον.* Pl. 447. *φευξούμεθα.* De re cf. 954. infra.

933. *οὗτος*] Sacerdotem compellat, ut infra v. 947. DIND.

σπολάδα] Schol: *Σπολάς, διφθέρα ὁποιαοῦν.* Sophocles ibid.: *καταστίκτου κυνὸς | σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος.*

Schol. σὺ μέντοι σπολάδα: Πρὸς τὴν σπολάδα, ὅτι διφθέρα ὁποιαοῦν. Σοφοκλῆς Αἴαντι Λοκρῷ "καταστίκτου κυνὸς | σπολὰς Λίβυσσα παρδαληφόρον δέρος." Καλλίστρατος δέ, οἷον ἔφαπτον δερμάτινον. Εὐφρόνιος δέ, χιτῶνα δερμάτινον. παρήχθη δὲ ἴσως ἐκ τοῦ ἐπιφέρεσθαι, (οὐκ ἐξὸν ἐπιζῶσθαι διφθέραν. τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντήνορος οἰκίᾳ.

934. *ἀπόδυθι*] Cf. 839. 947.

935. *πάντως δὲ —*] Cf. Vesp. 770. Th. 851. 984. 1012. Lys. 495.

ῥιγῶν] Infinitivi haec forma Dorica apud Atticos praevaluit. Cf. Vesp. 446. ibique schol. et ad Nub. 443. Ach. 1146. Ceterum confer Hipponact. 17. δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ | καὶ βαμβακύζω. 19. Ad quem locum respicere videtur Comicus.

Schol. πάντως δέ μοι ῥιγῶν: Ὡς μὴ ἀρχουμένου αὐτοῦ μόνη τῇ σπολάδι ὁ Πεισθέταιρός φησι, μετὰ τὸ ἀποδύσασθαι τὸν ἱερέα. τὸ δὲ ῥιγῶν Δωρικόν ἐστι κατὰ τροπὴν τοῦ ο εἰς ω, ῥιγοῦν ῥιγῶν.

936. *Schol.* [[τόδε μὲν οὐκ ἀέκουσα: Ἡ δ' περίοδος κώλων ἐστὶ παιωνικῶν μεμιγμένων κρητικοῖς καὶ παλιμβακχείοις τεσσάρων. ὧν τὸ α' τρίμετρον καταληκτικόν. τὸ β' τρίμετρον βραχυκατάληκτον, τοῦ β' ποδὸς παλιμβάκχου. τὸ τρίτον δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δ' ἡ ε' περίοδος κώλων ἀναπαιστικῶν πέντε. ὧν τὸ πρῶτον δίμετρον καταληκτικὸν, τοῦ πρώτου ποδὸς πεντασυλλάβου. τὸ β' πενθημιμερὲς, ὃ καλεῖται δοχμαϊκόν. τὸ τρίτον Ἰωνικὸν τρίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς πεντασυλλάβου. τὸ δ' ὅμοιον. τὸ ε' δίμετρον βραχυκατάληκτον παιωνικόν. ἐπὶ τῷ τέλει παράγραφος.]]

940. *Schol.* ὡς ἐπιμένοντος τοῦ ποιητοῦ καὶ ἐνοχλοῦντος αὐτοῖς τοῦτό φησι. V.

941—945. Haec quoque ex carmine Pindarico ducta, mutatis nonnihil poetae verbis, ut monuit Dind., nam post Στράτων sequebatur ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται. Schol: λαβὼν δὲ ἡμιόνους παρ' Ἱέρωνος (Στράτων) ᾔτει αὐτὸν καὶ ἁρμάτιον. δῆλον δὲ ὅτι χιτῶνα αἰτεῖ πρὸς τῇ σπολάδι. Stratonem hunc Hieronis fuisse aurigam censet Dissenius ad Pind. 1. "Scilicet Pindarus, inquit, tecte rogans, ut par erat, non aperte, suaviter narrat de Stratone quodam, quem necesse est fama fuerit ad Scythas quondam delatum errasse ibi contemptum, quum currum non haberet." In fragmento ap. Athen. p. 28 A. et Eust. ad Hom. p. 1822, 5., quod cum hoc arcte cohaerebat, in eadem petitione per ambages perstat Pindarus, ut videtur: ibi enim, inter alia, Σικελίας δ' ὄχημα δαιδάλεον ματεύειν. "It is stated that Hiero had given the mules with which he had won the Pythian victory in question to his charioteer, who seems to have been one Straton; and Pindar here begs, in a roundabout way, that he will give Straton the chariot also. — Straton is like a person wandering among the Scythians with horses only, and no chariot to live in. On ἁμαξοφόρητος οἶκος see Blomf. ad Aesch. Prom. 708." (Donaldson. ad l.)

941. νομάδεσσι — Σκύθαις] Cf. Aesch. Il. 82. ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γένος ὤν. Aesch. Prom. 708. Σκύθας δ' ἀφίξει νομάδας, οἳ πλεκτὰς στέγας | πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις. Hor. Carm. III. 24. 9. campestres melius Scythae, quorum plaustra vagas rite trahunt domos. De Scythis, qui hiberno tempore propter frigoris inclementiam bona sua in plaustra conferentes in aliam regionem migrabant, vide Herod. IV. 11. 19. Aeschyl. Prom. 715. Diod. Sic. II. p. 424. Schol: ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.

(Schol. Νομάδεσσι γὰρ ἐν Σκύθαις: Καὶ ταῦτα παρὰ τὰ ἐκ Πινδάρου [fr. 72.]. ἔχει δὲ οὕτως "Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων, ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται." λαβὼν δὲ ἡμιόνους παρ' Ἱέρωνος ᾔτει αὐτὸν καὶ ἅρμα. δῆλον δὲ ὅτι χιτῶνα αἰτεῖ πρὸς τῇ σπολάδι.)

942. Στράτων] Auriga Hieronis, ut videtur, qui Hieroni victoriam rheda mulari reportaverat. "Carmen inserviebat celebrandae victoriae Hieronis mulabus partae ab auriga cui fortasse Stratoni nomen. Huic igitur aurigae poeta etiam currum ab Hierone postulat. Λαβὼν δὲ ἡμιόνους παρὰ Ἱέρωνος, inquit schol., ᾔτει αὐτὸν καὶ ἁρμάτιον. Verba ἀκλεὴς δ' ἔβα spectant rhedam mularem, cui minor quam currui honos etiam Olympiae. Paus. 5, 9, 2. ἀπήνῃ δὲ οὔτε τῷ ἀνευρήματι οὐδὲν ἀρχαῖον, οὔτε εὐπρέπεια αὐτῇ προσῆν." (Böckh.)

[Schol.] ἀλᾶται Στράτων: (Ἀλᾶται ἔφη), ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐπὶ ἁμαξῶν τὰ πράγματα βάλλοντες ἑαυτῶν ἐπαίρουσιν εἰς ἄλλην χώραν. ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.

943. ὑφαντοδόνατον ἔσθος pro Pindarico ἁμαξοφόρητον οἶκον positum. Cf. 1390. τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται | ἀέρια καὶ σκότι' ἄττα καὶ κυαναυγέα | καὶ πτεροδόνητα.

ἔσθος] Legitur etiam Lys. 1096.

πέπαται] Possidet. Xen. An. III. 3. 18. πέπανται σφενδόνας. V. 9. 12. τῶν Ἀρκάδων τινὰ, πεπαμένον ὀρχηστρίδα. Cyr. III. 3. 44. νῦν γὰρ — ὁ ἀγὼν — περὶ πάντων ὧν πέπασθε ἀγαθῶν. Cyr. VI. 1. 7. πεπαμένον ὀρχηστρίδα εἰσάγει. III. 3. 11. πέπανται σφενδόνας. VII. 6. 8. οὐδὲν πεπάμεθα. Aesch. Ag. 835. τῷ πεπαμένῳ νόσον.

944. ἀκλεὴς δ' ἔβα] Et haec Pindari verba videntur esse, dixerat autem ea, opinor, hoc sensu: Ignobilis autem incedit (i. e. habetur) apud eos is qui plaustrum non possidet. Ridicule verba mutat dithyrambicus, ut sensus sit: Indecorum autem est sagum sine tunica. Rhedam mularem ab Hierone acceperat Strato. Hic currum etiam ei postulat Pindarus. Cf. Pind. Ol. XII. 24. ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν.

Schol. ἀκλεὴς ἔβα σπολάς: Ἀκλεὴς, φησὶν, ἡ σπολὰς ἄνευ χιτῶνος (οὖσα. ἀτιμότερος ἀνήρ. πέπαται δὲ κέκτηται).

945. ξύνες ὅ τοι λέγω] Τοι Dorice pro σοι. Plat. Menon. 76 D. ἐκ τούτων δὴ ξύνες ὅ τοι λέγω, ἔφη Πίνδαρος. Phaedr. 236 D. ἐκ δ' ἁπάντων τούτων ξύνες ὅ σοι λέγω. Ach. 101. ξυνήκαθ' ὃ λέγει; Pindarica et haec.

946. χιτωνίσκον] Subuculam sive tunicam, i. e. μικρὸν χιτῶνα. Χιτωνίσκον virorum, χιτώνιον feminarum esse docet Ammonius p. 148. V. Piers. ad Moer. p. 416. Cf. 955. Apollod. com. IV. 453. σχιστὸν χιτωνίσκον τιν' ἐνδέδυκας. Antiph. III. 17. φαιὸς χιτωνίσκος καλός. Plat. Hipp. II. 368 C. ὑποδήματα ἃ εἶχες ἔφησθα αὐτὸς σκυτοτομῆσαι καὶ τὸ ἱμάτιον ὑφῆναι καὶ τὸν χιτωνίσκον. Legg. p. 990 E. γυμνὸς ἢ χιτωνίσκον ἔχων. Dem. p. 414 C. καὶ μικροῦ γυμνὸν ἐν τῷ χιτωνίσκῳ γενέσθαι. p. 498 B. καὶ χιτωνίσκον καὶ ἱμάτιον. Marm. Elgin. Tit. IX. 16.

χιτωνίσκος ποικίλος. 30. *χιτωνίσκον καρπὸν παιδικὸν ἀνεπίγραφον.* 31. *χιτωνίσκον ξυστὸν κτενωτόν.* 43. *χιτωνίσκος κτενωτὸς περιποίκιλος.* 45. *χιτωνίσκος κτενωτὸς περιηγητός.* 47. *χιτωνίσκος λευκὸς πυργωτὸς παρακυμάτιος* (*-ίας*?) *πλατυαλουργὸς ἀνεπίγραφος.* 53. *χιτωνίσκον κτενωτόν.* 54. *χιτωνίσκον περιηγητόν.* 55. *χιτωνίσκον ἡμιτελῆ.* 65. *χιτωνίσκον ἀμόργινον.* Cf. Ran. 1067. *νὴ τὴν Δήμητρα χιτῶνά γ' ἔχων οὔλων ἐρίων ὑπένερθε.*

μᾶζαν: Μᾶζα κυρίως ἡ τροφὴ ἡ ἀπὸ γάλακτος καὶ σίτου, παρὰ τὸ μάζεσθαι. τὸ δὲ μᾶζαν προπερισπαστέον, τουτέστι τροφήν. καταχρηστικῶς δὲ τῇ λέξει κέχρηται· οὐ γὰρ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν νῦν θέλει δηλοῦν· οὐ γὰρ αὕτη κανθάρων τροφή· ἀλλὰ τὸ ἀποπάτημα, λέγω δὴ τὴν κόπρον· τοιαύτη γὰρ ἡ τῶν κανθάρων τροφή. πίτυρα δέ τινα ῥυπαρὰ μάττουσιν οἱ οἰκέται· κόπρον γὰρ φυρᾶν ἀπίθανον.

ὡς τάχιστα: Ἢ τάχος, ἢ διὰ ταχέων. — διὰ δὲ τοῦ σπουδαίου τοῦ παρὰ τῶν οἰκετῶν πρὸς τὸν κάνθαρον ἐμφαίνει τὴν περὶ αὐτὸν τοῦ δεσπότου μεγίστην φροντίδα. R. V. *κάνθαρος δὲ εἶδος ζῴου παρὰ τὰς σίλφας τὸ μέγεθος. — ἀναβιβαστέον δὲ τὸν τόνον· οὕτω γὰρ Ἀττικοί.* R. V.

2. *Schol.* (*ἰδού: Παρεπιγραφή· ὁ γὰρ ἕτερος τῶν οἰκετῶν τὸ προσταχθὲν ποιῶν αὐτῷ παραφέρει καὶ ἐπιδίδωσι τὴν τροφήν.*

τῷ κάκιστ' ἀπολουμένῳ: Διὰ γὰρ τὸ ἀνάγκην ἔχειν ἅπτεσθαι καὶ ψηλαφᾶν τῆς κόπρου ἀπεχθάνεται πρὸς τὸν κάνθαρον.)

3. *Schol.* *μήποτ' αὐτῆς μᾶζαν*: *Οὐχ ὡς ὄντως τρώγοντος, ἀλλὰ πρὸς τὸ μυθευόμενον ἔπαιξεν. ὡς ἐπίτηδες γὰρ πεπλασμένα ἐστὶ τὰ τῶν ὄνων ἀποπατήματα.*

4. *μᾶζαν*] Proprie *μᾶζα* est offa ex farina et oleo vel etiam lacte, et dicitur a *μάττειν*, unde etiam conjunctim dicitur *μᾶζαν μάττειν*, ut in Eq. 55. *ἐμοῦ μᾶζαν μεμαχότος*. et 1100. *μαζίσκας διαμεμαγμένας*. 1163. *μαζίσκην ἐξ ὀλῶν μεμαγμένην*. Hic autem improprie et ridiculi causa *μᾶζα* accipitur pro turunda stercorea. Quemadmodum etiam verbum *μάττειν* improprie de pinsendo stercore usurpat Plut. 304. *ἔπεισεν — μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς*. BE. Suidas: *ὀνίδες, τὰ τῶν ὄνων ἀποπατήματα*. BR. Cf. Aesop. Fab. 282. ed. Fur. *τῇ δὲ τούτου (τοῦ ταύρου) κόπρῳ κάνθαροι ἐτρέφοντο δύο*. Aesop. Fr. 7. *ὁ κάνθαρος τοῦτο ἑωρακὼς κόπρου σφαῖραν ποίησας ἀνέπτη*. Plutarch. Mor. 1058 A. *λέγονται οἱ κάνθαροι τὸ μύρον ἀπολείπειν, τὰ δὲ δυσώδη διώκειν.*

5. *νῦν δή*] Modo. Schol: *οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἀρτίως*. Magnes com. II. 10. *εἰπέ μοι· νῦν δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φῄς.*

Schol. *νῦν δή*: *Οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἀρτίως. (ἐν ἐρωτήσει τὸν λόγον νῦν προσάγει. ἐκείνου γὰρ αἰτήσαντος μᾶζαν ἑτέραν φησὶν αὐτός, ἣν γὰρ νῦν αὐτῷ προσέφερες οὐ κατέφαγεν; ὥστε πῶς; διόπερ ἐκείνου ἀρνουμένου μὴ βεβρωκέναι τὸν πρότερον πέλεθον τὸν κάνθαρον προστίθησι καὶ τὴν αἰτίαν, ὡς περικυλίσας ἐνέκαψεν.)*

6. *Schol.* *ἄλλο φαγεῖν καὶ ἄλλο καταφαγεῖν καὶ ἄλλο καταπιεῖν. φαγεῖν μὲν γὰρ τὸ τάξει, καταφαγεῖν δὲ τὸ ἀθρόως, καταπιεῖν δὲ τὸ μηδὲ μασώμενον ἐσθίειν. τὸ οὖν ἀδηφάγον τοῦ ζῴου δεικνὺς λέγει ὅτι οὐ κατέφαγεν, ἀλλὰ κατέπιεν μηδὲ μασησάμενος.*

7. *ἐνέκαψε*] Ingurgitavit. Anglice bolted.

περικυλίσας] A *περικυλίνδω*. Sic *εἰσκυλίνδειν, ἐκκυλίνδειν, ἐγκυλίνδειν, κατακυλίνδειν*, etc. V. Cobet. N. L. p. 638. Cf. Aelian. H. A. X. 15.

Schol. *περικυλίσας*: *(Περιελκύσας καὶ περισύρας. ἔθος δὲ τοῖς κανθάροις τὰς ὀνίδας περικυλίειν.) λέγεται ὁ κάνθαρος εἰς ὄνθον ἀποσπερματίζειν καὶ οὕτω περιστρέφειν τοῖς ποσὶν ἕως ὅταν ἐγγυμνασθὲν τὸ σπέρμα ἀποδοθῇ καὶ ἐγγεννήσῃ. θῆλυς γὰρ κάνθαρος οὐ γίνεται, ἀλλὰ πάντες ἄρρενες γεννῶνται.*

τοῖν ποδοῖν: *Πρὸς τὴν τάξιν τῶν ποδῶν ἀκολούθως τὸ δυϊκόν. — καὶ ἐν Νεφέλαις* [150] *ἐπὶ τῆς ψύλλης "ἐνεβάψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε." καὶ παρὰ τῷ ποιητῇ τεσσάρων ἵππων ὄντων τῷ Ἕκτορι, δύο μὲν δεξιῶν, δύο δὲ ἀριστερῶν, πρὸς σύνταξιν ἀκολούθως ἐπήνεγκε* [Il. θ'. 189] *"νῦν μοι τὴν κομιδὴν ἀποτίνετον."* R. V.

8. *πυκνάς*] Densas, Anglice thick. Cf. 565. *πυκνὸν — ὥσπερ μάζα.*

9. *ἄνδρες κοπρολόγοι*] Cf. Vesp. 1184. *τῷ κοπρολόγῳ*. et ad Eq. 899. *ἀνὴρ Κόπρειος*. Eccl. 317.

προσλάβεσθε] Cf. Ach. 1215. Lys. 202.

Schol. (*κοπρολόγοι*: *Τοῦτο ἤτοι πρὸς τοὺς ἄλλους ῥήτορας καίτοι χαριεντιζόμενος ἀποτείνεται, διαβάλλων αὐτοὺς ὡς μυσαροὺς καὶ λοιδόρους, ἢ διότι τὰς κόπρους τοῖς οἰκέταις προσετέτακτο βαστάζειν εἰς τρο-*

φὴν τοῦ κανθάρου. τοὺς συνεργοὺς οὖν τῶν ὁμοδούλων εἰς ἐπικουρίαν καλεῖ.

προσλάβεσθε: Βοηθήσατε. συνέχει γὰρ τῇ μιᾷ τὴν ῥῖνα, τῇ δὲ ἑτέρᾳ μάττει. ζητεῖν οὖν ἔοικε τοὺς διαδεξομένους.)

10. ἀποπνιγέντα περιιδεῖν] Cf. Eccl. 367. ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς | διαρραγέντα. 1054. μηδαμῶς με περιίδῃς | ἑλκόμενον ὑπὸ τῆσδ'. 1068. Soph. Oed. R. 1505. μή σφε περιίδῃς | — ἀλωμένας.

Schol. ἀποπνιγέντα: Συνέχει γὰρ τὰς ῥῖνας διὰ τὸ φυρᾶν τὴν κόπρον ὑπὲρ τοῦ μὴ ὀδωδέναι αὐτῷ. μήτε οὖν διεξιόντος ἔτι τοῦ πνεύματος μήτε τοῦ ἔξωθεν ἀέρος σπωμένου, ἀλλ' ἀποκεκλειμένων τῶν ῥινῶν τῇ θλίψει τῶν δακτύλων, ἀνάγκη στενοχωρουμένου τοῦ πνεύματος πνίγεσθαι αὐτόν.

11. παιδὸς ἡταιρηκότος] Cf. 724. τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.

Schol. ἑτέραν ἑτέραν: (Οἱ Ἀττικοὶ καὶ ἐπὶ πολλῶν λέγουσι τὸ ἑτέραν ἡμεῖς δὲ ἐπὶ δευτέρας μόνης.) ἐπὶ τῆς τρίτης ἑτέραν εἶπεν. (ὅλως δὲ ἡ παρατετηρημένη ἐπί τε τοῦ ἑτέρου καὶ ἄλλου διαφορὰ παρ' Ἀττικοῖς οὐκ ἔστιν.)

ἡταιρηκότος: Ἐπειδὴ ἐκείνων δοκεῖ ἡ κόπρος τετρίφθαι ὡς ἡταιρηκότων. ἐκ δὲ τοῦ ἑτοίμως καὶ προχείρως προσενεγκεῖν διαβάλλει τοὺς Ἀθηναίους, ὡς πολλῶν καὶ ποιούντων [[τοιαῦτα]] παρ' αὐτοῖς καὶ πασχόντων.

Ἴσως ἵνα τοῦ τρίβειν ἀπαλλαγῇ διὰ τὸ τὴν τῶν παίδων τετριμμένην εἶναι καὶ ἑτοίμην ἐκ τῶν χρωμένων. R. V.

12. τετριμμενής] Eubulus Athen. 685 E. τετριμμένη μᾶζα. Clearchus Athen. 548 B. ὁ δὲ σιτοποιὸς — ἔτριβε τὸ σταῖς.

13. Schol. (ἑνὸς μὲν, ὦνδρες, ἀπολελύσθαι: Τοῦ τρίβειν καὶ φυρᾶν τὴν κόπρον. ἐκέρδανα, φησὶ, διὰ τὸ μὴ ἴσως χρῄζειν ἔτι τοιούτου πόνου τὴν τοῦ ἡταιρηκότος τούτου παιδὸς κόπρον, ἀλλ' ὥσπερ ἑτοίμην καθεστηκέναι τρίβειν καὶ ἀνατετρίφθαι ὑπὸ τῶν χρωμένων.)

14. μάττοντ' ἐσθίειν] Solebant enim servi inter pinsendum vorare. Hinc iis collare quoddam ligneum circumponebatur collo, ne manus ori admovere possent, quod dicebatur παυσικάπη. De quo v. Polluc. VII. 20. BE. Noster ap. schol. (Fr. 287.) παύσειν ἔοιχ' ἡ παυσικάπη κάπτοντά σε. Idem Fr. 286. ἡ καρδοπείῳ περιπαγῇ τὸν αὐχένα.

(Schol.) οὐδεὶς φαίη: Οὐ γὰρ ἄν τις ὑποπτεύσειε διὰ τὸ φυρᾶν ἐμὲ ἤδη καὶ τὴν κόπρον ἐσθίειν. — δυοῖν οὖν ὄντων τῶν περὶ ἐμὲ δυσχερῶν, τῆς τε δυσωδίας, ἣν ἀπὸ τοῦ μαλάσσειν καὶ φυρᾶν τὴν κόπρον συνέβαινε πάσχειν, καὶ τῆς περὶ τῆς τροφῆς ὑποψίας, ἤδη φανερῶς τοῦ ἑνὸς ἀπαλλαγεὶς, τοῦ μηκέτι καταναγκάζεσθαι φυρᾶν τὴν κόπρον, ἡγοῦμαι ἀπηλλάχθαι, φησὶ, καὶ τῆς ὑπονοίας τῆς ἐπὶ τῇ τροφῇ· οὐδένα γὰρ ὑμῶν πιστεύειν οἴομαι ὅτι ἔτι μάττων καὶ φυρῶν ἤδη καὶ ἐσθίω. δῆλον δὲ ὅτι πίτυρα ἦν ἀπίθανον γὰρ κόπρον μάττειν. Ἄλλως. V. εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν. — ἀφ' οὗ καὶ τὴν παυσικάπην ἐπενόησαν, τροχοειδές τι, δι' οὗ τὸν τράχηλον εἶρον πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης· "παύσειν ἔοιχ' ἡ παυσικάπη κάπτοντά σε." V.

17. *ὑπερέχειν τῆς ἀντλίας*] I. e. *ὑπέραντλος γίγνεσθαι*. Cf. Diphil. com. IV. 395. *φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος*. Anaxil. com. III. 347. *αὗται δ' ἁπάντων ὑπερέχουσι τῶν κακῶν*. Cratet. com. II. 236. *ὁ κάνης — τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ*. Lucian. Ver. Hist. II. 4. *ὑπερέχοντες τῶν κυμάτων*. Herod. II. 4. *καὶ αὐτῆς εἶναι οὐδὲν ὑπερέχον τῶν* etc. Thuc. III. 23. *ὃ (ὕδωρ) μόλις ὑπερέχοντες ἐπεραιώθησαν*. Xen. An. III. 5. 7. *ποταμὸς τοσοῦτος τὸ βάθος ὡς μηδὲ τὰ δόρατα ὑπερέχειν* etc. Dem. p. 128. *ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή*. Cf. v. *ὑπεραντλεῖσθαι* (*τῇ ἅλμῃ*), Lucian. de merc. cond. 2. "Antliam nunc vocat mactram illam in qua pinsebat stercus, propter tetrum odorem, per metaphoram ab antliis navium, quibus sentina exhauritur, quarum odor est teterrimus; nam aqua diu consistens in fundo navium pessime olet. Schol. ad Eq. 432. *ἰστέον δὲ ὅτι ἱστάμενον καὶ χρονίζον τὸ ὕδωρ κάκιστον ὀδώδει*. Unde antlias etiam *δυσώδεις* dicit Pisides apud schol.: *ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας*. Est autem proprie *οὐχ οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας*, non possum superare laborem in haurienda sentina (nimis ubertim affluente), i. e. vincor labore, *οὐ δύναμαι ἀντέχειν καὶ ὑπεργίνεσθαι τοῦ πράγματος* ut hunc locum citans dicit schol. ad Eq. 432. Sed servus iste apu Aristoph. metaphorice loquitur et vult dicere se odorem mactrae ferre non posse. Unde scholia: *ὑπερέχειν· ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τῆς ὀσμῆς*. Scholiastes Eurip. Hipp. 767, ubi *χαλεπᾷ δ' ὑπέραντλος οὖσα συμφορᾷ*, fere comici nostri verbis utitur cum *ἀπὸ μεταφορᾶς*, inquit, *τῶν ἐν τῇ μηκέτι τῆς ἀντλίας ὑπερέχειν δυναμένων*." BE. Intransitivum est *ὑπερέχειν* ut *ἐξέχειν* (Fr. 346.), *ἀνέχειν* (Herod. VIII, 8.), *ἀπέχειν*, etc.

Schol. ὑπερέχειν: Ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τῆς ὀσμῆς. ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἅπερ κινδυνεύει τῆς ἀντλίας πληρωθείσης. βούλεται δὲ εἰπεῖν ὅτι νικῶμαι μάττων. — Ἄλλως. μεταφορικῶς ἀπὸ τοῦ τόπου τῆς νεὼς ἐξ οὗ τὸ ὕδωρ ἀρύουσιν. φησὶν οὖν ὅτι οὐ δύναμαι ὑποφέρειν, ὡς καὶ αὐτοῦ τοῦ ὕδατος ὑπεράνω μου γεγενημένου. διὰ δὲ τούτου τὴν ἀδηφαγίαν τοῦ κανθάρου δηλοῖ, ὡς ὑπερκεράσαντος ὕδατος τῆς ἀντλίας. V.

18. *Schol. ἀντὶ τοῦ τὴν σκάφην. ταῦτα δὲ εἰπὼν προσφέρει τὸ ἀγγεῖον ἔνθα ἐφύρα*. R.

19. *καὶ σαυτόν γε πρός*] Cf. Plat. Gorg. 469. *καὶ ἐλεεινόν γε πρός*. Men. 90. *καὶ ἀμαθία γε πρός*. Eur. Her. 641. *μάλιστα· καὶ πρός γ' εὐτυχεῖς τὰ νῦν τάδε*.

Schol. ἀπόφερε τὴν ἀντλίαν καὶ σεαυτόν. R. V.

20. *Schol.* (*ὑμῶν δέ γ' εἴ τις: Πρὸς τοὺς ἀκροατὰς τὸν λόγον ὁ ποιητὴς ἄγαν εὐφυῶς ποιεῖται.*)

21. Agath. Prooem. Anthol. *εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα*. DOBR.
Schol. μὴ τετρημένην: Διὰ τὸ μὴ ὀσφραίνεσθαι τῆς κόπρου τῶν μυκτήρων ἀποκεκλεισμένων.

22. *οὐδὲν γὰρ — ἦν ἄρ'*] Cf. 566. 819. Vesp. 1299. *οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακὸν —;*

24 sq. Cf. Antiph. com. III. 68. *οὕτω φιληδεῖ ταῖς ὑσὶν, | ὦ δέσποθ', ὥστε σκατοφαγεῖν ἀπεῖρξε τὸ | ζῷον* (sc. *τὴν ὗν*). Crobyl. IV. 567. *χαρίσκου σκατοφάγου.*

24. *ὅ τι περ ἂν χέσῃ τις*] Cf. Soph. Tr. 715. *χὤσπερ* (*χὥνπερ*?) *ἂν θίγῃ, | φθείρει τὰ πάντα κνώδαλα.*

Schol. ὗς καὶ κύων· Κοπροφάγα τὰ ζῷα. R.

ὥσπερ ἂν χέσῃ τις: Ἀντὶ τοῦ ἄτριπτον. ἀνθρώπων δηλονότι. ὥσπερ ἂν χέσῃ τις, φησὶν, οὕτως ἐσθίει τὰ ἀποπατήματα καὶ ὗς καὶ κύων μὴ δεόμενοι τοῦ μάττεσθαι αὐτά.

25. *φαύλως ἐρείδει*] I. e. facile. Anglice, without ado. Gallice, sans façon. Cf. Eq. 1292. *διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλεώνυμος* (*τὰ τῶν ἐχόντων*). Vesp. 656. *λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρός.* Eccl. 666. Lys. 566. Th. 711. Nub. 778. *φαυλότατα καὶ ῥᾷστ'.* Rhes. 769. *φαύλως δ' εὕδομεν πεπτωκότες.* "Cf. Athen. XIV. 650 A. *πατέονται ταῦτα οὐ μάξαντες οὐδ' ὕδατι δεύοντες, ἀλλὰ φαύλως ὁκοῖά περ πέφυκεν.*" DOBR.

ἐρείδει] I. e. *συντόνως ἐσθίει.* Phot. p. 13, 2. *ἐρείδειν: τὸ ἐσθίειν σφοδρῶς, ἢ ἄλλο τι ἐνεργεῖν συντόνως. Ταγηνισταῖς· Ἐρείδετον· κἀγὼ κατόπιν σφῷν ἕψομαι.* Cf. 31. Eodem sensu *παίειν* (Ach. 835.), *σποδεῖν, βρύκειν, φλᾶν*, etc.

τοῦτο] Subaudiendum *κνώδαλον, ζῷον* aut aliquid simile. Infra 132. *κάκοσμον ζῷον* dicitur. Sed vide annot. crit.

Schol. φαύλως ἐρείδει: ἁπλῶς καὶ ἀπεριέργως μασᾶται. (*ἢ συντόνως ἐσθίει. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων καὶ ἐπερειδομένων ταῖς κώπαις. ἐρείδειν δέ φασιν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συντόνως γινόμενον. τὸ δὲ βρενθύεται*) *ἀντὶ τοῦ σεμνύνεται καὶ ἐπαίρεται* (*μέγα φρονεῖ* Ald. V.) — *οἱ μὲν ἀπὸ βρένθους τοῦ φυτοῦ, οἱ δὲ μύρου εἶδος, ᾧ χρίονται αἱ γυναῖκες καὶ ἐπ' αὐτῷ μέγα φρονοῦσιν.* V.

26. *βρενθύεται*] Delicias facit (male tangens dente superbo). Anglice, gives itself airs. Cf. Lys. 887. *χὤ δυσχολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται.* Nub. 363. De hoc verbo v. schol. ad h. l. et Hemst. ad Lucian. p. 367.

28. Huc respicit Athenaeus 173 A. *ἐπειδὴ τὰς μάζας, φησὶν Ἀριστοφάνης, ἐν ταῖς θοίναις δι' ἡμέρας τρίβοντες παρεῖχον ὥσπερ γυναιξὶ γογγύλας μεμαγμένας.* Rotundam igitur et duram fuisse turundam (*μᾶζαν γογγύλην*) hinc discimus. "Est adjectivum *γογγύλην*. Pro substantivo male accepit scholiasta. V. Lob. ad Phryn. p. 103." DIND. "A kind of 'fancy-bread' is meant, made expressly for the *γυναικωνῖτις*. V. Th. 1185." (Pal.)

Schol. ὥσπερ γυναικὶ γογγύλην: Αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ἐκ τῆς πυκνότητος τῆς μάζης, μικρᾶς εἶναι δοκούσης, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογγύλας αὐτὰς ποιοῦσαι τὰς μάζας. γογγύλῃ δὲ παρείκασεν αὐτὰς ἐπειδὴ καὶ αἱ γογγύλαι στρογγύλαι παρ' αὐτοῖς. ἔστι δὲ λαχάνου εἶδος (imo *γογγυλίδες*, saltem apud Atticos), *ὃ παρά τισι ῥάφανον καλεῖται.* — *Ἄλλως. ὡς τῶν γυναικῶν ἑαυταῖς ἐπιμελέστερον τριβουσῶν, ὥστε μὴ διακεχύσθαι τὴν μᾶζαν διὰ τὸ ἄτριπτον*

εἶναι, ἀλλὰ συνεστράφθαι. παρατετήρηκε δὲ ταῦτα καὶ Σώφρων καὶ Καλλίμαχος. V. *γόγγυλος ἐστὶ λίθος.*)

(29.) *Schol. ἀλλ' εἰ πέπαυται: Εἰ τῆς τροφῆς ἐπαύσατο δηλονότι κορεσθεὶς ὑπ' αὐτῆς. — νῦν δὲ τῇ ἐδωδῇ ἐχρήσατο παρὰ τὸ ἐδωδέναι τὴν κόπρον. πρὸς τὸν κάνθαρον λέγει πιθανῶς διὰ τὸ θαυμάζειν μὴ ὁρῶσι τοῖς θεαταῖς παρίστησι.* V. *παρὰ τὸ ἐδωδέναι ἐχρήσατο.* R.

30. *παροίξας τῆς θύρας*] Modice aperiens januam, ut sit semiadaperta. Euripides aliter Iph. Aul. 857. *τίς ὁ καλῶν πύλας παροίξας;* BE. Cf. 981. *παρακλίνασαι | τῆς αὐλείας παρακύπτουσιν.*

Schol. (παροίξας: Ὀλίγον διανοίξας τὴν θύραν, ὥστε ἰδεῖν μὲν τὰ ὑπ' αὐτοῦ πραττόμενα, μὴ ὁραθῆναι δὲ ὑπ' αὐτοῦ. δῆλον δὲ ὅτι καὶ τοῦτο παρεπιγραφή ἐστι· δεῖ γὰρ αὐτὸν ἠρέμα ἀνοῖξαι καὶ κατανοῆσαι εἴτε ἐσθίει ὁ κάνθαρος εἴτε πέπαυται.)

31. *μὴ παύσαιο —*] Phoenicides comicus ap. Athen. X. p. 415 E. *οὗτος, ὥσπερ οἶδας, ἐσθίει | μέχρι ἂν διδῷ τις ἢ λάθῃ διαρραγείς.* Ibid. p. 416. Anaxilas comicus [III. 351.] *Διαρραγήτω χἄτερος δειπνῶν τις εὖ, | μὴ Κτησίας μόνος* [*μόνον*?]. BE.

Schol. ἔρειδε: Ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων, ὅταν προσερείδωσι σφοδρῶς τῇ θαλάττῃ τὰς κώπας. V.

32. *Schol. τέως ἕως: Ὅτι ἐκ παραλλήλου κεῖται τὸ ἕως καὶ τέως, καὶ ὅτι εἰς ὑπόδειγμα χρήσιμον. Ἄλλως. παρατηρητέον ὅτι ἐνταῦθα διαφόρως ἐχρήσατο τέως καὶ ἕως. ἔστι δὲ χρήσιμα εἰς ὑπόδειγμα.* V.

33. *κύψας*] Submisso capite, ut athleta. Cf. Eccl. 863. *ὁμόσ' εἶμι κύψας.* Menand. IV. 280. *ἕκαστος — κύψας καθ' αὑτὸν τῶν πραγμάτων ἔφλα.* Lucian. Anach. 24. *κάτω συννενευκότες παλαίουσι.*

Schol. οἷον δὲ κύψας: Οἷον ἐγκύψας. διὰ δὲ τοῦ σχήματος τὴν ἀδηφαγίαν αὐτοῦ δηλοῖ. — καὶ γὰρ τῶν ἀνθρώπων καὶ τῶν θρεμμάτων οἱ μάλιστα τοῖς ἐδέσμασιν ἐγκεκυφότες καὶ πρόσκείμενοι δοκοῦσιν ἀπλήστως καὶ περισπουδάστως ἐσθίειν. V.

34. *παραβαλὼν τοὺς γομφίους*] Admotis dentibus molaribus seu maxillaribus. Cf. Thesm. 739 — 740. Pind. P. IX. 87. *ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλει.* Sic *παραβάλλειν τοὺς ὀφθαλμοὺς* Eq. 173.

Schol. (ὥσπερ παλαιστής: Τῇ μεταφορᾷ ἐχρήσατο καὶ διὰ τὸ τοὺς κανθάρους μιμεῖσθαι τοὺς παλαιστὰς διαιρουμένους ἐν τῷ κυλίειν τὴν κόπρον. — Ἄλλως. ὁμοῦ μὲν ὡς τῶν παλαιστῶν ἀδηφαγούντων, ὁμοῦ δὲ τὸ ἐπιφερόμενόν οἰκείως τῶν παλαιστῶν ἐμνημόνευσε καὶ τῇ εἰκόνι ἐχρήσατο. δοκοῦσι γὰρ οἱ κάνθαροι, ἐπειδὴ ἐφέλκονται τὰς κόπρους, τῶν παλαιστῶν μιμεῖσθαι τὸ σχῆμα, ᾧ ἐν ἀρχῇ χρῶνται τῆς πάλης. V. *παραβαλὼν δὲ) ἀντὶ τοῦ χαλάσας τοὺς ἐμπροσθίους ὀδόντας, ὥσπερ καὶ χαλάσαι κώπην λέγουσι παραβαλεῖν.*

35. *τὴν κεφαλὴν — περιάγων*] Cf. 682. *τὴν κεφαλὴν ποι περιάγεις;*

πως ὡδί] I. e. *ὡδί πως.* Cf. Plat. Lys. 214. *λέγουσι δέ πως ταῦτα — ὡδί.* Alcib. II. 142 E. *λέγει δέ πως ὡδί.* et ad Vesp. 1240. *ὡδί πως.*

36. Citat schol. Eurip. Orest. 322. Sunt autem isti *σχοινοσιμβολεῖς* [Poll. VII. 160.] restiones. BE.

Schol. ὥσπερ οἱ τὰ σχοινία: (Οὕτως ἐστὶ, φησὶ, κινούμενος ὥσπερ οἱ ἐργαζόμενοι τὰ σχοινία τὰ μεγάλα τῶν πλοίων, ὅτι ἐργαζόμενοι τῷ σώματι καὶ ὅλῃ τῇ ψυχῇ καὶ τῇ δυνάμει ἐργάζονται ἐν τῷ πλέκειν· οὕτως ὅλῃ τῇ δυνάμει ὁ κάνθαρος, φησὶν, ἐσθίει κινούμενος. Ἄλλως. ἐπεὶ οἱ σχοινοπλόκοι συμπεριάγονται τῇ τῶν σχοινίων συμπλοκῇ διὰ τῆς τροχιλίας. παρέλκων· καὶ γὰρ ἐκεῖνοι δεῦρο κἀκεῖ ἐν τῇ πλοκῇ περιφέρουσι τὴν κεφαλήν. Ἄλλως.) κινῶν γὰρ καὶ μεταβάλλων ἐσθίει ὁ κάνθαρος ὥσπερ οἱ τὰ ὄργανα στρέφοντες τῶν σχοινίων. V. R.

τὸν αὐτὸν τρόπον, ἢ οὕτως, ὁμοίως ἑλίσσων τὰς χεῖρας. διὰ δὲ τὸ ἐφέλκεσθαι αὐτοὺς τὰς κόπρους ἀνάγκη τὸ σχῆμα τοῦτο ποιεῖν καὶ ἑνὶ παρ' ἑνὶ ἐφέλκεσθαι τῶν ποδῶν. χεῖρας δὲ ἐκάλεσε τοὺς ἐμπροσθίους πόδας. V.

(37.) *Schol.* συμβάλοντες: Συμπλέκοντες (συνδέοντες V.). τούτους δὲ ἐκάλουν καὶ σχοινιοσυμβόλους (σχοινιοσυνδέτας V.).

38. μιαρὸν τὸ χρῆμα] Cf. ad Vesp. 933. κλέπτον τὸ χρῆμα τἀνδρός. Dem. p. 788. μιαρὸν μιαρὸν — τὸ θηρίον. p. 1078. τῶν μιαρῶν τούτων θηρίων. p. 1338. ὦ μιαρὸν σὺ θηρίον.

Schol. καὶ κάκοσμον: Δικαίως τὰ τοιαῦτα ἐστιώμενα κάκοσμά ἐστι. — βορόν: οὕτως ὀξυτόνως ἀντὶ τοῦ ἀδηφάγον. R. V.

39. προσβολή] Schol: ἡ ζημία, ἡ τοῦ δαίμονος ὀργή. Cf. Aesch. Eum. 600. δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτων. Cho. 277. ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων. Eur. El. 829. κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς (sc. exta victimae). Antiphont. 123, 22. οὐ δίκαιον τὰς θείας προσβολὰς διακωλύειν γίνεσθαι. Liban. Epist. 1038. βοήθησον ἀνδρὶ χρηστῷ — πολλὰς δεξαμένῳ προσβολὰς ὑπὸ Φρυνώνδου τινός. Synes. Epist. 57. εἰ δαιμόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα δι' Ἀνδρονίκου. Aesch. Pers. 781. ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει. Eur. Med. 640. μηδέ ποτ' ἀμφιλόγους ὀργὰς — προσβάλοι δεινὰ Κύπρις. Herc. 1161. τῷδε προστρόπαιον αἷμα προσβαλών. El. 655. τοῦτο μητρὶ προσβάλλει φόνον. Eur. Fr. Inc. 192. προσβαλεῖν ἀλάστορα. Tragicum incertum (Wagner. III. 183), ὅταν δ' ἁμάρτῃ (ἡ γλῶσσα), πλεῖστα προσβάλλει κακά. Lysias Athen. 551 E. μείζους καὶ χαλεπωτέρας τὰς συμφορὰς καὶ τὰς νόσους [αὐτοῖς] ἢ τοῖς ἄλλοις ἀνθρώποις προσβάλλοντες. "Duplex inest his sensus. Primo, cujus dei attributum est haec avis? sive, cui deorum est propria? Quia singulis diis aliquae aves attribuuntur, ut Junoni pavo, Minervae noctua, etc. Deinde, cujus pestis et ira deum? ut loquitur Virgilius. Vox enim προσβολή etiam poenam significat?" (Bergler.) "Notum est singulis deis singula animalia a veteribus attributa fuisse, quae eorum ἀγάλματα vocabantur. Hoc designare videtur vernula nomine προσβολή, quia animal deo προσβάλλεται, vel, ut προσνέμεται est in Av. 563. προσνείμασθαι δὲ πρεπόντως | τοῖσι θεοῖσιν τῶν ὀρνίθων ὃς ἂν ἁρμόζῃ καθ' ἕκαστον. Scarabaeum autem dicit Jovis Fulguratoris esse ἄγαλμα, seu προσβολήν, quia ut fulmine nihil nocentius, ita hoc animali, cui spurcissimum pabulum praebere cogitur, nihil novit intolerabilius." BR.

Anglice, an infliction. Cf. v. *προστρίβεσθαι* Eq. 5. *Προσβολὴ* etiam de odoris afflatu dicitur, ut *προσβάλλειν* v. 180. *πόθεν βροτοῦ με προσέβαλ';*

Schol. *χὤτου ποτ' ἐστί*: *Ἐπεὶ ἕν ἕκαστον τῶν ὀρνέων ἀνάκειται θεῷ τινί, ὡς ἀετὸς τῷ Διὶ καὶ ἡ γλαὺξ τῇ Ἀθηνᾷ. (τίνος οὗτός ἐστιν;) οὐκ ἔστιν οὖν, φησί, τῆς Ἀφροδίτης, ἐπεὶ αὕτη μὲν μύροις χαίρει, ὁ δὲ δυσώδης ἐστίν.*

ἀναφρόδιτον γὰρ τὸ ζῷον. V.

προσβολή: *Ἡ ζημία, ἡ τοῦ δαίμονος ὀργή. ἀντὶ τοῦ ζῷον εἰπεῖν ζημίαν εἶπε καταρώμενος ἑαυτῷ.*

40. *Ἀφροδίτης* —] Non videtur Veneris attributum esse, *ἐπεὶ αὕτη μὲν μύροις χαίρει οὐδὲ δυσώδης ἐστί*, ut inquit scholiasta. BE. Scarabaeus autem male olet. Et alibi vero consociantur *Ἀφροδίτη* et *Χάριτες*. Lucian. Demon. 10. *ταῦτα πάντα μετὰ Χαρίτων καὶ Ἀφροδίτης αὐτῆς ἔπραττέ τε καὶ ἔλεγε.*

Schol. *μύροις μὲν γὰρ ἡ θεὸς ἥδεται. διὸ καὶ τοὺς ὗας ἀλλοτρίους εἶναί φαμεν τῆς θεοῦ, βορβορώδεις γάρ, προσφιλεῖς δὲ τὰς πελειάδας διὰ τὸ τιθασὸν καὶ καθαρὸν αὐτῶν.* R. V.

41. *Schol.* *ἑξῆς δὲ μετὰ τὴν Ἀφροδίτην τῶν Χαρίτων ἐμνημόνευσε. δοκεῖ γάρ πως κοινωνία εἶναι τούτων τῶν θεῶν· οὐδὲν γὰρ ἐπαφρόδιτον, ὃ μή ἐστι Χαρίτων.* V. *Ἀφροδίτης μὲν γὰρ καὶ Χαρίτων πολλὴ κοινωνία.* R.

τίνος ἆρα. V.

42. *Διὸς καταιβάτου*] Quasi dicas, Jovis in fulmine descendentis, ut Virgilius de pluvia Ecl. VII. 60. Jupiter et laeto descendet plurimus imbri. Pollux IX. 41. *καὶ κατελθεῖν ἔλεγον (τὸ βέλος). καὶ τὸν Δία τὸν ἐπ' αὐτῷ καταιβάτην.* Latine dici posse videtur viris doctis Jupiter Elicius. Etiam ipsum fulmen ita dicitur apud Aeschylum Prom. 358. *ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος, | καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα.* BE. In Academia sita erat *Διὸς καταιβάτου* seu *μορίου* ara, teste schol. ad Soph. Oed. C. 705. Confer Horatii fulmen caducum Od. II. 13. 11. Simile compositum est *παραιβάτης*, Aelian. V. H. IV. 18. Ceterum non absimilis locus est Pl. 705. *λέγεις ἄγροικον ἆρα σύ γ' εἶναι τὸν θεόν. | ΚΑ. μὰ Δί' οὐκ ἔγωγ', ἀλλὰ σκατοφάγον.*

Schol. *Διὸς καταιβάτου; Ἀντὶ τοῦ Διὸς ἂν εἴη. καταιβάτης δὲ τιμᾶται ὁ Ζεὺς παρὰ τοῖς Ἀθηναίοις, παρὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς. ἢ ἀπὸ τῶν κεραυνῶν τῶν ἄνωθεν πιπτόντων. ἢ ἀπὸ τοῦ καταβαίνειν δι' ἔρωτα τῶν χθονίων γυναικῶν. παίζει δὲ καταιβάτην* [*σκαταιβάτην* Mein.] *αὐτὸν καλῶν, ἐπεὶ σκάτοις* [*σκατὶ* aut *σκάτεσι*?] *τρέφεται ὁ κάνθαρος.*

43. *Schol.* *οὐκοῦν ἂν ἤδη τῶν θεατῶν*: *Ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι σκώπτει τοὺς Ἀθηναίους ὡς φιλολοιδόρους. φησὶ γάρ, πάντως τις τῶν θεατῶν βλέπων τὸν κάνθαρον ἀνίσταται λέγων, Πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης; (εἶτα ἄλλος ἐλλόγιμος εἶναι δοκῶν λέγει, Πάντως τὸν Κλέωνα θέλει σκῶψαι ὁμοίως ὄζοντα αὐτῷ. ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους πρὶν μαθεῖν τὴν ὑπόθεσιν. ἰστέον δὲ ὡς βυρσοπώλης ἦν ὁ Κλέων, αἱ δὲ βύρσαι δύσοσμοι.)*

44. *δοκησίσοφος*] Cf. Eur. Tro. 413. *τὰ σεμνὰ καὶ δοκήμασιν σοφὰ οὐδέν τι, κρείσσω τῶν τὸ μηδὲν ἦν ἄρα.* Pherecrat. II. 340. *εἴποι τις ἂν τῶν πάνυ δοκησιδεξίων.* Calliam com. II. 741. *δοκησίνους.* Eur. Herc. 288. *δόκησις — εὐκλεής.* Sic *κρατησίμαχος* Pind. P. XI. 150., *Δεξίνικος, Κτήσιππος*, etc. Formatum ab *δοκήσω* = *δόξω*. Sic *δόκησις* = *δόξα, δοκῆσαν* = *δόξαν*, etc.

45. *κᾆτ' αὐτῷ γ'*] Ita Nub. 1068. *κᾆτ' ἀπολιποῦσα γ' αὐτὸν* etc. Vesp. 704. *κᾆθ' ὅταν οὗτός γ' ἐπισίζῃ.*

Schol. *πρὸς αὐτόν τις.* V.

46. *'Ιωνικός τις*] Cf. Plut. Apoph. Lac. p. 233 B. *μεγαλυνομένου τινὸς ἐπὶ τῇ ῥητορικῇ τέχνῃ εἶπέ τις Λάκων, Ἀλλὰ νὴ* (l. *ναὶ*) *τὼ σιὼ* etc. Vel hinc fabulam hanc Dionysiis magnis prodiisse colligere licet. Ejus enim festi tempore aderant Athenis exteri, non item Lenaeis. Cf. ad Ach. 503.

Schol. *'Ελληνικὸς, Ἀθηναῖος. Ἴων γὰρ ἀρχαῖος Ἀθηναῖος.* R.

47. *δοκέω μὲν*] Ionicum pro *δοκῶ μέν*. Fingit enim hominem Ionicum haec dicere. Ananius ap. Athen. VII. 282 C. *βοῦς δὲ πιανθεὶς, δοκέω μὲν* (sic Heringa, libri *δοκέωμεν δοκέω*), *καὶ μεσέων νυκτῶν ἡδὺς | χἠμέρης.* Soph. El. 61. *δοκῶ μὲν, οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.* 547. *δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.* Oed. C. 995. *δοκῶ μέν.* Soph. Fr. 106. *δοκῶ μὲν, οὐδείς.* Eur. Suppl. 771. *δοκῶ μὲν, αὗταί γ' εἰσιν αἱ διδάσκαλοι.* Hel. 917. 1205. Herc. 713. Plat. Soph. 221. Sic *οἶμαι μέν.* Eur. Iph. A. 392. *ἡ δέ γ' ἐλπὶς, οἶμαι μὲν, θεός.* Eur. Alc. 794. Soph. Phil. 339. Plat. Lys. 206. Vim hujus locutionis exprimas Anglice, "I think, though I may be mistaken." Is enim integer sensus est, suppressa, ut alibi saepe, altera sententiae parte. Latine dixeris, Est, ni fallor. Sic Plat. Crit. p. 43 D. *οὗτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον.* Men. p. 82 B. *Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει;* V. Donaldson New Crat. p. 187. Matth. Gr. § 630. 2. Herm. ad Eur. Suppl. 794.

ἐς Κλέωνα. Qui erat coriarius. Male autem olent coria non minus quam scarabaeus iste aut ejus esca. Hinc ad Cleonem in Eq. 892. *οὐκ ἐς κόρακας ἀποφθερεῖ βύρσης κάκιστον ὄζων;* BE. V. schol.

ἐς Κλέωνα τοῦτ' αἰνίσσεται] Cf. Eq. 1085. *ἐς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.* Av. 970. *ᾐνίξαθ' ὁ Βάκις τοῦτο πρὸς* (f. *τοῦτό γ' ἐς*) *τὸν αἰθέρα.* Schol. Av. 379. *ταῦτα δὲ εἰς Συρακούσας αἰνίττεται.* Schol. Av. 1106. *αἰνίττεται δὲ καὶ εἰς τὸ φιλάργυρον τῶν Ἀθηναίων.* Schol. Lys. 313. *φασὶ ταῦτα αἰνίττεσθαι εἰς Φρύνιχον.* Arg. Dem. Or. VI. *ταῦτα δὲ εἰς τὸν Αἰσχίνην αἰνίττεται.* Aelian. V. H. XII. 15. *τοῦτο δὲ καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται —.*

Schol. *διὰ τὸ δύσοσμον. καὶ γὰρ αἱ βύρσαι δύσοσμοι. βυρσοπώλης δὲ ὁ Κλέων. ἐπειδὴ οἱ βυρσοδέψαι κάκιστον ὀδώδασιν. αἰνίττεται δὲ ἀντὶ τοῦ δηλοῖ. ἰδίως δὲ τὸ αἰνίττεσθαι δηλοῖ τὸ λεληθότως περί τινος λέγειν.* R. *ἐξ ἀφορμῆς θέλει εἰπεῖν τὴν ὑπόθεσιν διὰ τὸ δύσοσμον. καὶ γὰρ αἱ βύρσαι δύσοσμοι. βυρσοπώλης δὲ ὁ Κλέων.* V.

48. Cf. Eur. Cycl. 592. *ταχ' ἐξ ἀναιδοῦς φάρυγος ὠθήσει κρέα.*

κεῖνος] Cleon.



σπατίλην ἤσθιεν] Tangitur Cleonis ars impura coriaria: coriarius enim erat Cleon. Cf. 753. *βυρσῶν δομάς*. Schol: *σπάτος τὸ δέρμα, σπατίλη δὲ ὁ ῥύπος τοῦ δέρματος*, aut *τὰ μικρὰ ξύσματα τὰ ἐκβαλλόμενα ὑπὸ τῶν σκυτέων*. Cognatae voces fortasse sunt *σκῶρ* et *τιλᾶν*.

Schol. *τὴν σπατίλην ἐσθίει*: *Ἀντὶ τοῦ ἤσθιεν· ἀποθανὼν γὰρ ἦν ὁ Κλέων· σπατίλη δὲ λέγεται ἡ ἀνθρωπίνη κόπρος. διαβάλλει οὖν τὸν Κλέωνα ὡς σκατοφάγον. Ἄλλως. τὰ μικρὰ ξύσματα τὰ ἐκβαλλόμενα ὑπὸ τῶν σκυτέων. πῶς δὲ ἤσθιεν ὁ Κλέων ἤδη τεθνηκώς; Ἐρατοσθένης γὰρ ἐπὶ Θράκης τὸν θάνατον Βρασίδου καὶ Κλέωνος ὀκτὼ μησὶ προγεγονέναι φησί· καὶ αὐτὸς δὲ ἐν τούτοις* [v. 260] *φησίν "ἀπόλωλεν Ἀθηναίοις ἀλετρίβανος." ῥητέον οὖν ὅτι τὸ ἐσθίει ἀντὶ τοῦ ἤσθιεν. Ἄλλως. σπάτος τὸ δέρμα, σπατίλη δὲ ὁ ῥύπος τοῦ δέρματος*. V.

49. *Schol*. *οὐχ ὡς πίνοντος τοῦ κανθάρου, ἀλλ' ὡς ἐπὶ ἱπποτροφίας*. R.

50. *τὸν λόγον*] Argumentum. Hesychius, *λόγος*: *ἡ τοῦ δράματος ὑπόθεσις*.

51. *ἀνδρίοισι*] Homuncionibus. I. q. *ἀνδραρίοισι* (Ach. 517). Sic *ἀνθρώπιον* et *ἀνθρωπάριον*. Cf. Eupolin ap. Eust. ad Od. p. 1680, 29. *ὦ δαιμόνι' ἀνδρῶν, μή φθονερὸν ἴσθ' ἀνδρίον*. Theocr. V. 40. *ὦ φθονερόν τυ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως*.

52. *τοῖς ὑπερτάτοισιν*] Demagogos videtur notare ob fastum et superbiam. "Neque *ὑπέρτερος* Lys. 772. neque *ὑπέρτατος* Av. 1763. comicorum est. Epicum est ac tragicum. Epico tantum sermoni convenit *ὑπερηνορέουσιν* v. 53." (Bakh.)

Schol. *τοῖς ὑπερβαίνουσι τὴν τῶν ἀνδρῶν ἡλικίαν. ἢ τοῖς ὑπερηφάνοις. ἢ τοῖς τούτων ἰσχυροτέροις καὶ μᾶλλον ἀκμάζουσι. καὶ Ὅμηρος ἠγορέη*. V.

53. *ὑπερηνορέουσι*] Vox Homerica, Il. δ'. 176. ν'. 258. Od. β'. 266. 324. 331. δ'. 776. Unde servata forma Ionica. Apud Homerum *ὑπερηνορέειν* valet insolentem, arrogantem esse.

ἔτι — μάλα] I. q. *ἔτι μᾶλλον*. Cf. 280. *οἴμοι τάλας, οἴμοι γε κἄτ' οἴμοι μάλα*. 462. *ἔτι μάλα*. Ran. 864. *κἄτι μάλα τὸν Τήλεφον*. Redde: et istis qui plus sunt (seu valent) quam viri.

55. *Schol*. *οὐχ ὅνπερ ὑμεῖς*: *Διαβάλλει αὐτοὺς ὡς μαινομένοις μανίαν δικανικήν*.

56. Cf. Av. 265. *καίτοι κέχηνά γ' ἐς τὸν οὐρανὸν βλέπων*. 1671. *τί δῆτ' ἄνω κέχηνας αἰκίαν βλέπων;* 264.

δι' ἡμέρας] Cf. 27. Ran. 260.

57. *λοιδορεῖται τῷ Διί*] Cf. Xen. Cyr. I. 4. 9. *ἐνταῦθα — αὐτῷ ἐλοιδορεῖτο*. Sic *λωβᾶσθαί τινι, λυμαίνεσθαί τινι*.

58. Cf. Thesm. 71. *ὦ Ζεῦ, τί δρᾶσαι διανοεῖ με τήμερον;* Soph. Oed. R. 738. *ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;* "Bellerophontis querelas imitari videtur hic et v. 62. Cf. Th. 71." (Bakh.)

59. *κόρημα*] Scopas. Eupolis II. 490. *τουτὶ λαβὼν τὸ κόρημα τὴν αὐλὴν κόρει*. Id. II. 520. *κόρημα, κιβωτὸν, λύχνον*. Strattis ap. Poll. X. 28. *ἐπὶ τοῦ κορήματος καθέζομαι χαμαί*.

μὴ 'κκόρει] Noli deverrere. Menander apud schol. *ἐκκορηθείης σύ γε.* Theophr. Char. 27. *καὶ ἀναστὰς τὴν οἰκίαν ἐκκορῆσαι.* Ambigue videtur dictum: nam *ἐκκορεῖν* valet etiam devirginare. V. ad Thesm. 480.

Schol. *τὸ κόρημα: Τὸ κόσμητρον, τὸ σάρον, (ᾧ εἰώθασιν ἀποκαθαίρειν τὸ πλῆθος τῶν ἐν τοῖς οἴκοις ῥύπων). μὴκκόρει δὲ ἀντὶ τοῦ παῦσαι ἔρημον οἰκητόρων ποιῶν διὰ τῶν πολέμων. — ἦν δὲ καὶ ἀρά τις αὕτη τοῖς ἀρχαίοις, ὥς που καὶ ὁ Μένανδρός φησι "πολλάκις* (om. Suid. in *κόρημα.* corr. *Παλλακῇ*) *ἐκκορηθείης σύ γε," βουλόμενος τὸ ἄρδην ἀπολέσθαι σημᾶναι.* R. V.

62. Cf. Th. 71. *ὦ Ζεῦ, τί δρασαι διανοεῖ με τήμερον;* Vesp. 168. *ἅνθρωπος οὗτος μέγα τι δρασείει κακόν.* Soph. Aj. 585. *ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί;* 326. *καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.* Oed. R. 738. *ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;* Phil. 1245. *δρασείεις.* Eur. Med. 91. *ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην | τοῖσδ' ὥς τι δρασείουσαν.* Phoen. 1208. Similia verba desiderativa sunt *ἐργασείω* (Phil. 1001. *τί δ' ἐργασείεις;* Tr. 1232. *ἐργασείων*), *ἀκουσείω* (Soph. Fr. 823), *ἀπαλλαξείω, κατηγορησείω, ἀναστησείω, ἀποδωσείω, χεσείω, γαμησείω, πολεμησείω, παραδωσείω, δειπνησείω γελασείω, ὀψείω.* V. Pierson. ad Moer. p. 14.

Schol. *τί δρασείεις: Ἀντὶ τοῦ δρᾶν διανοῇ.* ⟦*εἰσιὼν δὲ ταῦτά φησιν ὁ Τρυγαῖος. τοῦτο δὲ ὄνομα κύριον, ὃ ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ, οἱ δὲ λοιποὶ ὡς τὸ Τίμαιος προπαροξύνουσι.*⟧

Τρύγαιος (ὄνομα κύριον) ἀπὸ ῥήματος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. καὶ προαναπέμπει τὸν τόνον. ὡς ἀπὸ τοῦ τιμῶ Τίμαιος, οὕτως ἀπὸ τοῦ τρυγῶ Τρύγαιος. ὁ δὲ Ἡρωδιανὸς προπερισπᾷ τὸ Τρυγαῖος. R. V.

63. *ἐκκοκκίσας*] Schol: *ἀντὶ τοῦ ἐρημώσας καὶ ἀφανίσας.* Cf. Lys. 364. 448. Ach. 1179. Nicomach. Athen. 58 A. *οὐσίδιον — ἐξεκόκκισα.* Arist. Fr. 506. *ὀξυγλύκειαν τἄρα κοκκιεῖς ῥόαν.* Lys. 364. 449. Similiter Rhes. Prol. alt. v. 10. *πόλιν | Πριάμου βίᾳ πρόρριζον ἐκτετριμμένην.*

Schol. *λήσεις σεαυτόν: Ἀντὶ τοῦ, ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις. ἐκκοκκίσας δὲ ἀντὶ τοῦ ἐρημώσας καὶ ἀφανίσας. ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους ἐκβαλλουσῶν. — ὥσπερ (γὰρ) αἱ πόλεις σκέπαι τῶν ἀνθρώπων εἰσίν, οὕτω καὶ αἱ ῥοιαὶ τῶν κόκκων. καλῶς οὖν ἐχρήσατο τῇ μεταφορᾷ, καὶ μάλιστα ἄγροικος ὢν (ὡς πρέπον ἑαυτῷ τοῦτο εἴρηκεν).* R. V. (*Τρυγαῖος δέ ἐστιν ὁ ταῦτα λέγων ἄνθρωπος γεωργός.*)

64. Cf. Nub. 26. *τοῦτ' ἐστὶ τουτὶ τὸ κακὸν· ὅ μ' ἀπολώλεκεν.* 1052. *ταῦτ' ἐστὶν αὔτ' ἐκεῖνα | ἃ* etc. 353. *ταῦτ' ἄρα ταῦτα* etc.

65. *τῶν μανιῶν*] Plurale ut saepe alibi, Nub. 832. *σὺ δ' ἐς τοσοῦτο τῶν* (*τοσουτονὶ*?) *μανιῶν ἐλήλυθας —;* 136. Th. 680. 793. Lys. 342.

Schol. *τῶν μανιῶν: Ἀντὶ τοῦ, τῆς μανίας. — καὶ ἐν Νεφέλαις* [832] "*σὺ δ' εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας.*" R. V. (*λέγεται δὲ καὶ ἑνικῶς "ἡ μανία μ' ἐπέρχεται," ὡς ἐπιτοπλεῖστον δὲ πληθυντικῶς.*)

66. *ἤρχεθ'*] Ab *ἄρχομαι.*

ἡ χολή] Insania. Unde *χολᾶν* insanire Nub. 833.

68. *εὐθὺ τοῦ Διός*] Cf. 77. 301. 819. Eq. 254. Av. 1421. Eccl. 835. Fr. 216. 527. Plat. Theag. 129. *ἡνίκ' ἀποθανούμενος ἤει εὐθὺ τοῦ δημίου.* *Schol.* *εὐθὺ τοῦ Διός: Ἀντὶ τοῦ πρὸς τὸν Δία. καὶ διὰ τούτου τὴν ὑπερηφανίαν αὐτοῦ δηλοῖ. — οὐκ ἀρκεῖ ὅτι ἐπὶ κανθάρου ἐπιβῆναι τοῦ οὐρανοῦ προσδοκᾷ, ἀλλὰ καὶ εὐθὺ τοῦ Διὸς ἐβούλετο ἐλθεῖν, ὅ ἐστι πρὸς τὸν Δία, ὥσπερ εἰς ὡρισμένον τινὰ διατρίβοντος αὐτοῦ τόπον καὶ μὴ πάντα πληροῦντος τὸν οὐρανόν.* R. V.

69. *ποιούμενος*] Fieri sibi curans. Vox media. Cf. Thuc. III. 20. *κλίμακας ἐποιήσαντο.* et ad Thesm. 425. Eq. 784.

70. *πρὸς ταῦτ' ἀνερριχᾶτ' ἄν*] Anglice, he would clamber up these. Schol: *ἀπὸ τῶν ἀρρίχων· εἶδος γάρ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν.* Primaria igitur verbi significatio erat cophini instar viminei funibus attolli, deinde manibus pedibusque scandere. Moeris p. 63. *ἀναρριχᾶσθαι, Ἀττικῶς. προβαίνειν ἀνέρπων, Ἑλληνικῶς.* Cf. Hellanici locum ap. schol: *ἀναρριχῶνται δὲ ὥσπερ οἱ πίθηκοι ἐπ' ἄκρα τὰ δένδρα.* Arist. H. A. IX. 40. 14. *ἀριχώμεναι (ἀναρριχ.?) πρὸς τὰ βρία (μέλιτται).* Lucian. Lexiph. 8. *ἐπὶ τὴν κατήλιφα ἀναρριχησάμενος.* Liban. II. 317 F. *ἀναρριχώμενος — εἰς μέσα πύργου τινὸς διαδὺς ἦλθε.* Simplici forma *ἀρριχᾶσθαι* usus est Hipponax teste Etym. M. p. 99, 20. Exempla collegerunt Oudend. ad Thom. M. in v. et Piers. ad Moer. p. 64. De derivatione hujus verbi ambigitur apud grammaticos, quorum alii ab *ἄρριχος* cophinus (Av. 1309) deducunt, alii ab *ἀράχνη* per literarum transpositionem, ideoque *ἀναριχᾶσθαι* scribendum simplici *ρ* praecipiunt. Sed compositum potius videtur ab *ἀνά* et verbo obsoleto *ῥιχᾶσθαι.* Et multo probabilius videtur v. *ἀράχνη* seu *ἀράχνης* ab *ἀναρριχᾶσθαι* derivatum, quam hoc ab illo. Cognatum verbum videtur *ὀριγνᾶσθαι,* quod legitur in Hesiod. Scut. 189. *ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.* Eurip. Bacch. 1253. *ὅτε — θηρῶν ὀριγνῷτ'.* Et *ὀριγνηθῆναι* sensu *τοῦ ἐπιθυμῆσαι* ex Antiphonte laudat Harpocration in v. Ab eadem stirpe venit, opinor, nostrum to reach (*ριχ*).

Schol. ⟦*ἀνερριχᾶτο: Τὸ πρὸς τοίχους ἀναβαίνειν καὶ χερσὶ καὶ ποσὶν ἀναρριχᾶσθαι φασί. γίνεται δὲ ἐκ τοῦ ἀράχνης ἀραχνιῶ, καὶ ἐν ὑπερβασμῷ ἀναρριχῶ.*⟧

πρὸς τὸ ὕψος ἀνέβαινε. πρὸς δένδρα καὶ τοίχους ἢ σχοινίον ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀναρριχᾶσθαι λέγεται. (φησὶ δὲ Ἐρατοσθένης Κυρηναίους οὕτω λέγειν.) εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων. εἶδος γάρ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καὶ ἔστιν οἷον ἀραχνᾶσθαι. αἱ δὲ ἀράχναι πολλάκις νήθουσι κατὰ τὰς ἐναερίους ὁδούς. R. V. *Ἄλλως. καὶ τὸ ἀναρριχᾶσθαι δὲ τοῖς Ἀττικοῖς παρὰ τὸ ἀρχαῖον ἐστι γενόμενον ἀραχνιῶ, καὶ ἐν ὑπερθέσει τῶν στοιχείων ἀναρριχῶ, τοῦ μὲν ν εἰς τὴν χώραν τοῦ ρ τεθέντος, τοῦ δὲ ι ἀμοιβαίως, καὶ τοῦ ρ εἰς τὴν χώραν τοῦ ν, τοῦ δὲ χ πλησίον τοῦ ω. ταῦτα Ἡρωδιανὸς ἐν τῷ ς' τῆς καθόλου. Ἄλλως. τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν ἀναρριχᾶσθαι ἔλεγον. Ἑλλάνικος "ἀναρριχῶνται δὲ ὥσπερ οἱ πίθηκοι ἐπ' ἄκρα τὰ δένδρα." Ἄλλως. ἀνιέναι ἐπειρᾶτο εἰς τὸν οὐρα-*

νόν. ἐναργεῖ δὲ λέξει ἐχρήσατο τῷ ἀναρριχᾶται, ἐπεὶ διὰ τῶν χειρῶν δοκοῦσι μάλιστα ἀνέρχεσθαι ἐρειδόμενοι αὐταῖς καὶ ἑλισσόμενοι οἱ διὰ κλιμάκων τὴν ἄνοδον ποιούμενοι. V.

71. *ξυνετρίβη τῆς κεφαλῆς*] Atticam hanc genitivi structuram dicunt Schol. et Greg. Cor. p. 51. Cf. ad Ach. 1180. *καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών.* Vesp. 1428. *κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα.* Lucian. Cont. 5. *ξυντριβέντες τῶν κρανίων.* Isocr. p. 381 A. *ἠτιῶντο τὸν Κρατῖνον συντρῖψαι τῆς κεφαλῆς αὐτῆς* (*αὐτήν*?). Plat. Gorg. p. 51. *κἄν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα μάλα.* Andoc. I. 61. *ἐπὶ πωλίον — ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν* (*τῆς κεφαλῆς*?) *κατεάγην.* Lys. III. 8. *βάλλων λίθῳ συντρίβει τὸ μέτωπον.*

Schol. τῆς κεφαλῆς: Παρατετήρηται τοῦτο πολλάκις τὸ σχῆμα· Ἀττικοὶ γὰρ ἐπὶ γενικῆς τάττουσιν. V.

72. *ἐκφθαρείς*] Sic Eccl. 248. *προσφθαρείς.* Av. 916. *ἀνεφθάρης.* Nub. 789. *οὐκ ἐς κόρακας ἀποφθερεῖ;* Eq. 892. Lucian. Dial. Mer. 15, 2. *ἐκφθείρου, φησί.* Eur. Herc. 1290. *οὐ γῆς τῆσδ' ἀποφθαρήσεται;* Andr. 708. *εἰ μὴ φθερεῖ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης.* Cf. *εἰσέρρειν* Eq. 4. Th. 1075.

Schol. ἐκφθαρείς: Ἐξελθών. οὕτω δὲ ἔλεγον τὸ ἐπὶ κακῷ ἐξελθεῖν που.

73. *Αἰτναῖον — κάνθαρον*] Intellige **scarabaeum Aetnae instar ingentem.** Schol: *ὑπερμεγέθη· μέγιστον γὰρ ὄρος ἡ Αἴτνη.* Apost. I. 79. *Αἰτναῖος κάνθαρος: ἐπὶ τῶν μεγάλων τῷ σώματι.* Greg. Cypr. II. 24. *Αἰτναῖον κάνθωνα: τὸν μέγαν.* Hesych: *Αἰτναία πῶλος: ἡ Σικελική, ἡ μεγάλη ἀπὸ μέρους.* Cf. Aesch. ap. schol. *Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων* (*πονῶν*?). Soph. ap. schol. *ἀλλ' οὐδὲ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων | πάντως.* Epicharm. ap. schol. et Athen. 408 D. et 362 B. *Πυγμαρίων λοχαγὸς ἐκ τῶν κανθάρων | τῶν μειζόνων, οὕς φαντι τὰν Αἴτναν ἔχειν.* Plat. com. ap. schol. *ὡς μέγα μέντοι πάλαι* (*πάνυ* Meinek.) *τὴν Αἴτνην ὄρος φασὶ τεκμαίρου, | ὅθεν τρέφεσθαι | τὰς κανθαρίδας ἀνθρώπων ἔστιν λόγος οὐδὲν ἐλάττους.* Soph. Oed. C. 312. *γυναῖχ' ὁρῶ — Αἰτναίας ἐπὶ | πώλου βεβῶσαν.* Ran. 1056. *ἢν οὖν σὺ λέγῃς Λυκαβηττοὺς | καὶ Παρνήθων ἡμῖν μεγέθη.* Plaut. Mil. Glor. IV. 2. 73. **Aetna non aeque est alta.**

(*Schol.*) *Αἰτναῖον μέγιστον κάνθαρον: Ὑπερμεγέθη· μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. ἢ ὅτι διάφοροι κάνθαροι ἐκεῖ εὑρίσκονται. — Ἄλλως. μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. μαρτυροῦσιν δὲ οἱ ἐπιχώριοι. Ἐπίχαρμος ἐν Ἡρακλεῖ τῷ ἐπὶ τὸν ζωστῆρα "Πυγμαρίων λοχαγὸς ἐκ τῶν κανθάρων τῶν μειζόνων, οὕς φασι τὴν Αἴτνην ἔχειν." τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος· λέγει δὲ ἐν Σισύφῳ πετροκυλιστῇ "Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων." Σοφοκλῆς Δαιδάλῳ "ἀλλ' οὐ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων πάντως." λέγει δὲ πάντως εἰκάζων εἰς μέγαν. Πλάτων ἐν Ἑορταῖς "ὡς μέγα μέντοι πάνυ τὴν Αἴτνην ὄρος εἶναί φασι τεκμαίρου, ὅθεν τρέφεσθαι τὰς κανθαρίδας τῶν ἀνθρώπων ἐστὶν λόγος οὐδὲν ἐλάττους."* V. *ἢ ἀντὶ τοῦ μέγαν ὡς τὴν Αἴτνην. ἢ ὅτι οἱ Αἰτναῖοι*

ἵπποι διαβόητοι καὶ τὸν δρόμον ἀξιόλογοι καὶ τὰ ζεύγη ἐπαινετοί. — *καὶ Πίνδαρός φησιν* [fr. 33] "*ἀλλ' ἀπὸ τῆς ἀγλαοκάρπου Σικελίας ὄχημα.*" V.

74. *ἱπποκομεῖν*] Quia cantharus equi loco futurus est Trygaeo.

75. *καταψῶν*] Aelian. V. H. IV. 17. *καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείνοντα αὐτόν.*

Schol. *καταψῶν*: (*Καταπραΰνων, ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν.*) — *ἀντὶ τοῦ κολακεύων, πραΰνων.* R.

πωλίον: (*Πῶλος καὶ ἵππος. πῶλοι δὲ κυρίως τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν ψηλαφᾶν καὶ κολακεύειν οἱ ἄνθρωποι.*) — *ὑποκοριστικῶς.* R.

76 sq. "Antiquissimum de Bellerophonte testimonium praebet Hom. Il. VI. 155 sqq. Bell. falsa Anteae criminatione Proeto suspectus mittitur in Lyciam, hostes et chimaeram devincit, filiam regis Lyciae uxorem ducit, *ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν,* | *ἤ τοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο* | *ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.* Filius enim filiaque a Marte et Diana necati erant. Hesiodus narrat Bellerophontem cum Pegaso Chimaeram interfecisse, Theog. 325. *τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης,* et Pegasum, quem non noverat Homerus, in coelum advenisse v. 283. *προλιπὼν χθόνα μητέρα μήλων* | *ἵκετ' ἐς ἀθανάτους.* Crevit fabula eundo. Tradit Pindarus (Ol. XIII. 120 sqq.) Bellerophontem Pegaso vectum pugnam iniisse et (Isthm. VII. 64 sqq.) eum, coelum cum visere vellet, in terram dejectum esse et misere periisse, *ὅ τοι πτερόεις ἔρριψε Πάγασος* | *δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς* | *ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν* | *Ζηνός.* Equum autem in coelum evolasse, Ol. XIII. 131. *τὸνδ' ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται.* Fabulam qualem tradidit Pindarus expressit Euripides. Schol. Pac. 147. *ἐκεῖνος* (Euripides) *δρᾶμα ἐποίησε τὸν Βελλεροφόντην, ἐν ᾧ χωλὸν εἰσήγαγεν αὐτὸν διὰ τὸ πεπτωκέναι ἀπὸ τοῦ Πηγάσου βουλόμενον εἰς οὐρανὸν ἀνελθεῖν.*" (Bakh.)

76. Euripidis ex Bellerophonte verba contulit scholiasta, *ἄγ', ὦ φίλον μοι Πηγάσου ταχὺ πτερόν.* Cf. 135. *οὔκουν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερὸν —;* Eur. Phoen. 806. *τὸ παρθένιον πτερὸν — Σφιγγός.*

Schol. *ὦ Πηγάσιον*: *Παρὰ τὰ ἐκ Βελλεροφόντου Εὐριπίδου. ἐκεῖνος γὰρ διὰ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμει εἰς τὸν οὐρανὸν ἀνελθεῖν.* "*ἄγ' ὦ φίλον μοι Πηγάσου πτερόν*" (*ταχύπτερον* Suid. v. *ἐώρημα*).

διὰ τούτων τὴν περὶ τὸν δεσπότην πλέον ἄνοιαν καὶ μανίαν δείκνυσι, τιμίῳ ἵππῳ παραβάλλοντα αὐτὸν ἀποφαινόμενος τὸν κάνθαρον. καὶ χάριν περιποιεῖ πολλὴν τῷ ποιήματι. V.

77. Hyberbaton ut in 111. *ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται* | *ὑμᾶς ἐρήμους ἐς τὸν οὐρανόν.* Cf. ad Pl. 204.

εὐθὺ τοῦ Διός] Cf. 301. Av. 1421. Pac. 161. *ὀρθῶς χωρεῖ Διὸς εἰς αὐλάς.*

78. *διακύψας*] Eccl. 930. *σὺ δὲ τί διακύπτεις;* Th. 644. *τοδὶ διέκυψε* etc. Reg. II. 9. 30. *Ἰεζάβελ — διέκυψε διὰ τῆς θυρίδος.*

Schol. (*διακύψας ὄψομαι*: *Βούλεται παραγενέσθαι καὶ θεάσασθαι. δῆλον δὲ ὅτι ἐκ τοῦ παρακῦψαι καὶ ἰδεῖν τὸ λοιπὸν μετέωρον αἰρόμενον πρὸς τὸν δεσπότην ταῦτά φησιν ὡς φοβούμενος.*)

80. Suidas v. *αἰώρημα. μετέωρος δὲ αἴρεται* (Bellerophon) *ἐπὶ μηχανῆς· τοῦτο δὲ καλεῖται ἑώρημα.*

Schol. μετέωρος δὲ αἴρεται ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται ἑώρημα. ἐν αὐτῇ δὲ κατῆγον τοὺς θεοὺς καὶ τοὺς ἐν ἀέρι λαλοῦντας. V.

81. *ἱππηδόν*] Cf. Aesch. Suppl. 438. Sic *κτηνηδὸν* Herod. IV. 180. *ταυρηδὸν*, etc.

Schol. ἐπὶ τοῦ κανθάρου: *Τῇ ἐπαγωγῇ τοῦ κανθάρου τὸ γελοῖον μᾶλλον ἔδειξε καὶ τὸ ἀπίθανον ἤλεγξεν· οὐ γὰρ οἷόν τε ἱππεύειν ἐπὶ κανθάρου.*

82—101. "Sunt paratragoedia." (Bakh.)

82. Meminerit lector *ὕπαιθρον* fuisse theatrum; quo facilius in coelum ascendere spectatoribus visus sit Trygaeus. Cf. Eq. 165 sq. Nub. 323 sq. Similiter in Aeschyli Prometheo inducitur Oceanus *οἰωνῷ πτερυγωκεῖ τετρασκελεῖ* vectus. Ceterum notandus rhythmus hujus versus, cursui equi concitato egregie conveniens.

ἥσυχος ἥσυχος] Sub. *χώρει* aut *ἔχε*.

ἠρέμα] "Adverbii *ἠρέμα* tam rarus est in poesi Attica usus ut tria tantum apud Aristophanem, nulla in Comicorum fragmentis neque in Tragicorum fabulis exempla reperiantur. Idem fere de adverbio *ἀτρέμα* et adjectivo *ἀτρεμαῖος* dicendum, quorum nulla apud Aeschylum et Sophoclem, perpauca apud Euripidem reperiuntur exempla." (Dind. in Praef. Soph. p. IX. ed. 1863.) Cf. ad Ran. 315.

κάνθων] Sic scarabaeum appellat, nomine quod proprie asinum significat, unde deductum *κάνθαρος*, quia scarabaeum ex asinino stercore nasci naturae rerum imperitum vulgus credebat. BR. Supra v. 4. *ὀνίδας* dabat comedendas scarabaeo. BE. Cf. Vesp. 179. *Ὑποκοριστικὸν* etiam sonat *κάνθων* pro *κάνθαρος*. Schol: *κυρίως ὁ ὄνος· νῦν δὲ ὑποκοριστικῶς, ὦ κάνθαρε.*

Schol. [[*ἥσυχος*: *Τὰ ἑξῆς ιθ' κῶλα ἀναπαιστικά, πλὴν τοῦ ι', δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ Τρυγαῖος ἐπιβεβηκὼς τῷ κανθάρῳ ταῦτά φησιν.*]]

διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν τῶν ὑποκριτῶν Τρυγαίου καὶ τοῦ οἰκέτου ἐννεακαιτριακοντάμετρον εἴκοσι κώλων. ἔχει μονόμετρον τὸ δέκατον. Ἄλλως. V. *ἀναγκαίως αὐτῷ παραινεῖ μὴ διώκειν εὐθὺς ἀπ' ἀρχῆς τὰ μετέωρα τῶν ἀερίων, ἀλλ' ἱδρώσαντα πρῶτον, ἵνα τὸ πυρῶδες κατάστημα τοῦ αἰθέρος ὑπομεῖναι δυνηθῇ τῇ νοτίδι παραμυθούμενος.* R. V.

ἠρέμα κάνθων: (*Κάνθων κυρίως ὁ ὄνος, νῦν δὲ ὑποκοριστικῶς ὦ κάνθαρε. ὁ Τρυγαῖός ἐστιν ἔνδοθεν ταῦτα λέγων καὶ παρακελευόμενος, ἐπιβεβηκὼς ἤδη τῷ κανθάρῳ καὶ μετέωρος ἀρθείς, ὥσπερ εὐλαβούμενος μὴ ἐξαρπάσῃ αὐτόν. καὶ τοῦτο δὲ γελοίου χάριν παρείληπται τῷ ποιητῇ. φησὶν οὖν ἀτρέμα μοι πέτου, ὦ κάνθων, ὡς δεδιώς. κάνθωνας δὲ ἔλεγον*

τοὺς ὄνους, νῦν δ' ἔπαιξε τὸ κάνθων παρὰ τὸν κάνθαρον.) κάνθαρος λέγεται παρὰ τὸν κάνθωνα, τουτέστι τὸν ὄνον καὶ παρὰ τὸν ὀρὸν τουτέστι τὸ σπέρμα. φασὶ γὰρ ὅτι ὁ κάνθαρος οὕτω τίκτεται· ἐπὰν εὕρῃ ὄνου κόπρον στρογγύλην, μένει κυλίων τοῖς ποσὶ καὶ ἐν τῷ κυλίειν ἀποσπερμαίνει, καὶ ἐκ τούτου ὁ κάνθαρος ζῷον γίνεται. — ὅθεν καὶ τὴν ὀνομασίαν ἔχει παρὰ τὸν κάνθωνα τὸν ὄνον καὶ παρὰ τὸν ὀρὸν τὸ σπέρμα, κάνθαρός τις ὤν. ἢ παρὰ τὸν θορὸν, ὃ δηλοῖ τὸ σπέρμα. ἢ ὁ θορὼν παρὰ τὸν κάνθωνα ἀντὶ τοῦ παρὰ τὴν κόπρον τοῦ ὄνου. ἢ ἐκ τοῦ κάνθωνος ὀρούων.

83. σοβαρῶς] Cf. Nub. 406. Liban. Epist. 20. βαδίζειν μετὰ σοβαροῦ τοῦ βαδίσματος οἷά τις ἀλαζὼν etc.

Schol. μή μοι σοβαρῶς: (Μὴ ἐκθύμως ἄγαν μηδὲ σπουδαίως. τὰ δὲ τῶν ἵππων πλεονεκτήματα περιτίθησι τῷ κανθάρῳ· ἁβρύνεσθαι γὰρ καὶ γαυριᾶν αὐτὸν, ὃ μάλιστα τοῖς καλλιστεύουσι τῶν ἵππων ἔθος.) — Ὅμηρος [Il. Z, 506] "ὡς δ' ὅτε ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ" καὶ [509] "κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει." οὕτως οἱ σοβαροὶ θέουσιν ἵπποι. τοῦτο καὶ ἱππικῆς ἔμπειρος οὐ βούλεται αὐτὸν ἀθρόως διαδραμεῖν. V. ἐπιβεβηκὼς τῷ κανθάρῳ τοῦτο λέγει. τὸ δὲ εὐθὺς ἀπ' ἀρχῆς λέγει ὡς ἵπποις (ἱππικῆς?) ἔμπειρος οὐ βούλεται αὐτὸν ἀθρόως διαδραμεῖν. R.

σοβαρῶς: Σεσοβημένος βαρέως. καὶ ἐν Νεφέλαις [406] ἐπὶ τοῦ κεραυνοῦ "σοβαρῶς χωρεῖ διὰ τὴν πυκνότητα." V.

84. ῥώμῃ πίσυνος] Thuc. II. 89. τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται. Plut. 449. ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;

85. ἰδίῃς] Cf. Schol. et Ran. 238. ὁ πρωκτὸς ἰδίει πάλαι. Av. 792. οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον. Lucian. Eun. 7. ἠρυθρία καὶ ἰδίων φανερὸς ἦν.

διαλύσῃς ἄρθρων ἶνας] Hoc διαχαλᾶν τὸ σῶμα de equo agens dicit Xenophon Eq. 7, 11. DIND. Th. 48. θηρῶν δ' ἀγρίων πόδες ὑλοδρόμων | μὴ λυέσθων.

Schol. πρὶν ἂν ἰδίῃς: ἀντὶ τοῦ πρὶν ἱδρώσῃς. Ὅμηρος [Od. Y. 204] — "ἴδιον ὡς ἐνόησα." καὶ τὸ καῦμα ἰδάλιμον, ἱδρῶτος περικαυστικόν. V. οἱ γὰρ ἵπποι ἐν μὲν τῇ ἀρχῇ οὐκ εἰσὶν ὀξεῖς ἐν τῷ δρόμῳ, καμόντες δὲ καὶ ἱδρώσαντες διαλυθέντων τῶν μελῶν ὀξύτεροι γίνονται. — τὸ δὲ σοβαρῶς, μὴ ἄγαν σπουδαίως πέτου. R.

86. ἶνας] Theocr. I. 43. αἱ δέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες. Lys. 684. λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δή (qu. ἶν' ἐγὼ δή, aut τὰς — ἶνας ἤδη).

πτερύγων ῥύμῃ] I. q. ὁρμῇ. Av. 1182. ῥύμη δὲ καὶ πτεροῖσι καὶ ῥοιζήμασιν | αἰθὴρ δονεῖται. Nub. 407. Thuc. VII. 70. Plat. Epin. p. 257. Dem. p. 546. ἡ ῥύμη τῆς ὀργῆς. Vesp. 1487. ὑπὸ ῥύμης.

87. μὴ πνεῖ μοι κακόν] Aeschyl. ap. Athen. 17 C. χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί.

Schol. καὶ μὴ πνεῖ μοι: Μὴ βδέσῃς. ἐκ γὰρ τῆς ἄνω πνοῆς καὶ τοῦ ἱδρῶτος ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου. (δῆλον δὲ ὅτι καὶ αὐτὸ πρὸς τὰς τροφὰς αἰνίττεται.)

90. *ὦ δέσποτ' ἄναξ*] Deorum titulus videtur fuisse *ἄναξ*, sed quo servi etiam heros quandoque insignirent. Eur. Hipp. 33. *ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεών*. Forte *ἄνακτα* vocat eum quia sublimis volat propior diis: ita putat Scholiastes. BE.

παραπαίεις] Deliras. Cf. Plut. 508. *ξυνθιασῶτα τοῦ ληρεῖν καὶ παραπαίειν*. Plat. Conv. 173 E. *ὅτι — μαίνομαι καὶ παραπαίω*. Polyb. IV. p. 416. *ἀγνοοῦντες καὶ πολὺ παραπαίοντες τοῦ δέοντος*. Eodem sensu *παρακόπτειν, παραχορδίζειν*.

Schol. ὦ δέσποτ' ἄναξ: Διὰ τὸ μετάρσιον αὐτὸν ἦρθαι καὶ προσδοκᾶν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ θειοτέρᾳ αὐτὸν ἐτίμησε φωνῇ ἄνακτα εἰπών.

92. *μετεωροκοπεῖς*] Sublimis volitas. Vox comice ficta. Cf. v. *θαλαττοκοπεῖν* Eq. 830. *πιττοκοπεῖν* Alex. com. III. 508. et *μετεωροπολεῖν* ap. Hesych..

Schol. μετεωροκοπεῖς: (Ποῦ δὴ) περὶ τὰ μετέωρα πέτει καὶ μάτην καὶ ὡς ἔτυχε κάμνεις. μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλατταν τύπτειν. — ἔφη δὲ καὶ ἐν ταῖς Νεφέλαις [360] *μετεωρολέσχας* (imo *μετεωροσοφιστάς*, et *μετεωροφένακας* 333, *ἀδολέσχας* 1485) *τοὺς φιλοσόφους ὅτι τὰ οὐράνια περινοοῦσιν* (*περιφρονοῦσιν*? cf. Nub. 225). *μετενήνεκται δὲ ἡ λέξις παρὰ τὸ* [Eq. 830] "*τί θαλασσοκοπεῖς καὶ πτερυγίζεις;*" V.

94. Cf. Nub. 176. *τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;*

Schol. (*παλαμησάμενος: Μηχανησάμενος καὶ ἐγχειρήσας, ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευάζομεν.*)

95. *τί μάτην οὐχ ὑγιαίνεις;*] I. e. *τί μάτην νοσεῖς;* ut est in Soph. Aj. 635. *ὁ νοσῶν μάταν* (de Ajace furibundo). Cf. Aesch. Cho. 881. *καθεύδουσιν μάτην*. Eur. Hipp. 916. *ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην*. Pl. 364. *οὔ τοι — ὑγιαίνειν μοι δοκεῖς*. 507. *ἀλλ' ὦ — ἀναπεισθέντ' οὐχ ὑγιαίνειν*. 1060. 1066. Nub. 1275. "Eodem sensu *μάταιος ματαιάζω ματαιόφρων* et quae sunt reliqua hujusmodi dicuntur." DIND. Gorgias Encom. om. Hel. p. 100. *πολλοὶ ματαίαις νόσοις καὶ δυσιάτοις μανίαις περιέπεσον*.

Schol. τί πέτει: Παρὰ προσδοκίαν, ὡσανεὶ ἔλεγε τί κάμνεις. ἀπὸ κοινοῦ δὲ τὸ μάτην, ἵν' ᾖ τί μάτην πέτει.

96—101. Cf. Th. 39—48.

96. *φλαῦρον*] Male ominatum.

Schol. φλαῦρον: Ἀντὶ τοῦ φλύαρον, ἀηδές, δύσφημον.

97. *ὀλολύζειν*] Est jubilare et cum acclamatione precari. Recte autem jungit cum *εὐφημεῖν*: hoc enim ipsum est. Sic Aeschylus in Agam. v. 28. *ὀλολυγμὸν εὐφημοῦντα — ἐπορθιάζειν*. Ibid. v. 595. *ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν | ἔλασκον εὐφημοῦντες*. Schol: *τὸ μετὰ κραυγῆς εὔχεσθαι*. Hesych: *ὀλολυγή: φωνὴ γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι*. Vox propria sacrorum. Cf. Eq. 1327. Ceterum notanda parechesis *γρύζειν — ὀλολύζειν*.

Schol. ὀλολύζειν: Τὸ μετὰ κραυγῆς εὔχεσθαι. — Ὅμηρος [Il. Z. 301.] "*αἱ δ' ὀλολυγῇ πᾶσαι.*" *Ἄλλως. εὔχεσθαι. καὶ Εὐριπίδης Ἐρεχθεῖ* "*ὀλο-*

λύζετ', ὦ γυναῖκες, ὡς ἔλθῃ θεὰ | χρυσῆν ἔχουσα γοργόν' ἐπίκουρος πόλει." V.

99. Cf. 151—153. 157—158. 169. 176.

κοπρῶνας] Latrinas. Cf. Th. 485. Dem. p. 785. *τῶν κοπρώνων — ἐπιστάτας. Κοπρὼν* formatum ut *κεραμὼν, ἀχυρὼν, ῥοδὼν*, etc.

λαύρας] Cf. 158. Hom. Od. χ'. 128. Herod. I. 180.

Schol. λαύρας: Λαύρας ἐκάλουν τὰς στενὰς ῥύμας, ἔνθα πᾶσα ἀκαθαρσία ἐστὶν, ἢ τοὺς ῥυπαροὺς τόπους. ἀποφράξαι οὖν παρακελεύεται καὶ πάντας τοὺς κοπρῶνας, ἵνα μὴ προσπνέοντα ἐρεθίσωσι τὸν κάνθαρον. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου ταῦτά φησι.

100. *ἀποικοδομεῖν*] Aedificando obstruere. Anglice to wall up, to block up. Scilicet ne scarabaeum odor alliciat ad terram. Bekk. Anecd. p. 428, 6. *ἀποικοδομεῖς: ἀντὶ τοῦ ἀποφράττεις.* Dem. p. 1273. 1277.

101. *τοὺς πρωκτοὺς ἐπικλείειν*] Pro *τὰ στόματα*. Cf. Eq. 1316. *εὐφημεῖν χρὴ καὶ στόμα κλείειν — ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.* Th. 40. *στόμα συγκλείσας.* Infra 151. *μὴ βδεῖτε μηδὲ χέζεθ' ἡμερῶν τριῶν*, etc. Notare videtur Athenienses ut *εὐρυπρώκτους*.

102. Cf. Pl. 18. *ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι, | ἢν μὴ φράσῃς* etc. Eur. Hipp. 604. *οὐκ ἔστ' ἀκούσας δείν' ὅπως σιγήσομαι.*

Schol.⟦*οὐκ ἔσθ' ὅπως: Τὰ ἑξῆς ιβ' ἰαμβεῖα, ὧν ἐπὶ τῷ τέλει παράγραφος.*⟧

104. *ὡς τὸν Δί' ἐς τὸν οὐρανόν*] Imitatur Lucianus II. 789. *ὡς τὸν Δί' ἐς τὸν οὐρανόν.* Cf. Thuc. IV. 79. *ἀφίκετο ὡς Περδίκκαν ἐς τὴν Χαλκιδικήν.* Andoc. 4, 12. *ἔλεγεν ὡς οὐδεπώποτε ἔλθοι εἰς Θημακὸν ὡς Φερεκλέα.* Dem. p. 129, 8. *εἰς Πελοπόννησον, εἰς Ῥόδον, εἰς Χίον.* p. 979. *εἰς ἀγρὸν ὡς αὐτὸν ἐπὶ τοὺς ἐπικλήρους.* Sed *εἰς θεοὺς* est infra 132. Av. 843. Hom. Od. υ'. 73. *προσέστιχε μακρὸν Ὄλυμπον — ἐς Δία τερπικέραυνον.*

106. Cf. 58. *ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;*

107. *καταγορεύσῃ*] Solemnis forma est *κατείπῃ*. V. Cobet. V. C. p. 37. et ad Vesp. 932.

γράψομαι — προδιδόναι etc.]·Cf. Vesp. 894. *ἐγράψατο — Λάβης' — ἀδικεῖν ὅτι* etc. Dem. p. 1204. *εἰ μὴ γράψαιτο (γράψοιτο?) Ἰφικράτην ξενίας.* "Notantur Athenienses ut *φιλόδικοι*, si nec Jupiter est securus." (Br.)

Schol. γράψομαι: Ἀντὶ τοῦ κατηγορήσω. παίζει δὲ διὰ τὸ φιλόδικον τῶν Ἀθηναίων, λέγων καὶ τοῦ Διὸς κατηγορήσω ὡς προδιδόντος τὴν Ἑλλάδα τοῖς Πέρσαις. τοῦτο δὲ λέγει ὅτι Λακεδαιμονίοις ἐβοήθουν οἱ Πέρσαι ἐν τῷ πολέμῳ τῷ Πελοποννησιακῷ. — ταῦτα δ' ἂν εἴη λέγων διὰ τοὺς αὐτομολοῦντας τῷ Μήδῳ καὶ ἀπαγγέλλοντας (καὶ ἀπαγγέλλοντας τῷ Μήδῳ?) τὰ τῶν Ἀθηναίων πράγματα, οὓς καὶ λαμβάνοντες ἐκόλαζον. R. V.

108. *Μήδοισι — προδιδόναι*] Infra 408. dicit Solem et Lunam id facere: *ἡ γὰρ Σελήνη χὠ πανοῦργος Ἥλιος — τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.* BE. Cf. Eq. 478. Th. 336. 365.

(Schol.) Μήδοισιν αὐτόν: Λεληθότως τῶν Ἑλλήνων καθάπτεσθαι βούλεται ὡς συνορώντων μὲν τὴν βλάβην, καὶ ὅτι ὑπὲρ τῶν πολεμίων ἐστί, διαφθείρεσθαι δὲ αὐτοὺς ἐώντων. ἄλλως δὲ καὶ φοβεῖν αὐτοὺς βούλεται, δεικνὺς ὅτι ἐφεδρεύοντας ἔχουσι πολεμίους τοὺς βαρβάρους, — καὶ ὅτι περ μετὰ πολλῶν χρημάτων καὶ πόνων ποιεῖν ἐκείνους ἔδει, ὥστε ἐμβαλεῖν εἰς φιλονεικίαν καὶ διάστασιν τὸ Ἑλληνικόν, ταῦτα ἐπ' οὐδενὶ κέρδει ποιοῦσιν ἑαυτοῖς. ἃ γὰρ ὑπὲρ τῶν πολεμίων πράττεται, ταῦτα οὐκ ἄδηλον ὅτι κατὰ τῶν πραττόντων γίνεται. V.

109. Schol. (οὐδέποτε ζῶντος ἐμοῦ: Οὔτε πορεύσῃ οὔτε γράψῃ ζῶντος ἐμοῦ.)

110. οὐκ ἔστι παρὰ ταῦτ' ἀλλ'] Cf. Nub. 698. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. ΣΤ. κακοδαίμων ἐγώ. Vesp. 1166.

(οὐκ ἔστι παρὰ ταῦτα: Οὐκ ἔστιν ἄλλως γενέσθαι, εἰ μὴ ἀνελθεῖν εἰς οὐρανούς.)

111. ἀπέρχεται] Abit. Anglice is setting off.

Schol. [[ὦ παιδία: Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον.]]

(ἀπέρχεται: Δηλονότι ἀπέπτη. ὁ δὲ οἰκέτης πρὸς τοὺς παῖδας ἐκείνου λέγει, πῶς καὶ αὐτοὶ δυνηθεῖεν πεῖσαι τὸν πατέρα μὴ ἀναπτῆναι.)

etc. Th. 806. πρὸς ἐκείνην τὴν Μαραθῶνι. Eq. 783. ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι. Cf. Lucian Dial. Mort. X. 4. ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα — τίς ὢν τυγχάνεις; X. 8. ὁ σεμνὸς — ὁ ἐπὶ τῶν φροντίδων. Deor. Conc. c. 9. ὁ Μίθρης ἐκεῖνος ὁ Μῆδος, ὁ τὸν κάνδυν καὶ τὴν τιάραν. Cont. c. 9. τὴν μεγάλην ἀκρόπολιν, τὴν τὸ τριπλοῦν τεῖχος. c. 14. ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα. c. 23. ἡ Βαβυλὼν — ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον. Catapl. c. 13. ποῦ 'στιν ὁ τὸ ξύλον (sc. ἔχων); Gall. c. 14. Σίμων ὁ τὰ ῥάκια τὰ πιναρά. Bis accus. c. 9. ὁ τὴν σύριγγα (Pan). c. 19. ἡ κατάγραφος, ἡ τὰ ποικίλα. Fug. c. 29. ὁ καλὸς, ὁ τὴν κιθάραν (Orpheus). Tim. c. 7. ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας. Scyth. 6. ὁ ἐπὶ συννοίας, ὁ λαλῶν ἑαυτῷ. Aelian. Ep. 3. τὴν ὗν τὴν τὰ μαλακὰ ἔρια. Alciphr. II. 1. οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις. Epigr. Anth. Pal. V. ἡ τὰ ῥόδα (Anglice, you with the roses). Vide ad Lucian. I. 365.

Schol. ὁ δεινός: Συμβολικὸν ἀπὸ τῶν διὰ δειλίαν ἀποπηδώντων. ταῦτα δέ φησι θεασάμενος τὸν Πόλεμον μείζονα τὴν ὑπόνοιαν ἔχοντα τῆς πείρας τῆς διὰ τῆς ὄψεως.

(ταλαυρίνος: Ὑπομονητικός. καρτερικὸς ἐν τῇ μάχῃ.)

242. Cf. Fr. 354. ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα (τήμερον?): (Qui versus ex Ὁλκάσιν est ejusdem fere argumenti fabula.) Soph. Oed. R. 1391. ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχου; Eurip. Orest. 973. ἰὼ ἰὼ πανδάκρυτ' ἐφαμέρων ἔθνη.

Πρασιαί] Urbs Laconicae ditionis in Peloponneso. Ejus prae aliis meminit quia alludit ad πράσον, quod in moretum immisceri solebat. Πόλεμος autem hic moretum confecturus inducitur: ideo mortarium in scenam effert, quo simulans se aliquid injicere urbes et regiones nominat. BR. Thuc. II. 56. ἀφίκοντο ἐς Πρασιὰς τῆς Λακωνικῆς πόλισμα ἐπιθαλάσσιον. καὶ τῆς τε γῆς ἔτεμον καὶ αὐτὸ τὸ πόλισμα εἷλον καὶ ἐπόρθησαν. VII. 18. etc. Prasiae urbs Laconica in finibus Epidauriorum, devastata est ab Atheniensibus belli anno secundo. Ideo autem periturum erat oppidum Prasiae quia maritimum erat adeoque triremibus Atticis expositum.

τρισάθλιαι καὶ πεντάκις] Cf. Eq. 1154. δεκάπαλαι — καὶ χιλιόπαλαι etc. Archiloch. Fr. 116. Θάσον δὲ τὴν τρισοιζυρὴν πόλιν. Τρισκακοδαίμων saepe legitur, infra 1271. Ach. 1024. Pl. 851. Ran. 19. etc.

Schol. Πρασιαί: Πόλις Λακωνική. ἅμα δὲ πράσα ἐμβάλλων ταῦτά φησιν. — ἔστι δὲ καὶ τῆς Ἀττικῆς ἐπίνειον, ὥς φησι Θουκυδίδης [VII. 18. VIII. 95] καὶ Φιλόχορος. μή ποτε δὲ οὐχ οὕτως ἔχον· οὐκ ἂν γὰρ ἔλεγεν ἑξῆς "οὐδὲν πρὸς ἡμᾶς αἱ Πρασιαί." V.

πεντάκις: Ἀντὶ τοῦ πολλάκις. V.

244. πρᾶγμα] Cf. Eccl. 462. οὐδὲ στένειν τὸν ὄρθρον ἔτι πρᾶγμ' ἀρά μοι;

245. *Schol.* οὐδὲ ἡμῖν πρᾶγμα: Πρὸς τὴν ὁμωνυμίαν φησὶ τῶν ἐν τῇ Λακωνικῇ Πρασιῶν, ὅτι ἡμεῖς τοῦ κακοῦ τούτου ἀλλότριοι ἐσμέν.

246. *Μέγαρα*] Megarenses socii Lacedaemoniorum erant, quorum mentionem facit quia allium nunc immiscet in moretum; allii autem ferax praecipue erat regio Megarensis. Vide Ach. 761.

ὡς ἐπιτετρίψεσθ'] Cf. Av. 96. *οἱ δώδεκα θεοὶ | εἴξασιν ἐπιτρῖψαί σε.* Lys. 952. *ἀπολώλεκέν με κἀπιτέτριφεν.* Soph. Oed. R. 428. *σοῦ γὰρ οὐκ ἔστιν βροτῶν | ὅστις κάκιον ἐπιτριβήσεταί ποτε.* Herod. VI. 37. *σφέας πίτυος τρόπον ἀπείλεε ἐκτρίψειν* (*ἐπι.*?). VII. 120. *κάκιστα πάντων ἀνθρώπων διατριβῆναι* (*ἐκτρ.* unus cod. qu. *ἐπιτριβῆναι*). Lucian. Icar. 33. *πάντες ἐπιτρίψονται* (*ἐπιτετρίψονται* Cobet.) *αὐτῇ διαλεκτικῇ.* Lucian. Cyn. 6. *ἐπιτριβήσεσθαι.* Alluditur autem ad allia Megarensium, de quibus vide ad Ach. 761.

Schol. *ὦ Μέγαρα*: (*Σκόροδα ἐμβάλλων ταῦτά φησιν.*) *ἡ γὰρ Μεγαρικὴ γῆ σκοροδοφόρος. σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι πᾶσα ἡ τοῦ πολέμου πρόφασις δι' αὐτοὺς δοκεῖ γεγονέναι* (*χάριν τοῦ τὸ πινάκιον συνθέντος τὸ κατ' αὐτῶν εἰς τὴν Περικλέους χάριν, ὥστε μήτε γῆς μήτε λιμένων Ἀττικῶν ἐπιβαίνειν τοὺς Μεγαρεῖς. εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους εἰς τέλεον.*) *ἅμα δὲ ταῦτα λέγων ὁ Πόλεμος σκόροδα βάλλει εἰς τὴν θυείαν, ὅθεν καὶ τὸ ἑξῆς οἰκείως ἐπαχθήσεται, τὸ ἀπαξάπαντα* (*καταμεμυττωτευμένα*).

247. *καταμεμυττωτευμένα*] Cf. Vesp. 63. *οὐδ' — αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.* Eq. 771. *ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ.*

248. *βαβαὶ βαβαιάξ*] Cf. Vesp. 235. *ἀππαπαῖ παπαιάξ.* Eq. 1. *ἰατταταιὰξ — ἰατταταῖ.* Alibi *βαβαὶ βαβαί.* Alexis Antiatt. p. 84. Achaeus trag. ap. Hesych. in *νυμφόβας.* Incertus ap. Chrysippum Athen. 158 B.

Schol. *βαβαὶ βαβαιάξ*: *Σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. δέον δὲ εἰπεῖν τὰ σκόροδα παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα.*

249. *τὰ κλαύματα*] Schol: *ἀντὶ τοῦ σκόροδα· τοῖς γὰρ ἐσθίουσι σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα.* Sic ceparum odorem causam luctus sibi esse aliquis dicit in Ranis v. 654. Cum enim interrogaretur, *τί δῆτα κλαίεις;* respondet *κρομμύων ὀσφραίνομαι.* BE. Cf. Ran. 813. *κλαύμαθ' ἡμῖν γίγνεται.* Theocr. XXIII. 32. *ἁλμυρὰ κλαύσεις.*

Schol. *κλαύματα*: *Ἀντὶ τοῦ σκόροδα.* (*οὕτω δὲ εἶπε προσκαταρώμενος.*) *τοῖς δὲ ἐσθίουσι τὰ σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. διό φησιν "ὡς δριμέα τοῖσι Μεγαρεῦσι."*

250. *Σικελία*] Caseum immiscens Siciliae meminit, quae insula optimos caseos praebebat. Vide Vesp. 897. Inimica autem Atheniensibus et illa. Haec de Leontinorum civitate, a Syracusanis male affecta, ad quam auxilium miserunt Athenienses belli anno quinto (Thuc. III.) intelligit Palmerius.

καὶ σὺ δ'] T u q u o q u e v e r o. Aliud significaret *καὶ σύ γ'.*

Schol. *Σικελία*: *Ταῦτα πάντα παρεπιγραφή ἐστι. τυρὸν δὲ ἐμβάλλων Σικελίας μέμνηται· πολὺς γὰρ ἐκεῖ τυρός. οὐκ ἄδηλον δὲ ὅτι καὶ ταύτης τὸ πλέον μέρος πολέμιον ἦν τοῖς Ἀθηναίοις. ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἧτταν.*

251. πόλις] Siciliam vocat πόλιν, cum sit insula multas habens πόλεις. Sic tamen et Euripides Euboeam insulam, in qua etiam plures sunt πόλεις, vocat πόλιν in Ion. 294. Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις, | ὅροις ὑγροῖσιν, ὡς λέγουσ', ὡρισμένη. BE. Cf. 171. et ad Vesp. 1098. διακναισθήσεται] Cf. Ran. 1228. Eccl. 957. Pherecr. II. 327. ὁ δὲ Τιμόθεός μ', ὦ φιλτάτη, κατορώρυχεν | καὶ διακέκναικ' αἴσχιστα. Aesch. Prom. 541. μυρίοις μόχθοις διακναιόμενον. Eur. Med. 163. ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ' αὐτοῖς μελάθροις διακναιομένους. Alc. 109. τῶν ἀγαθῶν διακναιομένων. Blomf. Gl. Ag. 64. Allusio ad caseum Siculum. "Nempe τυρὸν Σικελικὸν κατέκνα Polemus." (Dobr.) Pro καταχνησθήσεται. Cognatae enim formae sunt κνῶ et κναίω. Cf. Eq. 771. κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ.

Schol. ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν. καὶ Ὅμηρος πολλάκις. τὰς νήσους πόλεις καλεῖ, ὡς τὸ [Il. Ξ. 230] "Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος." καὶ Πίνδαρος δὲ [Nem. VII. 13] περὶ τῆς Αἰγίνης "ἁ μὲν πόλις Αἰακιδᾶν," καὶ Εὐριπίδης [Ion. 297] Εὔβοι Ἀθήναις ἐστί τις γείτων πόλις." V.

διακναισθήσεται: Ἀντὶ τοῦ διαφθαρήσεται. (ὡς ἐπὶ τυροῦ τοῦτο. Ὅμηρος [Il. A. 639] "ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ.") διακναίειν δέ ἐστι κυρίως τὸ ξύειν τυρὸν τῇ κνήστιδι. — δεῖ δὲ νοεῖν ὅτι πάλιν ἐνταῦθα τυρὸν ἐπιξύων καὶ εἰς τὴν θυείαν ἐμβάλλων ταῦτα λέγει. V.

252. τὸ μέλι — τἀττίκον] Cf. Th. 1192. ὡς γλυκερὸ τὸ γλῶσσ', ὥσπερ Ἀττικὸς μέλις.

Schol. φέρ' ἐπιχέω: Εὐφυέστατα τοῖς Ἀθηναίοις χαρίζεται, σεμνολογῶν τὰ κατ' αὐτούς. ὅσῳ γὰρ μέλι τιμιώτερον τῶν σκορόδων καὶ τῶν πράσων, τοσούτῳ ἀμείνων καὶ ἡ τοῦτο γεωργοῦσα γῆ. εἰπὼν δὲ τοῦτο ὁ Πόλεμος μέλι εἰς τὴν θυείαν βάλλει. — Ἄλλως. θέασαι ὅτι καὶ ἡμεῖς εὐφυῶς, εἴγε μὴ σφαλῶμεν, παρετηρήσαμεν ἐν τοῖς προλαβοῦσι τὴν ἐξήγησιν, εἴγε μειοῦν μὲν ἐν παντὶ σπουδάζει τὰ Λακωνικά, αὔξειν δὲ τὰ Ἀττικά. ἀμέλει κἀνταῦθα ποιῶν τοῦτο φαίνεται. διὸ τοῖς τε Λακεδαιμονίοις καὶ τοῖς ἐκείνων συμμάχοις ἐπαρώμενός τι φαῦλον, οἷον ἐπὶ μὲν τῶν Πρασιῶν "ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις καὶ πολλάκις, ὡς ἀπολεῖσθε τήμερον," "καὶ ἐπὶ τῶν Μεγάρων" ὡς ἐπιτρίψεσθε αὐτίκα" καὶ "ἰὼ Σικελία καὶ σὺ δὲ ὡς ἀπόλλυσαι" καὶ "οἷα πόλις τάλαινα διακναισθήσεται·" ὁπότε περὶ Ἀθηνῶν δὲ λέγει, μηδὲν δυσχερὲς μηδὲ βλάσφημον ἐπήγαγέν τι, ὁποῖον περὶ ἐκείνων φασὶν αὐτὸν εἰρηκέναι. V.

253. Cf. Eur. Hipp. Vel Fr. 11. Θησεῦ, παραινῶ σοι τὸ λῷστον, etc. χρῆσθαι 'τέρῳ] Cf. Eur. Hipp. 349. ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι.

Schol. παραινῶ σοι: Ἐν πολλοῖς κεῖται τὸ σοί. τάχα δὲ οὐκ ὠφελεῖ διὰ τὸ μέτρον εἶναι, εἰ μὴ ἄρα τὴν αι κοινὴν λάβοιμεν. V.

254. τετρώβολον τοῦτ' ἔστι] Sc. τὸ μέλι. Anglice, This is four-obol honey. I. e. pretiosum est. Schol: ἀντὶ τοῦ πολυτίμητον. Lycophro trag. Athen. 420 B. ἀλλὰ κυλίκιον | ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου. Inscr. Cant. VII. Rose. τόκου τετρωβόλου. Ran. 554. κρέα — ἀν' ἡμιωβολιαῖα. Conferri non debet Alexidis locus Athen. 117 D. διωβόλου

τοῦτ' ἔστι, ubi variae lectiones veram scripturam esse ostendunt *ὀβολοὶ μόνον* (aut *μόνου*). Nec ejusdem alter Athen. 655 F. *τριωβόλου κρέισκοι ἀστεῖον πάνυ | ὕειον*, ubi sensus est, three obols' worth of pork Nec Antiphanes Athen. 691 D. *σταχτὴ δυοῖν μναῖν οὐκ ἀρέσκει μ' οὐδαμῶς*. Nec ejusdem Athen. 161 E. *πάντα ταῦτ' ἐστὶν δραχμῆς*. 123 B *δακτύλιός ἐστί μοι δραχμῆς*. De cujusmodi locis vide ad Eq. 682. *Τετρωβόλου, τοῦτ' ἔστι* significarot this is worth four obols, this is fowr obsols' worth.

τἀττικοῦ] Mel Atticum laudat Archestratus Athen. 101 D. *μέλι ζήτησαι ἀπελθὼν | Ἀττικόν*. Menand. Fr. Inc. 160. *ἀψινθίῳ κατέπασας Ἀττικὸν μέλι*. Alciphr. III. 21. *ἀποστάζοντα (κηρία) λιβάδας Ἀττικοῦ μέλιτος*.

Schol. (*τετρώβολον*: *Ἀντὶ τοῦ πολυτίμητον. οὕτω δὲ λέγουσι τὸ τετρωβολιαῖον, τουτέστι τὸ τετρωβόλου πωλούμενον.*)

(*φείδου τἀττικοῦ*: *Οἷον φειδώ τινα καὶ πρόνοιαν ποίει τοῦ Ἀττικοῦ*) — *τουτέστι συντήρει καὶ διαφύλαττε τὸ Ἀττικόν. οὐκ ὀκνεῖν γὰρ δεῖ καὶ δεῖσθαι ὑπὲρ αὐτοῦ τοῦ θεοῦ*. V.

255. Ad hanc hujus fabulae partem refert Dobraeus fragmentum ap. Polluc. X. 188. *τήνδ'* (al. *γοῦν*) *ἀσπίδα | ἐπίθημα τῷ φρέατι παράθες εὐθέως* (*ὑπτίαν*? cf. Ach. 583).

παῖ παῖ Κυδοιμέ] Cf. Pl. 624. *παῖ Καρίων*.

Κυδοιμέ] Hom. Il. *ε*. 592. *ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυὼ | ἡ μὲν ἔχουσα Κυδοιμὸν ἀναιδέα δηϊοτῆτος*. Il. *σ*. 535. *ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ*. Hes. Scut. 156. *ἐν δ' Ὅμαδός τε Φόβος τ' Ἀνδροκτασίη τε δεδήει, | ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον*. Empedocles v. 405. *οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς — ἀλλὰ Κύπρις βασίλεια*. Ach. 573. *ποι χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;*

κλαύσει μακρά] Cf. Eq. 433. *κλάειν σε μακρὰ κελεύσας*. Vesp. 584.

256. *ἕστηκας ἀργός*] Cf. Eccl. 880. *ἕστηκα — ἀργός*. S. Matth. Ev. XX. 6. *εὗρεν ἄλλους ἑστῶτας ἀργούς*. ibid. *τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;*

Schol. (*οὑτοσὶ γὰρ κόνδυλος*: *Παρεπιγραφή· ἅμα γὰρ τῷ εἰπεῖν δίδωσιν αὐτῷ τὸν κόνδυλον.*)

257. *ὡς δριμύς*] Ita Eq. 706. *ὡς ὀξύθυμος*.

οἴμοι μοι τάλας] Cf. Soph. Phil. 788. *οἴμοι μοι τάλας*. Eur. Ion. 902 *οἴμοι μοι*. Epich. Fr. 82, 3. *οἴμοι μοι τάλας*. Sic *ἰώ μοί μοι* Nub. 1259. etc. Eur. Med. 97. *ἰώ μοί μοι*. 115.

258. *σκορόδων*] In moretum allia immisceri solebant. Pugno percussus famulus herum facete percontatur num moreto destinata allia in pugnum indiderit. BR. Acria enim sunt allia.

ἐς τὸν κόνδυλον] Pro *ἐς τὸν μυττωτόν*. Condimentum *κάνδυλον* (de quo Phot. p. 129, 15) tecte significari putat Fritzschius ad Ran. 134. idcirco quod verba *τῶν σκορόδων ἐνέβαλεν* proprie sint cibum aliquem apparantis.

Schol. *ἀντὶ τοῦ δριμύ*. R.

259. οἴσεις —;] Cf. Nub. 633. ἔξει τὸν ἀσκάντην λαβών; 1299. ᾄξεις; Av. 1572. ἕξεις ἀτρέμας;

ἀλετρίβανον] Alia forma ἀλότριψ est Anth. Pal. Ep. VI. 306.

ὦ μέλε] Undecies praeterea in fine versuum legi apud nostrum monet Richter.

(Schol.) ἀλετρίβανον: Οἱ μὲν δασέως παρὰ τὸ τοὺς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν. [καὶ δοῖδυξ μὲν Ἀττικὸν, ἀλετρίβανος δὲ Ἀσιανόν. λέγεται δὲ καὶ ἀλότριψ, ὡς ἐν ἐπιγράμματι (Aristonis Anth. Pal. VI. 306) „καὶ τοῦτον δικάρανον ἀλότριβα." καὶ ἀλετρὶς ἡ μυλωθρὸς παρὰ Καλλιμάχῳ (fr. 232).] — Κράτης παρατηρεῖν ἀξιοῖ πρὸς τοὺς λέγοντας ὅτι ὁ μὲν δοῖδυξ Ἀττικὸς, ὁ δὲ ἀλετρίβανος Ἀσιανὸς, καὶ σκυτοδέψης μὲν Ἀττικὸς, βυρσοδέψης δὲ Ἀσιανός. V.

260. εἰσῳκίσμεθα] Anglice we cane in.

Schol. χθὲς εἰσῳκίσμεθα: Συμβαίνει γὰρ τοῖς νεωστὶ εἰσωκισμένοις μὴ εὐπορεῖν πάντων τῶν ἀναγκαίων.

261. μεταθρέξεις] Anglice run and fetch. Fortius est μετατρέχειν quam μετιέναι. Cf. Av. 989. βούλει Διοπείθη μεταδράμω καὶ τύμπανα; Soph. Phil. 343. ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα. Lucian. Cont. 12. εἰ ἐκ Λυδίας μεταστέλλεσθαι τὸ χρυσίον δεήσει αὐτούς.

Schol. οὐκοῦν παρ' Ἀθηναίους: Πάλιν λεληθότως σεμνολογεῖ τοὺς Ἀθηναίους ὡς αὐτόχθονας (καὶ γηγενεῖς), ἐκ τοῦ εὑρίσκεσθαι παρ' αὐτοῖς τὰ τῶν πάλαι εἰσῳκισμένων, ὧν ἠπόρουν οἱ νεωστὶ εἰσῳκισμένοι.

262. εἰ δὲ μή γε] Cf. 828. εἰ μή γέ που.

263. εἰ δὲ μή γε, κλαύσομαι] Haec seorsim submissa voce dicit.

ἀνθρώπια] Anaxandr. com. III. 177. μικρὸν παντελῶς ἀνθρώπιον. Dem. de Cor. 242. τοῦτο — τἀνθρώπιον. Themist. Or. XXI. p. 262. πονηρὸν ἀνθρώπιον ἦν. Aliae formae leguntur ἀνθρωπάριον Pl. 416. ἀνθρωπίσκος Pac. 751. Xen. Mem. II. 3. 16. πονηρὰ ἀνθρώπια. Lucian. Cat. 12. ὁ μιαρὸν ἀνθρώπιον. Tim. 53. μιαρὸν ἀνθρώπιον. Spectatores alloquitur, ut in v. 276.

Schol. (ἀνθρώπια: Ὑποκοριστικῶς. τοῦτο πρὸς τὴν παροῦσαν συμφορὰν μειῶν αὐτούς.)

266. ταράξει . . . καθήμενος] Eccl. 221. καθήμεναι φρύγουσιν.

267. ὦ Διόνυσ'] Hunc ut Athenarum praesidem, aut ut rei scenicae patronum, aut denique ut pacis cultorem invocat.

Schol. ἀλλ' ὦ Διόνυσ': Ὡς οἰκείῳ θεῷ εὔχεται τῆς Ἀττικῆς, καὶ κυρίῳ τῶν ἐν τῷ θεάτρῳ καὶ τῶν ἐν τῇ εἰρήνῃ ἀγομένων.

268 τὸ δεῖνα] Excusantis est sese et animum ejus quem alloquitur ad malum quod dicturus est ferendum praeparantis. Nos Anglice dicemus you know. Cf. 880. Ach. 1149. Th. 620. 622. 625. Av. 647. Lys. 921. 926. 1168. Ran. 796. 918. Vesp. 524. Lucian. Vit. auct. 19. Bis Accus. 23.

Schol. (τὸ δεῖνα γὰρ ἀπόλωλ': Διὰ τούτου τὸ ῥηθησόμενον ἀηδὲς ἐκφεύγει εὐθέως λέγειν. ὅτε γάρ τι δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάσσειν, ὡς μὴ εὐθυρημονοῦντες.)

269. *ἀλετρίβανος*] Cleonem allegorice dicit pistillum, quo urbes con tunduntur. Similiter de eodem in Eqq. 981. *εἰ μὴ γένοιθ'* [*γένεθ'* *οὗτος ἐν τῇ πόλει μέγας, οὐκ ἂν ἤστην σκεύη δύο χρησίμω, δοίδυξ οὐδ' τορύνη.* Hic in Pac. 654. eum vocat *κύκηθρον καὶ τάρακτρον.* Dum autem dicit periisse Atheniensibus pistillum illud et instrumentum belli significat Cleonem jam mortuum fuisse, quod infra in loco jam adducti clarius dicitur. Perierunt autem eodem tempore Cleo dux Atheniensi et Brasidas dux Lacedaemonius. BE. Cf. etiam Ach. 936.

270. *Schol. ὁ βυρσοπώλης*: (*Τοῦτο αἰνίττεται πρὸς τὸν Κλέωνα, καὶ ὅτι μετὰ τὴν Κλέωνος τελευτὴν εἰσῆκται τὸ δρᾶμα· ἤδη γὰρ τεθνήκει* (*ὡς δὴ αἴτιον τοῦ πολέμου καὶ ὡς *αὐτὸν συνέχοντα τὸν πόλεμον.* ὡς *καὶ Θουκυδίδης ἱστορεῖ.*)

271. *εὖ γ' — ποιῶν*] Cf. 285. Ut alibi *καλῶς γε ποιῶν.* Cf. Pl. 863 *νὴ Δία καλῶς τοίνυν ἀπόλλυται.* Eccl. 803. *ἢν διαρραγῶ δὲ τί;* | *ΑΝ* *καλῶς ποιήσεις.*

ὦ πότνια δέσποιν' Ἀθηναία] Cf. Eq. 763. *τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ*

Schol. εὖ γ' ὦ δέσποινα: (*Οὕτως τὴν θεόν. τὰς δὲ γυναῖκας Ἀπτικαὶ ἵνα μὴ ὁμωνύμως. Ἄλλως. ταύτῃ εὔχεται ὅτι τῶν Ἀθηναίων ἱερὰ ἡ θεός τὸ δὲ ἑξῆς, εὖ γε ποιῶν ἀπώλετο ἐκεῖνος, εἴπερ πρὸ τοῦ ἀπολέσαι τὰ πράγματα ἡμῶν ἀπώλετο.*

272. *ἐκεῖνος*] Ille infra. Cf. 313. 649. Ran. 69.

κἀν δέοντι] Sc. *καιρῷ* (Plat. de just. 375. *ὁ ἐν τῷ δέοντι καιρῷ οἷός τε πέμπειν* etc.). Eur. Alc. 820. *οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις* Or. 212. *ὡς ἡδύ μοι προσῆλθετ' ἐν δέοντί τε.* Hipp. 923. Med. 1244 Eodem sensu *ἐς δέον.* Soph. Oed. R. 1416. *ἐς δέον πάρεσθ' ὅδε* | *Κρέων* Ant. 392. *ὅδ' ἐκ δόμων ἄψορρος ἐς δέον περᾷ.*

Schol. τῷ χρησίμῳ τῇ πόλει. R.

273. Cf. 231. *τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.*

Schol. ἢ πρίν γε τὸν μυττωτὸν: *Ἀντὶ τοῦ πρὶν ἡμῖν τὸν πόλεμον ἐπεγεῖραι. ὡς αἴτιον δὲ αὐτὸν τοῦ πολέμου διαβάλλει. — ὡς καὶ Θουκυδίδης ἱστορεῖ.* R.

274. *ἕτερον — μέτει*] Cf. Eq. 605. *μετῇσαν στρώματα.* Eur. Med. 5 *οἳ τὸ πάγχρυσον δέρας* | *Πελίᾳ μετῆλθον.*

275. *ταῦτ', ὦ δέσποθ'*] Sc. *δράσω.* Cf. Vesp. 142. *ταῦτ', ὦ δέσποτα* Ach. 815. *περίμεν' αὐτοῦ. ΜΕ. ταῦτα δή.* Vesp. 851. 1008. Eq. 111. 496. Plat. Tim. 17. *ταῦτ' ἔσται.*

ἧκε] Redi. Cf. 845. *ἧκε δεῦρ' αὖθις πάλιν.* Lys. 924. *ἧκέ νυν ταχέως πάνυ.* 731. *ἥξω ταχέως.* Xen. An. V. 1. 4. *περιμένετε ἔστ' ἂν ἐγὼ ἔλθω· ἥξω δὲ ταχέως.* Xen. An. VII. 3. 43. *ἧκε ταχὺ πάλιν.* II. 1. 9. *ἐγὼ δὲ αὐτίκα ἥξω.* II. 1. 117. II. 2. 1. II. 15. II. 3. 6. II. 3. 24. II. 3. 29.

Schol. (*ἀνύσας τι*: *Ἀπελθὼν ὁ Κυδοιμὸς ἐπανῆλθε, καὶ οὕτως τὴν ἐρώτησιν αὐτῷ προσφέρει ὁ Πόλεμος.*

ἀνύσας τι: *Ἀντὶ τοῦ ἤνυσάς τι καὶ διεπράξω καὶ φέρων ἥκεις.*)

276. *νῦν ἀγὼν μέγας*] Cf. Eur. Ph. 859. *ἐν γὰρ κλύδωνι κείμεθ' — καὶ μέγας Θήβαις ἀγών.* Thuc. II. 89. *ὁ δὲ ἀγὼν μέγας ὑμῖν.* II. 45.

καισὶ δ' αὖ — ὁρῶ μέγαν τὸν ἀγῶνα. Plat. Rep. 608 B. μέγας γὰρ ὁ ἀγών. Antiphont. ap. Stob. Flor. 68, 37. μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. Aesch. Pers. 405. νῦν ὑπὲρ πάντων ἀγών. Soph. El. 1498. λόγων γὰρ οὐ | νῦν ἐστιν ἀγὼν, ἀλλὰ σῆς ψυχῆς πέρι. Eur. Hec. 229. Phoen. 860. Med. 235. 402. Hipp. 496.

Schol. τί πεισόμεσθα: Τί ἄρα παθεῖν μέλλομεν. ἢ ἐν ποίῳ κινδύνῳ καθεστήκαμεν.

277. Σαμοθράκῃ] Herod. II. 51. ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὰ Σαμοθρήϊκες ἐπιτελέουσι. BE. Qui his sacris celeberrimis initiati erant credebantur prae caeteris probi esse ideoque precibus apud deos etiam maxime valere. Schol: δοκοῦσι γὰρ οἱ μεμυημένοι ταῦτα δίκαιοί τε εἶναι καὶ ἐκ δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. Schol. Apoll. Rh. I. 918. λέγονται γὰρ οἱ αὐτόθι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται, ὡς Ἀριστοφάνης φησίν, "Ἀλλ' εἴ τις etc." δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι οἱ τὰ μυστήρια εἰδότες. Theophrast. Char. 24. καὶ κλυδωνίου γενομένου ἐρωτᾶν εἴ τις μὴ (del.?) μεμύηται τῶν πλεόντων. Alexis ap. Athen. 421 D. ὥσπερ ὁ κεκληκὼς τὰ Σαμοθρᾴκι' εὔχεται | λῆξαι πνέοντα καὶ γαληνίσαι ποτέ. V. Suid. in Σαμοθρᾴκη. Wesseling. ad Diod. Sic. IV. 43.

Schol. ἐν Σαμοθρᾴκῃ: Ἐν Σαμοθρᾴκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακά τινα κινδύνων. ἐν δὲ τῇ Σαμοθρᾴκῃ τὰ τῶν Κορυβάντων ἦν μυστήρια καὶ τὰ τῆς Ἑκάτης. καὶ διαβόητον ἦν τὸ Ζήρινθον ἄντρον, ἔνθα τὴν Ἑκάτην ὀργιάζειν ἐλέγετο, καὶ τελετὰς ἦγον αὐτῇ τινὰς καὶ κύνας ἔθυον. (καὶ ὁ τὴν Ἀλεξάνδραν πεποιηκὼς [v. 77] μέμνηται "Ζήρινθον ἄντρον καὶ κυνοσφαγοῦς θεᾶς | λιπὼν ἐρυμνὸν κτίσμα Κυρβάντων Σάον." ἐν κινδύνοις δὲ γενόμενοι ἐπεκαλοῦντο τοὺς δαίμονας οἷς ἐδόκουν μεμυῆσθαι ἐπιφανῆναι καὶ ἀλεξῆσαι.)

278. νῦν ἐστιν — καλόν] Now is a good opportunity. Cf. 292. νῦν ἐστιν ἡμῖν — καλὸν — ἐξελκύσαι etc. Soph. Phil. 1155. νῦν καλὸν ἐπίφονον κορέσαι στόμα. Fr. 152.

Schol. μεμυημένος: Τὰ μυστήρια τῶν Καβείρων. δοκοῦσι δὲ οἱ μεμυημένοι ταῦτα (δίκαιοί τε εἶναι καὶ) ἐκ δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων.

279. ἀποστραφῆναι] Ut distorqueantur, ne redire possit. Cf. supra 267.

Schol. ἀποστραφῆναι: (Ὃ ἡμεῖς) διαστραφῆναι (λέγομεν. ἀντὶ τοῦ) κλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα. — Ἄλλως. ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδὸν, ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι. Ἄλλως. εὐξώμεθα οὖν, φησὶ, τοῦ Κυδοιμοῦ τοὺς πόδας, ὥστε μὴ δυνηθῆναι ἐπανελθεῖν αὐτὸν μηδὲ (om.?) χωλεύοντα μηδὲ κομίσαι τὸν ἀλετρίβανον. V.

280. κἄτ' οἴμοι μάλα] Iterumque magis οἴμοι. Cf. 53. καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα. 462. εἶα ἔτι μάλα. Ran. 864. κἄτι μάλα τὸν Τήλεφον. Antiphont. 131, 22. ἔτι δὲ μάλα. Redux cito est ex Lacedaemone Κυδοιμὸς, ut Amphitheus iste in Ach. 175.

Schol. καὶ πάλιν. ἦλθεν γὰρ μηδὲν ἀγόμενος, δι' ὃ ἀσχάλλει. R. V.

281. αὖ] Rursus, iterum. Dixerat enim jam supra v. 268. οὐ φέρεις; ἀπόλωλε γὰρ —] Brasidam innuit, qui periit ad Amphipolin in eodem praelio quo Cleon occisus fuit anno 3. olymp. 89, qui erat belli

decimus. V. Thuc. V. 10. BR. Ut apud Athenienses Cleon, ita apud Lacedaemonios Brasidas bellum fovebat. De his Thucydides Lib. V οἵπερ ἀμφοτέρωθεν ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν· ὁ δὲ γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν καὶ ἀπιστότερος διαβάλλων. BE.

282. *Schol.* καὶ τοῖς Λακεδαιμονίοισιν: Ὁ Βρασίδας ὁ Τέλλιδος καὶ ὃς ἦν Λακεδαιμονίων στρατηγός. καὶ οὗτος δὲ ἀνθίστατο τῇ εἰρήνῃ. ἐτελεύτησε δὲ ἐν Θρᾴκῃ.

283. ἐς τἀπὶ Θρᾴκης χωρία] Thuc. V. 2. ἐς τὰ ἐπὶ Θρᾴκης χωρία. Eurip. Epist. 61. εἰς τἀπὶ Θρᾴκης χωρία στέλλετε. Plerumque simpliciter ἐς τἀπὶ Θρᾴκης dicebant, ut in Av. 1369. ἐς τἀπὶ Θρᾴκης ἀποπέτου κἀκεῖ μάχου. Χωρία hic valet castella, stationes militares.

Schol. (εἰς τἀπὶ Θρᾴκης χωρία: Καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς Βρασίδας ἐπὶ Θρᾴκην κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτᾷ.)

284. χρήσαντες ἑτέροις] Brasidam sc. Lacedaemoniis ducem missum ad opem ferendam sociis in Thracia adversus Athenienses, ut narrat Thucyd. V. 12. Periit autem et ipse ad Amphipolin in eodem praelio quo Cleon octavo ante hanc fabulam doctam mense.

Schol. χρήσαντες: Ἐν Ἀμφιπόλει γὰρ τῆς Θρᾴκης μονομαχήσαντες ὅ τε Κλέων καὶ ὁ Βρασίδας ἀλλήλους ἀνεῖλον.

285. εὖ γε ποιήσαντες] Cf. 271.

ὦ Διοσκόρω] Qui Lacedaemone praecipue colebantur. Apte hic Laconicos deos alloquitur. Sic supra v. 271, quum de Athenis agebatur Minervam invocaverat.

Schol. Διοσκόρω: Οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο. διὸ καὶ αὐτῶν μέμνηται, ὅτι Βρασίδου τοῦ Λακεδαιμονίου ἐμνήσθη, ἐπὶ δὲ Κλέωνος τῆς Ἀθηνᾶς.

288. *Schol.* ἐγὼ δὲ δοίδυκ' εἰσιών: Ἐγὼ ἀλετρίβανον εἰσιὼν ποιήσομαι.

289. τοῦτ' ἐκεῖν'] Cf. 516. ἤδη 'στι τοῦτ' ἐκεῖνο. Av. 354. τοῦτ' ἐκεῖνο ποῖ φύγω δύστηνος; Ach. 820. τοῦτ' ἐκεῖν', ἔχει πάλιν | ὅθενπερ ἀρχὴ τῶν κακῶν ἁμῖν ἔφυ. Ran. 318. τοῦτ' ἔστ' ἐκεῖν', ὦ δέσποθ'· οἱ μεμυημένοι | ἐνταῦθά που παίζουσιν. Ran. 1342. τοῦτ' ἐκεῖν'· ἰὼ ξύνοικοι, τάδε τέρατα θεάσασθε. Eur. Tro. 626. οἲ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖνό μοι πάλαι Ταλθύβιος αἴνιγμ' οὐ σαφῶς εἶπεν σαφές. Plat. Euthyd. 296 B. τοῦτ' ἐκεῖνο, ἔφη, ἥκει τὸ αὐτὸ παράφθεγμα. Lucian. Herod. 1. τοῦτ' ἐκεῖνο ἥκειν οἱ νομίσας τὸν καιρὸν οὗ μάλιστα ἐγλίχετο. Philops. 29. τοῦτ' ἐκεῖνο ἥκειν μοι νομίσας.

ἥκει] Adest, locum habet.

Δάτιδος] Schol: Δᾶτις σατράπης Περσῶν — ἑλληνίζειν βουλόμενος εἶπεν ἥδομαι καὶ χαίρομαι, καὶ ἐβαρβάρισεν· ἔδει γὰρ εἰπεῖν χαίρω. — λέγεται δὲ τὸ τοιοῦτο δατισμός. Cf. ad Eq. 115. Alia genitivi forma Δάτιος utitur Strabo 9. p. 399. DIND. Hujusmodi barbarismus Datismus inde vocari coepit. Cf. ad Equit. 115. πέρδεται καὶ ῥέγκεται. Similis barbarismus, qua de causa non constat, occurrit in Hermippi loco ap. Athen. 426 F. ἔπειθ', ὅταν πεινῶμεθ' (πιν. libri) ἢ διψώμεθα.

Schol. τὸ Δάτιδος μέλος: Δᾶτις σατράπης Περσῶν, εὐδοκιμήσας κατά τινα χρόνον (πολεμῶν), ἑλληνίζειν δὲ βουλόμενος εἶπεν ἥδομαι καὶ χαίρομαι, καὶ ἐβαρβάρισεν· ἔδει γὰρ εἰπεῖν χαίρω. ἅμα δὲ οὗτος εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. [[οὐκ εἴρηται δὲ τὸ χαίρομαι· αὐτὸ γὰρ τὸ χαίρω αὐτοπαθὲς ὂν προϋφήρπασεν αὐτοῦ τὸ σημαινόμενον. λέγεται δὲ τὸ τοιοῦτο δατισμός.]] — στοχάζεται ὅτι εἴη ἂν διαμνημονευόμενος περὶ Δάτιδος τοῦ Πέρσου, ὅτι εἰπέ ποτε παρά τινα συνουσίαν ἥδομαι καὶ χαίρομαι, ἑλληνίσαι τι θέλων. καὶ γὰρ καὶ παρὰ παλαιοτέρου τινὸς ἐμφαίνεται. εἴη δὲ ὕπαρχος τοῦ βασιλέως τῶν ἐλθόντων ἐπὶ Μαραθῶνα, ὃν καὶ φυγεῖν φασὶ πολὺν χρυσὸν καταλιπόντα. Ἄλλως. Δᾶτις τῶν ἐν Μαραθῶνι παραταξαμένων Ἀθηναίοις στρατηγὸς Δαρείου, ὃν φασιν ἀντιποιήσασθαι τῆς Ἀττικῆς ὡς ἰδίας· ἀπὸ Μήδου γὰρ τοῦ Μηδείας καὶ Αἰγέως ἐδόκει εἶναι. Ἄλλως. Δᾶτις σατράπης Περσῶν βασιλέως, ὅστις συνεχέστερον πρεσβευόμενος εἰς Ἀθήνας ἠράσθη τῆς αὐτῶν πολιτείας, καὶ μείνας ἐκεῖ ἐβούλετο ἑλληνίζειν τῇ ὁμιλίᾳ, καὶ ἐβαρβάριζεν καὶ τοὺς τρόπους καὶ τοὺς λόγους. V. τινὲς (δὲ) Δᾶτιν λέγουσι τὸν τραγικὸν, κακῶς ὑπονοοῦντες· ἐκεῖνος γὰρ υἱὸς ἦν Καρκίνου, οὗτος δὲ ὕπαρχος Περσῶν. R. V.

290. τῆς μεσημβρίας] Cf. ad Vesp. 500. Lys. 418. Pac. 290.

291. Cf. Pl. 288. ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι. Infra 335. ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ. Diphil. IV. 404. γέγηθα καὶ χαίρω τε (χαίρω τε καὶ γέγηθα?) καὶ πτερύττομαι. Herod. VIII. 101. ταῦτα ἀκούσας — ἐχάρη τε καὶ ἥσθη. Eq. 115. ὡς μεγάλ' ὁ Παφλαγὼν πέρδεται καὶ ῥέγκεται.

κεὐφραίνομαι] Eadem crasis est in κεὐριπίδου Ran. 758.

292. Cf. 278. νῦν ἔστιν εὔξασθαι καλὸν etc. Soph. Phil. 1155. νῦν καλὸν ἀντίφονον κορέσαι στόμα.

293. Cf. 303. 353. Ach. 269. πραγμάτων τε καὶ μαχῶν — ἀπαλλαγείς. Fr. 343, 3. οἰκεῖν μὲν ἀργὸν αὐτὸν ἐν τῷ γηδίῳ | ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων.

294. τὴν πασὶν εἰρήνην φίλην] Cf. Fr. II. 1065. τῆς πᾶσιν ἀνθρώποισιν εἰρήνης φίλης.

295. ἕτερον — δοίδυκα] Alcibiadem innui arbitratur Palmerius, qui bellum hoc tempore contra Lacedaemonios strenue parabat. Thuc. V. De voce δοῖδυξ sensu tropico cf. Eq. 984.

Schol. ἀντὶ τοῦ στρατηγόν. R.

296. *Schol.* καλῶς τοὺς χρήζοντας τῆς εἰρήνης καλεῖ εἰς συμμαχίαν. δημιουργοὶ δὲ λέγονται κοινῶς οἱ δημόσιά τινα ἐργαζόμενοι· νῦν δὲ τοὺς ἀρχιτέκτονας λέγει, ἵνα ἐντέχνως ἑλκυσθῇ ἡ Εἰρήνη. Ἄλλως. V. πάντες γὰρ οὗτοι τῶν ἔργων ἐκωλύοντο πολέμου ὄντος καὶ ἠδικοῦντο, οἱ μὲν γεωργοὶ κωλυόμενοι γεωργεῖν, οἱ δὲ ἔμποροι ὑφ' ὧν ἂν περιέτυχον πονηρῶν, οἱ δὲ τέκτονες ἀναγκαζόμενοι ναυπηγεῖν τριήρεις. οἱ δὲ δημιουργοὶ στρατεύεσθαι καὶ φρουρεῖν ἀναγκαζόμενοι, οἱ δὲ μέτοικοι εἰσπραττόμενοι μετοίκιον, καὶ οἱ ξένοι ἀπελαυνόμενοι, καὶ οἱ νησιῶται τοὺς φόρους εἰσπραττόμενοι καὶ ναῦς παρέχοντες. ἢ οὖν τούτων χάριν ἐμνημόνευσεν αὐτῶν, ἢ βουλόμενος δεῖξαι ὅτι ἐπιβλαβὴς καθόλου ὁ πόλεμος. R. V.

297. *μέτοικοι καὶ ξένοι*] Ach. 505. 508. Eq. 347. *εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου.*

298. *ὦ πάντες λεῴ*] Av. 1275. *τιμῶσιν (σε) οἱ πάντες λεῴ.* Lys. 638. *ὦ πάντες ἀστοί.* 777. *ὦ πάντες θεοί.*

299. *ἅμας*] Ligones. Proverbium erat *ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας.* V. Zenob. I. 83.

Schol. ἐργαλείων ἐμνημόνευσεν ἐπίτηδες εἰς τὸ ἀνελκύσαι τοὺς λίθους τοὺς ἐπὶ τῷ ὀρύγματι, ἐν ᾧ ἦν Εἰρήνη, ὡς ἔφη ὁ Ἑρμῆς, (ἵνα ἐλευθερώσῃ αὐτήν). R. V. (*ἅμας δὲ τὰς πυράμας. ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν.*) [[*καὶ παροιμία "ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας."*]]

300. *ἁρπάσαι — ἀγαθοῦ δαίμονος*] Haurire boni genii poculum. Schol: *δειπνήσαντες μὲν ἐπερρόφουν ἀγαθοῦ δαίμονος, ἀπαλλάττεσθαι δὲ μέλλοντες ἔπινον Διὸς σωτῆρος.* Cf. ad Vesp. 525. *μηδέποτε πίομ' ἀκράτου μισθὸν ἀγαθοῦ δαίμονος.* Piers. ad Moer. p. 72.

(*Schol.*) *ἀγαθοῦ δαίμονος: Φασὶ γὰρ ὅτι δειπνήσαντες μὲν ἐπερρόφουν ἀγαθοῦ δαίμονος, ἀπαλλάττεσθαι δὲ μέλλοντες ἔπινον Διὸς σωτῆρος. ὡσεὶ ἔλεγε, νῦν γὰρ σπεῖσαι ἢ πιεῖν πάρεστιν ἡμῖν ἀγαθοῦ δαίμονος πόμα. — Ἄλλως. ἀντὶ τοῦ νῦν γὰρ ἔστιν ἡμῖν ὑπὲρ ἀγαθῆς τύχης χαρεῖν καὶ ἁρπάσαι τὴν Εἰρήνην.* V.

301. Cf. 68. Eccl. 835. *χωρεῖτ', ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος.*

Schol. ⌈*δεῦρο πᾶς χώρει: Εἴσθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λη'. καὶ ἡ ἔκθεσις ταύτης κώλων ὁμοίων τροχαϊκῶν ζ'. ὧν τὰ ε' δίμετρα ἀκατάληκτα. τὸ ς' παρατέλευτον. τὸ ζ' ἐφθημιμερὲς ἰαμβικόν. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ.*⌉

διπλῆ καὶ εἴσθεσις εἰς στίχους τροχαϊκοὺς τριμέτρους καταληκτικοὺς β', οὓς ἔτι ὁ πρεσβύτης λέγει. ὑφ' οὓς κορωνὶς τοῦ χοροῦ εἰσελθόντος, καὶ στίχοι ὁμοίως τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λς', ὧν τελευταῖος "μᾶλλον ἢ τὸ γῆρας ἐκδύς." V.

302. Cf. Ach. 405. *ὑπάκουσον, εἴπερ πώποτ' ἀνθρώπων τινί.*

Schol. ὦ Πανέλληνες: Λεληθότως εἰς ὁμόνοιαν αὐτοὺς περιάγει, (ὁμοφρονῆσαι πάντας τοὺς Ἕλληνας ἀξιῶν καὶ ὁμοθυμαδὸν τῆς εἰρήνης ἀντιλαβέσθαι. διὰ τοῦτο καὶ μιᾷ προσηγορίᾳ αὐτοὺς περιέλαβε, δηλῶν τὸ συγγενὲς καὶ δυσωπῶν αὐτοὺς ὡς οὐδὲ τῇ ὀνομασίᾳ διακεκριμένοι πολεμοῦσι πρὸς ἑαυτούς.)

303. *κακῶν φοινικικῶν*] Schol: *αἱματωδῶν.* Anglice bloody frays. Mala dicit belli, in quo multum sanguinis effunditur. Cf. ad 1173.

(*Schol.*) *καὶ κακῶν φοινικικῶν: Οἷον αἱματωδῶν, ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. Ὅμηρος "φοινίσσετο δ' αἵματι γαῖα." λείπει δὲ τὸ ἡσυχάσομεν. Ἄλλως. τῶν πολεμικῶν· φοινικὶς δὲ χλαμὺς πολεμική. — ἢ ἀντὶ τοῦ ναυμαχικῶν· Φοίνικες γὰρ λέγονται κρατεῖν ἐν ταῖς ναυμαχίαις.* V.

304. *ἡμέρα γὰρ ἐξέλαμψεν*] Cf. Pl. 744. *διέλαμψεν ἡμέρα.*

μισολάμαχος] Lamachum saepe notat tanquam belli cupidum, et infra 473. dicit eum obstare quominus pax fiat, et inferius introducit ejus filium non nisi praelia canentem in convivio, unde ipse pater male audit,

v. 1290. Maxime autem in Acharnensibus perstringitur. BE. Redde, Lamacho inimica, i. e. pacifica. De Lamacho duce Atheniensium illo tempore belli tam perito quam cupido cf. Ach. 267. 575. etc. Similiter *μισοπορπακίστατος* 662. *μισολάκων* Vesp. 1164. *μισόδημος* 473. *μισόπολις* 411. *μισοσύλλας* Plut. Sert. 3.

Schol. *μισολάμαχος*: *Ἀλλοτρία τῶν Λαμάχου τρόπων· φιλοπόλεμος γὰρ οὗτος, ὡς καὶ ἐν Ἀχαρνεῦσί φησιν.* V.

305. *πρὸς τάδ'*] Alibi *πρὸς ταῦτα*, ut 416. 765. Eccl. 851. 1140.

φράζε] Ad Trygaeum.

ἡμῖν — ἀρχιτεκτόνει] Metaphorice, ut infra v. 428. *ἅττα χρὴ | ποιεῖν ἐφεστὼς φράζε δημιουργικῶς.* Sic apud Euripidem in Cyclope v. 477. *χ' ὅταν κελεύω, τοῖσιν ἀρχιτέκτοσι | πείθεσθ'.* BE. Cf. Fr. 241. Sosip. com. IV. 482. *ἐδίδασκεν ἡμᾶς* (coquos) — *ἀρχιτεκτονεῖν*. Dem. p. 1286. *τούτῳ τῷ ἀρχιτέκτονι τῆς ὅλης ἐπιβουλῆς.*

306. Cf. Nub. 1182. *οὐ γὰρ ἔσθ' ὅπως μί' ἡμέρα γένοιτ' ἂν ἡμέρα δύο.* Av. 627. *οὐκ ἔστιν ὅπως ἂν ἐγὼ — τῆς σῆς γνώμης ποτ' ἀφείμην.* Vesp. 212. 471. Eur. Cycl. 469. *ἔστ' οὖν ὅπως ἂν — κἀγὼ λαβοίμην* etc. Plura ad Vesp. 471. et Ach. 994. Construendum videtur *οὐ γὰρ ἔσθ' ὅπως δοκῶ* (i. q. *ὅπως ἂν δοκοίην*) *μοι ἀπειπεῖν ἂν τήμερον.* Dissociantur particulae *ὅπως* et *ἂν* etiam Vesp. 212. *κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι* 471. Nub. 1182. Nisi pro *δοκῶ μοι* reponendum *δοκοῖμεν*.

ἀπειπεῖν] Lys. 778. *μή νυν ἀπείπωμεν ταλαιπωρούμεναι.* Eur. Or. 91. *ἀπείρηκ' ἐν κακοῖς.* Theocr. V. 22. *ἀλλά γέ τοι διαείσομαι, ἔστε κ' ἀπείπῃς.*

307. Cf. 428—429.

φιλαμπελώτατε] Quasi *φιλανθρωπότατε*.

308. *Schol.* *φιλαμπελωτάτην*: *Συντόμως ἐκ τῆς ἀμπέλου τὴν περὶ τὰς γεωργίας ἐπιμέλειαν ἐδήλωσεν εἰρήνης οὔσης· πολέμου γὰρ ὄντος τὸ ἐναντίον ἠμελοῦντο.* R. V.

309. *ὅπως μὴ — ἐκζωπυρήσετ'*] Cf. 431. *ὕπεχε τὴν φιάλην, ὅπως | ἔργῳ 'φιαλοῦμεν.* Lys. 1093. *θαἰμάτια λήψεσθ', ὅπως | — μή τις ὑμᾶς ὄψεται.*

310. *τὸν Πόλεμον ἐκζωπυρήσετ'*] Solon. apud Demosth. p. 422. a Berglero citatus, *ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει.* Cf. 610. *κἀξεφύσησεν τοσοῦτον πόλεμον* etc.

Schol. *ἐκζωπυρήσετε*: *Ἀντὶ τοῦ ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δέ ἐστι κυρίως τὸ ἐκ μικροῦ πυρὸς φυσῶντα μεγάλην φλόγα κινῆσαι. — (Ἄλλως. ἀνεγείρητε.) ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνθράκων· καὶ ὁ πόλεμος γὰρ καυστικός.* R. V.

311. *ἀκούσαντες — χαίρομεν*] Cf. Ran. 1028. *ἐχάρην γοῦν τῇ νίκῃ ἀκούσας* etc. Pers. 844. *ἦ πολλὰ — ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.*

312. *οὐ γὰρ ἦν*] Sc. *τὸ κήρυγμα.* "Belli tempore, quum expeditio subitanea suscipitur, saepe edictiones publicantur ut milites victum tot vel tot dierum, plerumque trium, sibi praeparent. Vult itaque dicere: Istud edictum (quod incipit *ὦ γεωργοὶ* v. 294.) non ad bellum spectabat, sed ad pacem: propterea laetemur. Similiter in Acharn. 196. ille, qui

unguentum quoddam suave, quod ibi fingitur esse Pax, naribus admovet dicit Pacem olere edicta de non asservando victu trium dierum: *αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος | καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν.* Illuc alludit tantum in Vesp. 242. *χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ | ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηράν.* BE. Cf. 716. Ach. •97. *καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν.* Eq. 1019. Eubulus Harp. p. 185, 21. *λαβόντας εἰς 'Υμηττὸν ἐξελθεῖν ὅπλα | καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν.* Apollodorus Athen. 281 A. *πίνειν Ἀθηναίους ἅπαντας τοὺς μέχρι | ἐτῶν τριάκοντ', ἐξιέναι τοὺς ἱππέας | ἐπὶ κῶμον εἰς Κόρινθον ἡμερῶν* (vulgo *ἡμέρας* ex seq. v.) *δέκα | στεφάνους ἔχοντας καὶ μύρον πρὸ ἡμέρας.* (Ita enim hunc locum refingendum censeo.) Julian. Epist. 12. *ἡ μὲν παροιμία φησὶν, Οὐ πόλεμον ἀγγέλλεις.*

Schol. οὐ γὰρ ἦν ἔχοντας ἥκειν: Οὐ γάρ, φησὶ, πολεμικὸν ἦν τὸ κήρυγμα, ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὸν πόλεμον δηλοῖ. — ἀντὶ τοῦ πολεμεῖν. οἱ γὰρ πολεμοῦντες πρὸς τρεῖς ἡμέρας λαμβάνουσι σιτία εἰς τὸν πόλεμον. ἔθος γὰρ ἦν τοῖς στρατηγοῖς ἀναλογιζομένοις πόσας ἡμέρας ἔμελλον πολέμῳ σχολάζειν καὶ ἔξω κατέχειν τὸν στρατὸν κηρύσσειν τοσούτων ἡμερῶν σιτία ἐπάγεσθαι, τριῶν μόνων ἡμερῶν ἐκ δημοσίων αὐτοῖς χορηγούντων. R. V.

313. Cf. Eq. 1030. *φράζευ, 'Ερεχθείδη, κύνα Κέρβερον ἀνδραποδιστήν* (Cleonem). 1017. Vesp. 1031. Infra 754. Ridicule Cleonis vel mortui furorem metuendum esse significat.

τὸν κάτωθεν Κέρβερον] Cf. Soph. Ant. 1070. *τῶν κάτωθεν — θεῶν.*

Schol. (*εὐλαβεῖσθε: Νῦν πρὸ ὀφθαλμῶν ἔχετε, φησὶ, καὶ δεδίττεσθε τὸν Κλέωνα, μὴ ἐμποδὼν τῇ εἰρήνῃ γένηται.*) — *καὶ Πλάτων δὲ ὁ κωμικὸς Κέρβερον αὐτὸν ὠνόμασεν.* V.

φασὶ χωρὶς τοῦ ν τὸ κάτωθεν ἐπίρρημα λέγεσθαι, ἵνα ᾖ Δωριέων μᾶλλον οἰκεῖον. χρῆται δὲ τῷ ὁμοίῳ καὶ Πίνδαρος [Pyth. IV. 180] "*ἄντροθε γὰρ νέομαι παρὰ Χαρικλοῦς καὶ Φιλίνας.*" V.

314. *παφλάζων καὶ κεκραγώς*] De eodem Cleone Eq. 136. *ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγὼν, | ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.* Eq. 919. *ἀνὴρ παφλάζει.* 6. 44. Av. 1243. *παῦε τῶν παφλασμάτων.* Eubul. Athen. 229 A. *λοπὰς παφλάζει βαρβάρῳ λαλήματι.* Timocles Athen. 342 A. *κόμποις παφλάζων.*

Schol. μὴ παφλάζων: Παφλάζειν ἐστὶ τὸ λαλοῦντά τινα κρατεῖσθαι καὶ ἀνακόπτεσθαι. ὡς οὖν τοῦ Κλέωνος οὕτω διαλεγομένου τοῦτό φησιν. ἢ διὰ τὸ ταραχῶδες τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν, κυρίως σημαίνοντι τὴν κεκινημένην θάλατταν.

ἐνθάδ' ἦν: Τουτέστιν ὅτε ἔζη, (*ὁπηνίκ' ἦν σὺν ἡμῖν*).

315. *Schol. μὴ ἑλκύσαι: Ὅτι περιττὸν τὸ μή. ἤρκει γὰρ εἰπεῖν ὅτι* (*μή?*) *ἐμποδὼν γένηται ὥστε ἐξελκύσαι. ὅμοια καὶ τὰ τοιαῦτα, ἀπαγορεύω σοι μὴ ἐξιέναι.*

316. Euripidis sermonem videtur imitari, apud quem saepius haec locutio occurrit. Cf. Her. 977. *τοῦτον δ', ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμάς, οὐκ ἔστι θνητῶν ὅστις ἐξαιρήσεται.* Med. 793. *οὔτις ἔστιν ὅστις ἐξαιρή-*

σεται. Alc. 846. κἄνπερ — | μάρψω, κύκλῳ δὲ περιβάλω χεροῖν ἐμαῖν, | οὐκ ἔστιν ὅστις αὐτὸν ἐξαιρήσεται. Alc. 68. ὅς δὴ — βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται. Aesch. Suppl. 924. ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται. Iph. A. 972. εἴ τίς με τὴν σὴν θυγατέρ' ἐξαιρήσεται. Rhad. Fr. III. οὐδεὶς γὰρ ἡμᾶς αὐτὸν ἐξαιρήσεται. Herod. III. 137. ἐξαιρεθέντες τε τὸν Δημοκήδεα καὶ τὸν γαυλὸν — ἀπαιρεθέντες.

καὶ νῦν] Etiam nunc, ut olim, quando in vivis erant Brasidas et Cleon. Sed mendum hic latere videtur.

317. Cf. Th. 912. ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.

Schol. [[ἰοὺ ἰού: Ἡδομένων ἐστὶ τοῦτο, διὸ περισπᾶται. ὡς τοῦ χοροῦ τοῦτο λέγοντος.]]

τὸ ἰοὺ ἰού τινες τοῦ χοροῦ φασὶν εἶναι, κατὰ στίχον εἶναι φάσκοντες τὸ ἀμοιβαῖον· καὶ οὕτω καὶ τῶν ἡδομένων ἐστὶ τὸ λέγειν αὐτό. ἐὰν οὖν εἴη (ᾖ?) τοῦ χοροῦ, περισπᾶται. R. V.

318. τῆς βοῆς ἀνήσετε] Cf. ad Ach. 347. ἐμέλλετ' ἄρα πάντως ἀνήσειν τῆς βοῆς. Thuc. V. 32. ἀνεῖσαν τῆς φιλονεικίας. VII. 43. ἀνέντων τῆς ἐφόδου.

319. πάντα ταυτί] Haec omnia, Anglice, everything here. Sic πάντ' ἐκεῖνα, everything there. Cf. 1306. φλᾶν ταῦτα πάντα καὶ σποδεῖν. Eq. 99. πάντα ταυτὶ καταπάσω | βουλευματίων etc. Av. 1158. καὶ νῦν ἅπαντ' ἐκεῖνα πεπύλωται πύλαις. Cratinus ap. schol. Eq. 523. ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν. Pherecrates Athen. VI. 268 E. πλούτῳ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα. Plato comicus II. 621. εἰ μὲν οὖν | ἑκὼν ἀποδώσεις τὴν θάλατταν· εἰ δὲ μή, | σοὶ ταῦτα πάντα (vel ἅπαντα ταῦτα) συντριαινῶν ἀπολέσω. (Ita enim hunc locum turbatum corrigo.)

πάντα ταυτὶ συνταράξει] Aesch. Prom. 1028. πρὸς ταῦτα — βροντήμασι | χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω.

320. ὡς κυκάτω] Anglice, know that he may confound everything. De qua vi particulae ὡς v. ad Ach. 325. Nisi forte legendum καὶ κυκάτω.

κυκάτω — πάντα] Cf. Aesch. Pr. 1028. πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ, | λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι | χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω· | γνάμψει γὰρ οὐδὲν τῶνδέ μ', ὥστε καὶ φράσαι —. Confer vocem fictam Παντοκύκη γυνή (al. ποντ.) Com. anon. IV. 667.

321. οὐ γὰρ ἂν — παυσαίμεθ' ἄν] Cf. Lys. 252. ἄλλως γὰρ ἂν ἄμαχοι — κεκλήμεθ' ἄν.

323. διὰ τὰ σχήματα] Propter (per) saltationes vostras. Anglice, for (for the sake of) your dances. Cf. Lys. 488. ἵνα — μὴ πολεμοῖτε δι' αὐτό. 936. et Eccl. 740. πολλάκις ἀναστήσασά μ' — νύκτωρ διὰ τὸν ὄρθριον νόμον. 603. Nub. 1066. Eq. 67.

σχήματα] Saltationes. Cf. Vesp. 1485. Fr. p. 514. τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν. Herod. VI. 129. πρῶτα μὲν ἐπ' αὐτῆς (τῆς τραπέζης) ὠρχήσατο Λακωνικὰ σχημάτια, μετὰ δὲ ἄλλα Ἀττικά. Eur. Cycl. 220. ἐν μέσῃ τῇ γαστέρι | πηδῶντες ἀπολέσαιτ' ἂν ὑπὸ τῶν σχημάτων.

324. *σχηματίζειν*] Saltare. Cf. Com. incert. ap. Athen. I. 21 E. *πολλὰ τοιαυτὶ — σχηματίσαντες.*

Schol. *οὐ σχηματίζειν*: *Οὐ κατὰ τὴν ἐμὴν προαίρεσιν, φησίν, ἡ ὄρχησις γίνεται, ἀλλ' ἤδη διὰ τὴν ἄσχετον ἡδονὴν αὐτόματα χορεύει μου τὰ σκέλη. — χρησίμως δὲ πρὸς τὸ πεῖσαι αὐτοὺς τὴν εἰρήνην ἑλέσθαι οὕτως ὑπεράγαν αὐτῇ χαίροντα πεποίηκε τὸν χορόν.* R. V.

326. *νυνί γ' ἔτ'*] Cf. Ran. 1088. *λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν | ὑπ' ἀγυμνασίας ἔτι νυνί.*

παῦε παῦ' ὀρχούμενος] Cf. Eq. 919. *παῦε παῦ' ὑπερζέων.*

327. *ἢν ἰδού, καὶ δὴ πέπαυμαι*] Cf. Eur. Herc. 867. *ἢν ἰδού, καὶ δὴ τινάσσει κρᾶτα βαλβίδων ἄπο.* *Ἢν ἰδοὺ* legitur Ran. 1390. etc., simplex *ἤν* (en, ecce) Eq. 26. Pl. 75. Cf. etiam Lys. 909. *ἰδού, τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών.*

καὶ δὴ πέπαυμαι] Anglice, See, I have done. Cf. Th. 1092. *καὶ δὴ φεύγει.* Lys. 925. *καὶ δὴ 'κδύομαι.* et ad Vesp. 1324. Soph. Phil. 1280.

328. *ἓν τουτί*] Sc. *τὸ σχῆμα.*

ἑλκύσαι] Verbum saltationis proprium. Nub. 540. *οὐδὲ κόρδαχ' εἵλκυσεν.* BR. Poll. IV. 105. *ἦν δὲ καὶ τὸ σχιστὰς ἕλκειν σχῆμα ὀρχήσεως χορικῆς.*

μηκέτι] Sc. *ἐάσῃς.* Anglice, Allow me then this one step and no more. Similis est ellipsis Ach. 471. *ἀλλ' οὐκέτ'* (*αἰτήσομαι*), *ἀλλ' ἄπειμι.* Eur. Cycl. 688. *οἴμοι, γελῶμαι. κερτομεῖτέ μ' ἐν κακοῖς. — ἀλλ' οὐκέτ', ἀλλὰ —.* Hel. 1231. El. 577.

Schol. (*ἓν μὲν οὖν τουτί μ' ἔασον*: *Ἓν σκέλος, δεικτικῶς. ὑφ' ἡδονῆς δὲ ὁ χορὸς εἰς ὄρχησιν ἐτράπη. ἓν μόνον, φησίν, ἐασόν με σχῆμα ποιῆσαι.*)

330. *εἴπερ —*] Si quidem tibi profuturi essemus, sc. non saltando.

331. *τουτογί*] Sc. *τὸ σχῆμα.* Cf. 328. 329. 333.

332. *τὸ σκέλος ῥίψαντες*] Cf. Vesp. 1530. *ῥῖπτε σκέλος οὐράνιον.* 1525. *ῥίπτοντος ἄνω σκέλος.* 1492. Eur. Tr. 326. *πάλλε πόδ' αἰθέριον.* Sic *ποδὸς διαρριφὰ* dixit Pratinas Athen. 617 C.

333. *Schol.* (*ὥστε μὴ λυπεῖν*: *Ἐμὲ δηλονότι. συγχωρῶ, φησί, τοῦτο ὑμῖν, ὥστε μετὰ τοῦτο μηκέτι ἐνοχλεῖσθαί μοι.*)

334. *καὶ τἀριστερόν*] Subaudiendum *ῥίπτειν.*

'στ' ἀναγκαίως ἔχον] Cf. Vesp. 261. *ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.* Aesch. Cho. 233. *προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον | τὸν πατέρα.* Antiph. com. III. 29. *ἣν πᾶσιν ἐλθεῖν ἐστ' ἀναγκαίως ἔχον.* Eur. Hel. 1397. *ἀναγκαίως ἔχει.*

335. *πέπορδα καὶ γελῶ*] Cf. Vesp. 1305. *'πεπόρδει κἀγέλα.* Pl. 288. *ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι.* Pac. p. 291. Diphil. IV. 404. *γέγηθα καὶ χαίρω τε καὶ πτερύττομαι.* Eur. Cycl. 465. *γέγηθα μαινόμεσθα* (*μαίνομαί τε?*) *τοῖς εὑρήμασιν.*

Schol. *πέπορδα*: *Ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων· χαίροντες γὰρ πέρδονται.*

336. *μᾶλλον ἢ τὸ γῆρας ἐκδύς*] Magis quam si senectutem exuissem. Metaphora ab anguibus sumpta, qui scalas veteres exuunt. Cf. Lys.

670. κἀποσείσασθαι τὸ γῆρας τόδε (δεῖ). Ran. 345 sq. Hor. Ep. XIII. 5. obducta solvatur fronte senectus.

ἐκφυγὼν τὴν ἀσπίδα] Ludit in homonymia vocis ἀσπὶς, quae et serpentem significat et clypeum. BE.

Schol. ἢ τὸ γῆρας ἐκδὺς: Ἥδομαι, φησὶν, ἐκφυγὼν τὴν ἀσπίδα ἢ ἐκδὺς τὸ γῆρας. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων.

337. Cf. Soph. Phil. 580. οὐκ οἶδά πω τί φησι.

338. τηνικαῦτα] Cf. 1142. 1171. 1176. Eccl. 789. Av. 1487. Eodem sensu τηνικάδε Plat. Phaed. 76 C. Prot. 310 B. Crit. 43 A.

341. μένειν] Sc. οἴκοι. Cf. Vesp. 1115.

βινεῖν, καθεύδειν] Cf. 867. βινεῖν τε καὶ καθεύδειν. Ach. 1147—1149.

342. ἐς πανηγύρεις θεωρεῖν] Cf. Vesp. 1188. τεθεώρηκα — ἐς Πάρον.

Schol. (ἐς πανηγύρεις θεωρεῖν: Πέμπεσθαι θεωροὺς ἐς τὰς πανηγύρεις. θεωροὺς δὲ ἐκάλουν τοὺς ἀπὸ τῶν πόλεων δημοσίως ἐκπεμπομένους συνθύσοντας καὶ συμπανηγυρίσοντας.)

343. κοτταβίζειν] Antiph. III. 29. κοτταβιεῖτε τίνα τρόπον; Crobyl. IV. 569.

Schol. κοτταβίζειν: (Παίζειν: εἰς χαλκᾶς δὲ φιάλας, αἳ καλοῦνται λάταγες, ἀνέρριπτον ἐμβάλλοντες τὸ πόμα. καὶ, εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. — κότταβος λέγεται τὸ λεῖμμα τοῦ ποτηρίου, ὃ ἐμβάλλουσιν εἰς τὰς λάταγας. V. Ἄλλως. κότταβος) παίγνιον ἦν παρὰ Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη ὡς ἐπὶ ζυγίου. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο ὕδατος ὑποκάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος· τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μηκόθεν ἱστάμενος ἔπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ καὶ κατέλθῃ καὶ κατελθοῦσα κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος τοῦ ὑπὸ τὸ ὕδωρ κεκρυμμένου καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν μὴ ἐκχυθῇ ἐκ τοῦ οἴνου, ἐνίκα καὶ ᾔδει ὅτι φιλεῖται αὐτὸς ὑπὸ τῆς ἐρωμένης· εἰ δὲ μὴ, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ κεκρυμμένος μάνης.

344. συβαριάζειν] Cf. Vesp. 1427. 1435. 1438. Fr. 3. Συβαριτικάς τ' εὐωχίας. Phryn. com. II. 605. πολὺς — συβαριασμὸς αὐλητῶν — ἦν. Hesychius, Συβαριασμός: ὁ ἐν εὐωχίᾳ θόρυβος. Proverbium ap. Schol. ἡ Συβαριτικὴ τράπεζα. Cf. Diogen. I. 2. Συβαρινικὸς βίος. Zenob. V. 87.

Schol. συβαρίζειν: Ἀντὶ τοῦ τρυφᾶν, ἀπὸ τῆς Συβαριτικῆς τρυφῆς· (φασὶ γὰρ τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾶν ἢ παρὰ τὰ Συβάρεια ἐπιφθέγματα, ἅπερ ἐστὶ παρ' Ἐπιχάρμῳ.) — Καλλίστρατος τρυφᾶν, ἀπὸ τῆς Συβαριτικῆς τρυφῆς· Ἀρτεμίδωρος ἁπλῶς θορυβεῖν. καὶ Φρύνιχος "πολὺς δὲ συβαρισμὸς [συβαριασμὸς V.] αὐλητῶν ἦν [ἄρ' ἦν vel ἐπῆν conj. Dind. qu. τότ' ἦν, vel ἦν αὐλητρίδων]" φασὶ δὲ τοὺς Συβαρίτας εἰς τοσοῦτον τραπέζῃ πολυτελεῖ χρῆσθαι ὥστε καὶ εἰς παροιμίαν φέρεσθαι ἐκνενίκηκεν ἡ Συβαριτικὴ τράπεζα, ἡ πολυτελὴς καὶ δαψιλής. V.

345. *ἰοῦ ἰοῦ κεκραγέναι*] Cf. Pl. 478. *βοᾶν ἰοὺ ἰού*. Nub. 543. *οὐδ' ἰοὺ ἰοὺ βοᾷ*. Dem. p. 784. *βοῶν καὶ κεκραγὼς* [*καὶ*] *ἰοὺ ἰού*. Eur. Cycl. 465. 576. Ceterum notanda ultimae correptio in *ἰοῦ*.

346—360. = 385—399. = 582—600. Ut in Ranis 1370—1377. = 1482—1490. = 1491—1499.

346. *εἰ γὰρ* —] Utinam —! Fr. 163. *Εἰρήνη βαθύπλουτε — εἰ γάρ ποτ' ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο* (*'κγένοιτο?*) *σκάψαι* etc. Aesch. Sept. 546. *εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν*. Eur. Cycl. 437. *ὦ φίλτατ', εἰ γὰρ τήνδ' ἴδοιμεν ἡμέραν* —. Rhes. 463. *εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ ἐσίδοιμ'*. El. 658. *εἰ γὰρ θάνοιμι τοῦτ' ἰδὼν ἐγώ ποτε*. Orest. 1098. *εἰ γὰρ τοῦτο κατθάνοιμ' ἰδών*. Iph. T. 1222. *εἰ γὰρ ὡς θέλω καθαρμὸς ὧδε πέσοι*. Ion. 979. *πῶς; εἰ γὰρ εἴη δυνατόν*. Suppl. 1152. *εἰ γὰρ γένοιτο*. Plat. Prot. 310 D. *εἰ γὰρ — ἐν τούτῳ εἴη*. Lucian. Prom. 20. *εἰ γὰρ γένοιτο — ταῦτα*.

ἐκγένοιτ'] Contingat. Cf. Fr. 163. *εἰ γάρ ποτ' ἐμοὶ* (*ποτέ μοι?*) *παυσαμένῳ τοῦ πολέμου γένοιτο* (*'κγένοιτο?*) | *σκάψαι* etc. Herod. I. 78. *οὐκ ἐξεγένετο Κροίσῳ ἀπαγγεῖλαι*. V. 51. *οὐδέ οἱ ἐξεγένετο ἐπίπλεον ἔτι σημῆναι* etc. V. 105. *ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τίσασθαι*. VII. 4. *οὐδὲ οἱ ἐξεγένετο — Ἀθηναίους τιμωρήσασθαι*. 8. *οὐκ ἐξεγένετό οἱ τιμωρήσασθαι*. IX. 23. *οὐδέ σφι ἐξεγένετο τὸν νεκρὸν ἀνελέσθαι*. Plat. Parm. 128 D. *ὥστε οὔτε βουλεύσασθαι ἐξεγένετο*. Dem. p. 1302. *ἐμοί τε ἐκγένοιτο ἀπολογήσασθαι*. Lysias II. 6. *μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο — βουλεύσασθαι*. Isae. V. 31. *ὅσα ἡμῖν ἐξεγένετο διαπράξασθαι*. X. 28. *ὥστε οὐδετέρῳ ἂν ἡμῶν δίκην ἐξεγένετο λαβεῖν*. Isocr. p. 177 D. *πολλῶν ἐτῶν οὐδ' ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν αὐτῶν*. p. 312. *οὗτος ἂν ἐκγενέσθαι μοι μάλιστα διαλεχθῆναι* etc. Isocr. Epist. IX. 5. *πόσοις δ' ἂν λόγοις ἐξεγένετο χρήσασθαι* etc.

(*Schol.*) *εἰ γάρ μοι γένοιτο*: [*Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων καὶ κώλων ιε´. ὧν ὁ πρῶτος τροχαϊκὸς τετράμετρος καταληκτικός. τὸ β´ ἑφθημιμερές. ὁ τρίτος παιωνικὸς τετράμετρος ἀκατάληκτος ἐκ παιώνων καὶ κρητικῶν. καὶ ὁ ι´ καὶ ιγ´. οἱ ἑξῆς δύο ὅμοιοι τῷ πρώτῳ. τὸ ϛ´ δὲ καὶ η´ τῷ β´. τὸ ζ´ παιωνικὸν δίρρυθμον. καὶ τὸ θ´ καὶ τὸ ιβ´ καὶ ιδ´. τὸ δὲ ια´ δίμετρον τροχαϊκόν. τὸ τελευταῖον παιωνικὸν τρίρρυθμον. ἐφ' ὃ κορωνίς.*] — *διπλῆ καὶ εἴσθεσις τῶν ὁμοίων ἑκκαίδεκα κώλων, ὧν ὁ μὲν πρῶτός ἐστι στίχος τροχαϊκὸς ἐκκείμενος, καὶ δεύτερος ἐν ἐκθέσει κώλων παιωνικῶν τετράρρυθμος ἀκατάληκτος, κἂν ἐπεκθέσει τροχαϊκοὶ β´ τετράμετροι καταληκτικοὶ κῶλα ϛ´, ὧν τὰ β´ παιωνικὰ δίρρυθμα, τὸ δὲ τρίτον τροχαϊκὸν ἑφθημιμερές, τὰ δὲ λοιπὰ τοῖς τρισὶν ὅμοια ἕκαστος ἑκάστῳ. εἶτα ἐν ἐκθέσει στίχος τροχαϊκὸς ὅ τι "ἐς Λύκειον κἀκ Λυκείου σὺν δορὶ σὺν ἀσπίδι," κἂν ἐκθέσει κῶλα δ´ παιωνικὰ τρίμετρα δίρρυθμα, τὸ δὲ δ´ τρίρρυθμον τὸ "εἷλετ' ἀγαθή τις ἡμῖν τύχη." διπλῆ· ἕπεται γὰρ μέλος, οὗ ἡ μὲν προῳδός ἐστιν ἐκ διστιχίας ὁμοίως ἐκκειμένης καὶ ἐν ἐκθέσει κώλων λζ´ τροχαϊκῶν μετὰ διμέτρων ἀκαταλήκτων ε´. καταληκτικὰ δὲ τὰ τελευταῖα, μονόμετρον δὲ τὸ τελευταῖον. ἔστι δὲ τὸ τέλος "ἰοὺ ἰοὺ κεκραγέναι."* V.

εἰκότως εἰπὼν ὅσα αὐτοῖς ἀγαθὰ ἐκ τῆς εἰρήνης ὑπάρχει, πάλιν ἐπανέδραμεν εἰς τὰ τοῦ πολέμου δυσχερῆ, προτρεπόμενος αὐτοὺς εἶξαι τῷ Τρυγαίῳ. V.

347. ἀνεσχόμην] Neglecto augmento, quod in hoc liberiori metri genere conceditur. Sic ἐναντιώμεθα metrum postulat Av. 384.

πράγματα] Cf. 293. 353. Ach. 269. πραγμάτων τε καὶ μαχῶν καὶ Λαμάχων ἀπαλλαγείς.

στιβάδας] Storeas, quibus ἐν στρατείαις utebantur. Cf. Pl. 663. Cratin. II. 53. Eupol. II. 526. Aelian. V. H. IX. 24. σχολῇ γ' ἂν οὗτος ἐπὶ χαμεύνης κατεκλίθη | ἢ στιβάδος. Quae ex comoedia sumpta videntur.

στιβάδας ἃς ἔλαχε Φορμίων] Phormio celebris dux. Dicit autem huic στιβάδας sortito obtigisse quia cubili uteretur quali solent milites, duro et vili. Forte etiam alludit ad nomen, dum Phormioni tribuit στιβάδα, quae ex eadem fiebat quandoque materia ex qua et φορμός. In Pluto v. 541. ἀντὶ δὲ κλίνης στιβάδα σχοίνων. Jul. Pollux X. 169. ἐν δὲ τῷ Γηριτάδῃ ὁ Ἀριστοφάνης λέγει "φορμῷ σχοινίνῳ." Huic Neptunum dicit esse φίλτατον in Eq. 562. Eundem in Lysistrata dicit esse asperum erga hostes v. 804. BE. Apost. XVII. 90. Φορμίωνος στιβάς: ἐπὶ τῶν εὐτελῶν. Haec stramenta quum ea dicit esse quae Phormio sortitus est, intelligit dura et incommoda, qualibus utuntur classiarii, quibus durius vivendum est quam exercitui terrestri, cui pagi vicini patent ad pernoctandum, et fruges ad commeatum. Ceterum Phormio, praefectus classis, hic ponitur per synecdochen pro totis copiis.

ἃς ἔλαχε Φορμίων] Quas sortitus est Phormio, quae Phormioni contigerunt. Eccl. 999. Soph. Oed. C. 1337. τὸν αὐτὸν δαίμον' ἐξειληχότες. Eur. Or. 329. 963. κτύπον τε κρατός, ὃν ἔλαχ' ἁ κατὰ χθονὸς — θεά.

(Schol.) στιβάδας ἃς ἔλαχεν: Ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν οἱ παλαιοί ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. στιβάδας οὖν, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ Φορμίων νικῆσαι ναυμαχίαις β' Λακεδαιμονίους στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν ἀντὶ τοῦ ἃς ὑπέμεινε Φορμίων. — φιλοπόλεμος γὰρ καὶ αὐστηρὸς ὁ Φορμίων. στιβάδας δέ, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσιν. ἀναγράφεται δὲ ὁ Φορμίων δυσὶ ναυμαχίαις νικῆσαι Λακεδαιμονίους στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικος. διὸ καὶ στιβάδας εἶπε Φορμίωνος. οἱ γὰρ τὰ πολεμικὰ ἐξασκησάμενοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Λιονύσιος (Διόνυσος corr. Mein.) ἐν Ταξιάρχοις παρ' Εὐπόλιδι μανθάνων παρὰ τῷ Φορμίωνι τοὺς τῶν στρατηγῶν καὶ πολέμων νόμους φησίν, "ὡς οὐκέτ' ἂν * * (σκόροδα supplet Mein.) φάγοιμι στιβάδας ἐξ ὅσου (al. ἐξότου) 'φυγον." ὁ Φορμίων δὲ οὗτος Ἀθηναῖος τῷ γένει, υἱὸς Ἀσωπίου, ὃς καθαρῶς στρατηγήσας πένης ἐγένετο. ἀτιμωθεὶς δὲ τῷ μὴ δύνασθαι τὰς ρ' μνᾶς τῆς εὐθύνης ἀποδοῦναι ἐν ἀγρῷ διέτριβεν ἕως Ἀκαρνᾶνες στρατηγὸν αὐτὸν ᾔτουν. ὁ δὲ οὐχ ὑπήκουσε φάσκων μὴ ἐξεῖναι τοῖς ἀτίμοις. ὁ δὲ δῆμος βουλόμινος λῦσαι τὴν ἀτιμίαν ἀπεμίσθωσεν αὐτὸν τῶν ρ' μνῶν τοῦ Διονυσίου, ὡς Ἀνδροτίων ἐν γ' Ἀττι-

κῶν. αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι [565] καὶ Νεφέλαις [Lysistr. 804] καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις. ὁ δὲ δεύτερος ἦν κωφός· μέμνηται καὶ Στράττις Ἀταλάντῃ. τρίτος μοιχός· Κρατῖνος * * *. τέταρτος Κροτωνιάτης ἀρχαῖος· Κρατῖνος Τροφωνίῳ. πέμπτος ἀρχαῖος Ἀθηναῖος, μετὰ Σόλωνα ἄρξας· Εὔπολις ἐν Δήμοις. Ἄλλως. ὃς ὑπέμεινε Φορμίων. πολλάκις δὲ εἴρηται περὶ τούτου ὅτι ἀγαθὸς ἐγένετο στρατηγός. ἐν δὲ τοῖς Ταξιάρχοις φέρεται ὡς ἐπίπονος. V.

349. δικαστὴν δριμύν] Cf. Eq. 808. εἶθ' ἥξει σοι δριμύς, etc. Vesp. 277. ἦν — δριμύτατος (δικαστής). Plat. Theaet. 175 D. τὸν — δριμὺν καὶ δικανικόν. Theaet. 173 A. ἔντονοι καὶ δριμεῖς. Aesch. Ag. 1501. ὁ παλαιὸς δριμὺς ἀλάστωρ. Cho. 386. δριμὺς ἀήτης. Eur. Cycl. 104. δριμὺ Σισύφου γένος.

350. σκληρόν] S. Matth. Ev. XXV. 24. σκληρὸς εἶ ἄνθρωπος.

ὥσπερ καὶ πρὸ τοῦ] Cf. 363. Thesm. 398. Eccl. 221—228. Pl. 95.

352. ἀπαλλαγέντα πραγμάτων] Cf. ad 293. Ach. 269. πραγμάτων τε καὶ μαχῶν — ἀπαλλαγείς.

Schol. (πολὺ νεώτερον: Ἐπειδὴ γέρων ὁ χορὸς, οἱ δὲ γέροντες πραγμάτων καταδεέστεροι. λέγει δὲ ὅτι πολὺ νεώτερον ἔχοντα τρόπον θεάσῃ με, ὅ ἐστι παίζοντα.)

353. *Schol.* ἱκανὸν χρόνον: ιγʹ γὰρ ἔτη εἶχον πολεμοῦντες. (πολλήν, φησί, θλίψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον εἰσιόντες καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ Λυκείου καὶ ἀπιόντες εἰς τὸν πόλεμον.) τὸ Λύκειον δὲ γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκουν γυμνάζεσθαι. — πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγίνοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει καὶ ἀποδείξει τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. R. V. τὸ δὲ σὺν δόρει σὺν ἀσπίδι Ἀχαιοῦ ἐστιν ἐκ Μώμου. οὐδὲν δὲ χεῖρον ὁλόκληρον θεῖναι τὸ ἰαμβεῖον, ὅπερ οὕτως ἔχει "Ἄρης ὁ λῃστὴς σὺν δόρει σὺν ἀσπίδι." V.

355. ἀπολλύμεθα] Cf. Ach. 71.

κατατετρίμμεθα] Anglice, we are worn out. Isocr. Or. XV. § 122. οὔτ' ἐν τοῖς στρατοπέδοις — κατατετριμμένος.

357. Λύκειον] Gymnasium, ubi antequam irent in bellum exercebantur. BE. V. schol. ad 353. Suidas, Λύκειον, ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων. Pausanias, τὸ πρὸς τῷ Λυκείῳ καλουμένῳ γυμνάσιον. A Pisistrato aut secundum alios Pericle exstructum. V. Meurs. Athen. Att. p. 83. Alciphr. II. 3. τῶν τοῦ Λυκείου γυμνασίων. Dem. p. 736. ἐκ Λυκείου ἢ ἐξ Ἀκαδημίας. Xen. Hipp. III. 1. ἐν Λυκείῳ.

358. Cf. Eur. Hipp. 1261. τί χρὴ τὸν ἄθλιον | δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί; | φρόντιζε. BE.

χαριούμεθα] Sc. 601.

359. αὐτοκράτορ'] Anglice, with full power. Cf. Av. 1595. Lys. 1010.

361. ποῖ] Qua ex parte, quorsum?

τοὺς λίθους ἀφέλξομεν] Cf. 427.

Schol. [[φέρε δὴ κατίδω: Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων κβʹ. ἐπὶ τῷ τέλει παράγραφος.]]

362. Cf. 182.

Schol. *ὦ μιαρὲ καὶ τολμηρέ*: *Ὁ Ἑρμῆς ἐλθὼν καὶ καταλαβὼν τὴν Εἰρήνην ὡς δῆθεν ἀνασπωμένην καὶ ἐπὶ τούτῳ χαλεπαίνων λέγει τί τοῦτο τολμᾷς;*

363. *ἀλλ' ὅπερ καὶ Κιλλικῶν*] Pro *ἀλλὰ πάντα ἀγαθά*. Ita enim dixerat Cillicon iste, cum proditionem Mileti parans ab amicis interrogaretur quid faceret. BE. Diversae sunt de Cilliconte narrationes veterum, de quibus vide schol. DIND. Miletum hic prodidit Prienensibus. Quum autem quaererent nonnulli quid faceret, respondebat *πάντα ἀγαθά*: quod mox in proverbium abiit, *πάντα ἀγαθὰ, ὡς ἔφη Κιλλικῶν*. Simile fere responsum Periclis erat *ἐς τὸ δέον ἀπώλεσα*. Vide Nub. 859. Euphorion (Mein. Anal. Alex. 154), *κακώτερε Καλλικόωντος*. Greg. Cypr. I. 5. *Ἀγαθὰ Κιλίκων*: *ἐπὶ τῶν οὐ καλῶς πλουτούντων. προδότης γὰρ Κίλιξ τις Μίλητον προδοὺς εὐπόρησεν.* Diogen. I. 9. Zenob. I. 3. V. 53. etc. Hesych. h. v. et in *Δημοκλεῖδαι*. Suid. s. vv. *Ἀγαθὰ, Κιλλικὼν, Πονηροῖς*. Phot. p. 165. Proverbium fuit *Ἀγαθὰ Κιλλικῶν* (sc. *ἔχει*).

Schol. *Κιλλικῶν*: [[*Τὴν νῆσον Μίλητον τοῦτόν φασι προδεδωκέναι τοῖς Πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλει ποιεῖν ἔλεγε πάντα ἀγαθά. Θεαγένη δέ τινα ἄνδρα Σύριον, τῆς νήσου ταύτης ὑπὸ Κιλλικῶντος προδοθείσης, μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν. ἐπιστάντος οὖν τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας δοῦναι κρατεῖν αὐτῷ, ἵνα ἀποκόψῃ τὸ περιττὸν, καὶ ἀποτεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα αὐτοῦ τοῦ Κιλλικῶντος καὶ εἰπεῖν ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν.*]]

οὐκ οἶδ' ὅπως φησὶν οὐδὲν πονηρὸν ποιεῖν ταῦτα πράττειν εἶναι ἅπερ καὶ Κιλλικῶν. ὁ γάρ τοι Κιλλικῶν ἐπὶ πονηρίᾳ διαβόητός ἐστι. φασὶ γὰρ αὐτὸν οἱ μὲν Σάμον ἢ Μίλητον προδοῦναι Πριηνεῦσι. Θεόφραστος [*Θεόπομπος*] *δὲ ἐν τῷ ιγ' τῶν ἱστοριῶν τῶν ἑαυτοῦ Σύρον φησὶν αὐτὸν τὴν νῆσον προδεδωκέναι Σαμίοις. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλοι ποιεῖν ἔλεγε Πάντα ἀγαθά. πάντα οὖν ἀγαθά φησι ποιῶν, ὡς ἔφη καὶ Κιλλικῶν. τῆς δὲ προδοσίας τοιαύτην ὑποσχεῖν τιμωρίαν. Θεαγένην τινὰ ἄνδρα Σύριον, τῆς νήσου τῆς ὑπὸ τοῦ Κιλλικῶντος προδοθείσης πολίτην, πρὸ πολλοῦ μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν καὶ οὕτως ἀπάγειν τὸν ἑαυτοῦ βίον. ἀγανακτήσαντα δὴ ἐπὶ τῇ προδοσίᾳ τῆς πατρίδος, ἐπιστάντος τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας, δοῦναι κρατεῖν αὐτῷ, ἵνα ἀποκόψῃ τὸ περιττόν. τοῦ δὲ πεισθέντος καὶ κρατοῦντος, τοῦ Κιλλικῶντος, προφάσει τοῦ πλεονάζον ἀποκόψαι τὸ κρέας, ἐπανατεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα τοῦ Κιλλικῶντος, καὶ εἰπεῖν ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν. μέμνηται δὲ Καλλίμαχος* [fr. 227.] "*μὴ σύ γε, Θειόγενες, κόψῃς χέρα Κιλλικόωντος.*" *ἱστορεῖ δὲ καὶ Λέανδρος ἐν δευτέρῳ Μιλησιακῶν προδοῦναι Μίλητον, καὶ, ὅτε ἀνέῳξε τὰς πύλας, τῶν πολεμίων πυνθανομένου τινὸς ὅτι τοῦτο ἐποίησεν ἀποκρίνασθαι ἀγαθὰ Κιλλικῶν. Ἄλλως. παρὰ τὴν πονηρίαν· ἐπὶ γὰρ πονηρίᾳ διαβάλλεται. Ἀπολλώνιος δὲ ὄνομα μὲν αὐτῷ φησὶν εἶναι Ἀχαιὸν παρωνύμως Κιλλικῶντα, τὸ γένος Μιλήσιον. οὗτός ἐστιν ὁ*

προδοὺς Μίλητον Πριηνεῦσιν. *Ἄλλως. οὗτος Ἀχαιὸς ἐκαλεῖτο, Μέροπος υἱὸς, Μιλήσιος γένος, προδοὺς τὴν πατρίδα τοῖς Πριηνεῦσι. Κιλλικῶν δὲ ἐκλήθη ἀπὸ Κιλίσσης τροφοῦ. Ἄλλως.* V. *ὅτι πονηρός. ἄδηλον δὲ πότερον κύριον ὄνομα ἢ ἐπώνυμον. Ἀμμώνιος δὲ ὄνομα ἀναγράφει καὶ φησιν ὅτι Λάκων καὶ Κιλλικῶν ἐκαλεῖτο, ὃς προδέδωκε Σάμον· οἱ δὲ Μίλητον. εἰπὼν δὲ οὐδὲν πονηρὸν παρὰ προσδοκίαν ἐπήγαγε τὸ ἀλλ' ὅπερ καὶ Κιλλικῶν, ὡς εἰ εἶπεν οὐδὲν κακὸν ποιῶ ἀλλ' ἱεροσυλῶ.* R. V.

364. *ἀπόλωλας*] Cf. 366. Pl. 421. *ὥστ' ἀπολώλατον.* Soph. Oed. R. 1166. *ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.*

οὐκ, ἢν μὴ λάχω] Non, nisi sortitus fuero. Sperat scilicet fore ut in sortitione facienda Mercurii favore immunis evadat. Cf. ad Pl. 277. 972. Lys. 208. Eccl. 683. "Scholia: Si quando plures Athenis essent condemnati ad mortem, non omnes uno die interficiebantur, sed sortitionem subibant singulis diebus, et quem sors tetigisset mors sequebatur; itaque uno die unus moriebatur. Quandoque etiam poenitentia ducti reliquos servabant. Cum autem Mercurio tribuantur sortes, joco ad eum hoc dicit: Nempe Mercurium directorem sortis efficere posse ut Trygaeum, tanquam condemnatum cum aliis pluribus, primum aut inter primos tangat sors secundum quam ei moriendum sit, et non relinquatur inter postremos, qui sperare possunt adhuc salutem." BE.

Schol. *οὐκοῦν ἢν λάχω: (Παίζει πρὸς τὸν Ἑρμῆν, ἐπειδὴ ὅτε πολλοὺς κατεδίκαζον οἱ Ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντες ἐφονεύοντο, ἀλλ' ἕκαστος ἐκληροῦτο καθ' ἡμέραν, καὶ τῷ κληρωθέντι θάνατος ἐπῄει. καθ' ἡμέραν οὖν εἷς μόνος ἐτελεύτα. ἔστι γὰρ ὅτε μετεμελοῦντο καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κλῆροι Ἑρμοῦ, παίζων τοῦτο λέγει — παίζει λέγων ἀποθνήσκω, ἐὰν) λάχῃ μοι, ὡς ἐπὶ τῶν καταδικαζομένων. οἶδα γὰρ ὅτι ὡς Ἑρμῆς ὑπάρχων ποιήσεις με κληρῶσαι.* R. V.

365. Tu enim, Mercurius qui sis, sortitione hanc rem transiges, probe scio. Sortiendi enim praeses est Mercurius. Unde prima quaeque sors Mercurio sacra fuit. Phot. p. 16, 12. *Ἑρμοῦ κλῆρος: ὁ πρῶτος ἀνελκόμενος.* Suid. in *Κλῆρος Ἑρμοῦ.*

Schol. (*Ἑρμῆς γὰρ ὤν: Εἰ ὥρισται, φησὶ, πάντως ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. οἱ γὰρ κλῆροι τοῦ Ἑρμοῦ ἱεροὶ δοκοῦσιν εἶναι. ὅθεν καὶ τὸν πρῶτον κληρούμενον Ἑρμῆν φασι δεῖν καλεῖν.*)

366. *ἀπόλωλας, ἐξόλωλας*] Anglice, you are ruined, utterly ruined. Fortius est *ἐξόλωλας* quam *ἀπόλωλας*, dicitur enim is *ἐξώλης* qui penitus et funditus interiit.

ἐς τίν' ἡμέραν;] In quem diem? Cf. Lys. 612. *ἐς τρίτην — ἡμέραν.* Nub. 1180. *εἰς ἣν γε (ἡμέραν) θήσειν τὰ πρυτανεῖά φασί μοι.*

367. *ἀλλ' οὐδὲν ἠμπόληκά πω*] Jocus in militiam, tanquam si ea esset certissimus pereundi modus. Milites et nautae in expeditionem profecturi viatica sibi comparabant: quem morem equos etiam observasse facete narrat Chorus Eq. 599. BR. Soph. Ant. 1037. *κερδαίνετ', ἐμπολᾶτε — ἤλεκτρον.* Oed. R. 1025. Tr. 93. 250.

Schol. (ἠμπόληκά πω: Ἐνεπορευσάμην. ἐμπολὴ δὲ φορτίον, ἡ τὸ τῆς πραγματείας κέρδος, ἡ συναγωγὴ τοῦ κέρδους. τὸ δὲ ῥῆμα ἐμπολᾶν.)

368. ὡς ἀπολούμενος] Facete dictum pro ὡς στρατευσόμενος, quasi facillimus iste modus moriendi esset.

Schol. ὡς ἀπολούμενος: (Ὅρα ὅτι οὕτως ὑπήκουσεν ὡς εἰρηκότος αὐτοῦ ὅτι στρατεύει ἢ ἀποδημεῖς. οὐδὲν οὖν, φησίν, ὠνησάμην ὡς ἀποδημήσων. Ἄλλως.) ὡσεὶ ἔφη ἀποδημῶν ἢ στρατευόμενος. χαριέντως δὲ καὶ παρ' ὑπόνοιαν εἶπε τὸ ὡς ἀπολούμενος. οἱ γὰρ στρατευόμενοι τυρὸν καὶ ἄλφιτα ἑαυτοῖς ὠνοῦντο.

369. 370 Ludit similiter Vesp. 1167. κακοδαίμων ἐγὼ, | ὅστις ἐπὶ γήρως χίμετλον οὐδὲν λήψομαι. Ubi de pernionibus tanquam de bono aliquo loquitur senex.

369. Cf. Ran. 647. καὶ δὴ 'πάταξά σ'. ΔΙ. εἶτα πῶς οὐκ ἔπταρον;

Schol. ἐπιτέτριψαί γε: (Τοῦτο) τὸ ἐπιτέτριψαι ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται, ποτὲ δὲ ἐπὶ κατάρᾳ, ἐφ' ᾗ καὶ νῦν.

370. ἀγαθὸν τοσουτονὶ λαβών] Ironice dictum. Cf. Th. 23. Soph. Ant. 275. καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα | πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν. "Quasi optimum sit temporibus duris, qualia tunc erant, periisse; qui enim periit liberatus est semel a malis. Sic in Ach. 755, cum quidam dixisset ἄνδρες πρόβουλοι τοῦτ' ἔπραττον τῇ πόλει, | ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα, alter inquit αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων." BE.

Schol. οὐκ ᾐσθόμην: (Πάλιν ἐνταῦθα τῇ ἀστειότητι ἐχρήσατο, καὶ ὥσπερ χαριεντίζεται τὸν θεὸν, τῷ γελοίῳ αὐτοῦ τὴν ὀργὴν καταπραΰνειν πειρώμενος. παίζων οὖν εἶπεν τὸ ἀγαθὸν τοσουτονὶ λαβών.) — πάλιν ἀστειεύεται τοῦ θεοῦ τὴν ὀργὴν καταπραῦναι διὰ τούτου βουλόμενος. R.

371. Supple τούτῳ. Cf. Vesp. 586. Soph. Phil. 957. Eurip. El. 33. χρυσὸν εἴφ' ὃς ἂν κτάνῃ.

Schol. (ὅτι προεῖφ' ὁ Ζεύς: Ἀντὶ τοῦ ὥρισε. κατ' ἐρώτησιν.)

373. ἅπασ' ἀνάγκη] Cf. Th. 171. Aesch. Sup. 436. πᾶσ' ἔστ' ἀνάγκη.

374. ἐς χοιρίδιον —] In porcellum igitur da mihi mutuas tres drachmas. Cf. ad Pl. 982. ἀλλ' ἀργυρίου δραχμὰς ἂν ᾔτησ' εἴκοσι | εἰς ἱμάτιον, ὀκτὼ δ' ἂν εἰς ὑποδήματα. Thugenid. ap. Poll. VI. 38. ᾔτησεν εἰς ὀψώνιον τριώβολον. "In mysteriis sive sacris initiorum Cereris porcum mactabant initiandi; hinc in Acharn. 747. χοιρία μυστηρικά. Dicit autem ante mortem oportere se initiari, quia initiatorum melior est conditio post mortem. Chorus mysticus in Ran. 454. μόνοις γὰρ ἡμῖν ἥλιος καὶ φέγγος ἱλαρόν ἐστιν ὅσοι μεμυήμεθ'." BE. Cf. ad Ran. 338.

Schol. ἐς χοιρίδιον: Ὅτι ἡ Δημήτηρ χοιροκτόνος ἦν, ἢ ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος χοιρίδιον θύειν ἐξ ἀνάγκης, ἐπεὶ δοκοῦσιν οἱ μεμυημένοι ἐν Ἅιδου πλέον ἔχειν τῶν ἀμυήτων. ὥσπερ οὖν κἀν τοῖς Βατράχοις [454] αὐτὸ λέγει· πρὶν μὲν οὖν ἀποθνήσκειν μυηθῆναι βούλομαι. καὶ πολλοὶ καὶ τοῦτο ἱστοροῦσι. V. ἢ ὅτι Δημήτηρ χοιροκτόνος, ἢ ἐπεὶ οἱ μυούμενοι χοῖρον ἔθυον δοκοῦσι δὲ οἱ μυούμενοι εἰς τοὺς εὐσεβεῖς τάττεσθαι, ὡς καὶ ἐν Βατράχοις λέγει. R.

375. *τεθνηκέναι*] Cf. Ran. 613.

376. *ὦ Ζεῦ κεραυνοβρόντα*] Cf. Vesp. 323. *ὦ Ζεῦ μεγαβρόντα* (*μέγα βρόντα* al. *μέγα βροντήσας* Dind. etc.)

Schol. *ὦ Ζεῦ κεραυνόβροντα*: *Τοῦτο ὁ Ἑρμῆς φησὶν ἐπιβοώμενος τὸν Δία διὰ τὸ ἐπ' αὐτοφώρῳ καταλαβεῖν τοὺς ἀνασπῶντας τὴν Εἰρήνην.*

377. *ἡμῶν κατείπῃς*] Cf. Th. 340. *ἢ παιδίον | ὑποβαλλομένης κατεῖπεν.* Eccl. 495. *μή καί τις — κατείπῃ* (*ὑμῶν*). Plat. Theaet. 149. *μὴ μέντοι μου κατείπῃς πρὸς τοὺς ἄλλους.* Aeschin. Axioch. 7. *τοσάδε τοῦ ζῆν κατεῖπεν.* Xen. Cyr. I. 4. 8. *οἱ δὲ φύλακες προσελάσαντες — ἔφασαν κατερεῖν αὐτοῦ τῷ πάππῳ.* Plut. Alc. 20. *καταβάλλων εἰς τὸ δεσμωτήριον εἴ τις κατείποι.*

378. *πρὸς τῶν κρεῶν*] Quia alter dixerat *πρὸς τῶν θεῶν*. Alliteratio ridiculi causa conficta. Cf. 191. *τὰ κρέα ταυτί σοι φέρω.*

Schol. *ναὶ πρὸς τῶν κρεῶν*: *Γέλωτος χάριν τοῦτο, ἵνα δείξῃ καὶ τοὺς θεοὺς ἡττωμένους ὑπὸ λήμματος.*

380. *ἀμαλδυνθήσομαι*] Schol: *ἀφανισθήσομαι*. Cf. Il. *μ'*. 32. *ψ*. 463. H. in Cer. 94. Verbis heroicis et tragicis haud temere utitur Mercurius, ut deus. Talia enim sunt *ἀμαλδυνθήσομαι*, *τετορήσω*, et *λαχήσομαι*.

Schol. *ἀμαλδυνθήσομαι*: *Εἰ μὴ κατείπω ταῦτα τὰ πραττόμενα οὕτως ὑμῖν καὶ διαβάλω. τορῶς γὰρ σαφῶς καὶ ἀκριβῶς. ἐπίτηδες δὲ τραγικαῖς λέξεσιν ἐχρήσατο, τῷ τετορήσω καὶ λαχήσομαι. τὸ δὲ ἀμαλδυνθήσομαι ἀντὶ τοῦ ἀφανισθήσομαι. παρατηρητέον οὖν πρὸς τοὺς παρ' Ὁμήρῳ* [Il. M. 32] *ἐξηγουμένους "τεῖχος ἀμαλδύνας," ἀντὶ τοῦ ὁμαλίσας.*

381. *τετορήσω*] Conferri potest *τετρεμαίνειν* in Nub. 294. 374. Lucian. Bacch. 7. *φθέγμα τορόν.* Id. Philopatr. 25. *ὥσπερ πρῖνος καόμενος αἰθαλωθεὶς διάτορον ἀνεβόησα.*

λαχήσομαι] Alta voce palam faciam. Cf. 384. Theocr. II. 24. *λακεῖ μέγα καππυρίσασα* (*ἁ δάφνα*). Prima syllaba videtur longa esse. Producitur saltem tertia in *διαλαχήσασα* Nub. 410.

382. *ὡρμείδιον*] Cf. 924. Lucian. Contempl. 1. Contractum *Ἑρμείδιον* ex *Ἑρμε-ίδιον* (ab *Ἑρμέας*, unde *Ἑρμῆς*, cujus epica forma est *Ἑρμείας* ut *Αἰνείας*, etc.). Alia forma *Ἑρμεῖσκος* utitur Alexis com. III. 433.

383. *εἰπέ μοι, τί πάσχετ' —;*] Cf. 1142. Ach. 319. Vesp. 403. Av. 366. Dem. Phil. I. p. 43. *ἢ βούλεσθε, εἰπέ μοι, περιιόντες αὐτῶν πυνθάνεσθαι* etc.

τί πάσχετ'] Anglice, what is the matter with you?

ἕστατ'] Contractum ex *ἑστήκατε*. Sic Fr. 428. *ἠρίσταμεν*. 78. *δεδειπνάναι*. 243. Eubul. Athen. 422 E. *δεδείπναμεν* et *δεδειπνάναι*.

Schol. [*εἰπέ μοι*: *Τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα καὶ εἰσὶ στίχων καὶ κώλων ιζ'. ὧν οἱ πρῶτοι δύο καὶ ὁ τῆς στροφῆς α' τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι. τὸ β' παιωνικὸν δίμετρον καταληκτικόν. ὁ γ' παιωνικὸς τετράμετρος ἀκατάληκτος. ὁ δ' καὶ ὁ ἑξῆς καὶ οἱ α' ς' τῆς δευτέρας στροφῆς ὅμοιοι τῷ πρώτῳ. τὰ δ' ἄλλα παιωνικὰ δίρρυθμα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, τῷ "δέσποτ',*

ἀγαλοῦμεν ἀεὶ," *δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.*]]

Διπλῆ καὶ ἐν ἐκθέσει στίχων τροχαϊκῶν τριμέτρων ἀκαταλήκτων β', ἐφ' οὓς διπλαῖ β'. ἕπεται γὰρ ἡ ἀντιστρέφουσα τῇ ἑκκαιδεκακώλῳ, ·ἧς πρῶτος "*μηδαμῶς. ὦ δέσποθ' Ἑρμῆ.*" *τέλος δὲ* "*ἀγαλοῦμεν ἡμεῖς.*" V.

384. *εἰ δὲ μή*] Sc. *μὴ σιωπήσεσθε* aut *τοῦτο δράσετε*. Cf. Nub. 1433. *μὴ τύπτ'· εἰ δὲ μή*, etc. Av. 133. *καὶ μηδαμῶς ἄλλως ποιήσεις· εἰ δὲ μὴ* etc. Ran. 629. Soph. Tr. 586. *εἴ τι μὴ δοκῶ* | *πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσομαι*. Thuc. I. 28. *πόλεμον δὲ οὐκ εἴων ποιεῖν· εἰ δὲ μή*, etc. VIII. 97. *ἐψηφίσαντο — μισθὸν μηδένα φέρειν —, εἰ δὲ μή, ἐπάρατον ἐποιήσαντο*. I. 131. II. 5. Xen. An. VII. 1. 8. *μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μὴ* etc. IV. 3. 6 Dem. p. 1234. *ἐγὼ δ' ὑμῖν — παραινῶ μὴ ποιεῖν —. εἰ δὲ μή, διδάξετε πάντας* etc. Lysias I. 21. *ὅπως — ταῦτα μηδεὶς — πεύσεται· εἰ δὲ μὴ* —. S. Paul. Ep. II. Cor. 11. 16. *μή τις με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με.*

Schol. *ὦ πόνηροι*: *Ὦ ἐπίμοχθοι. ἐπιτιμᾷ δὲ αὐτοῖς ὡς νῦν σιωπῶσι, δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν.*

385. *μηδαμῶς, μὴ μηδαμῶς*] Sub. *δράσῃς τοῦτο*. Cf. Ach. 334. *ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις μηδαμῶς, ὦ* (*μὴ* conj. Elmsl.) *μηδαμῶς*. Eccl. 869. *μὴ μηδαμῶς*. Eur. Or. 1598. *ἔσται τάδ'. ΜΕ. ἔα· μὴ μηδαμῶς δράσῃς τάδε*. Soph. Phil. 1300. *ἆ, μηδαμῶς, μὴ πρὸς θεῶν μεθῇς βέλος*. Dinarch. I. 86. *μή, ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δεινὸν —.*

386. *κεχαρισμένον*] Gratum. Cf. Ach. 248. *ὦ Διόνυσε δέσποτα,* | *κεχαρισμένως σοι — ἐμὲ — θυσάντα — ἀγαγεῖν τυχηρῶς* etc. Plat. Rep. III. 394 A. *εἴ τι πώποτε — κεχαρισμένον δωρήσαιτο*. Gorg. 502 B. *ἐάν τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον*. Phaedr. 273. *θεοῖς κεχαρισμένα — λέγειν*. Crit. 119 D. *ἐπευξάμενοι τῷ θεῷ τὸ κεχαρισμένον αὐτῷ θῦμα θύειν*. Legg. VII. 805 C. *ὅ τι σοι κεχαρισμένον ἐστίν*. Herod. I. 87. *ἐνταῦθα λέγεται — Κροῖσον — ἐπιβώσασθαι τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ ἐδωρήθη, παραστῆναι* etc. III. 119. *ὅς — τοι — ἔσσον κεχαρισμένος τοῦ ἀνδρός ἐστι*. Xen. Mem. II. 1. 24. *σκοπούμενος — τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις*. I. 3. 3. Hom. Il. α'. 37. *Κλῦθί μευ, ἀργυρότοξε — εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,* | *ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα* | *ταύρων ἠδ' αἰγῶν*. Od. α'. 60. δ'. 763. Eur. Herc. 879. *χορεύματ' — οὐ βρομίῳ κεχαρισμένα θύρσῳ*. Hom. Il. ε'. 243. *Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ*. ά. 39. Hes. Op. 683. *οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν.*

Schol. (*εἴ τι κεχαρισμένον*: *Παρὰ τὸ Ὁμηρικὸν* [Il. A. 39] "*εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.*")

388. *τοῦτο* —] Hoc meritum meum ne parvipendas hoc in negotio, sc. in Pacis recuperatione.

Schol. *τοῦτο μὴ φαῦλον*: (*Μὴ εὐτελὲς νομίζων τοῦ χοιριδίου τυχεῖν*) *ἐν τῷ λαβεῖν* (*ἡμᾶς*) *τὴν εἰρήνην.*

389. *οἷα θωπεύουσι σ'*] Cf. 469. *οἵ' ὀγκύλλεσθ'.*

390. *παλίγκοτος*] Malevolus, infestus. Anglice, contrary. Theocr. XXII. 58. *ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος*. Aesch. Ag. 554. *τύχης*

παλιγκότου. Herod. IV. 156. *συνεφέρετο παλιγκότως* (Anglice, it went wrong with them). Pind. Ol. II. 20. N. IV. 96. Cf. v. *παλίγγλωσσος.*

Schol. *μὴ γένῃ παλίγκοτος: Ἀντὶ τοῦ ἐναντίος. μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς πάλιν καὶ μετανοήσῃς ἐφ' οἷς ἡμᾶς εὐεργετῆσαι προθυμῇ τε καὶ διανοῇ.*

393. *χάρισ'*] I. e. *χάρισαι.* Cf. Th. 938. *χάρισαι βραχύ τί μοι.* Plat. Prot. 335 D. *χάρισαι ἡμῖν πᾶσιν.* Rep. I. 351 C. *καὶ τόδε μοι χάρισαι.* Elisio ut in *θᾶσ'* infra 906. *εὖξ'* Menand. IV. 234. *περίρραν'* id. IV. 101.

395. *Πεισάνδρου*] Per ironiam, ut putat schol., hujus tanquam bellicosi meminit, quia tanquam timidus notetur a plerisque. Sane et in Av. 1556. *ἔνθα καὶ Πείσανδρος ἦλθε | δεόμενος ψυχὴν ἰδεῖν, ἥ | ζῶντ' ἐκεῖνον προὔλιπεν.* BE. Notatur Pisandri ignavia, ut qui militiam prae timore detrectabat. De qua re Xen. Symp. II. 14. *Πείσανδρον — ὃς νῦν διὰ τὸ μὴ δύνασθαι λόγχαις ἀντιβλέπειν οὐδὲ συστρατεύεσθαι ἐθέλει.* Aelian. H. A. IV. 1. Av. 1556 sq. V. Meinek. Fr. Com. I. 178. Schol: *Ἴσως εἰρωνεύεται. ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. — οὗτος φιλοπόλεμος ἦν καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. — ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος εἶναι μὴ ὤν.* Unde Pisandrum ignaviam suam truci vultu armorumque splendore occultare studuisse colligit Fritzsch. ad Th. 811. De eo Lys. 491. *ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν χοἱ ταῖς ἀρχαῖς ἐπέχοντες, | ἀεί τινα κορκορυγὴν ἐκύκων.*

τοὺς λόφους καὶ τὰς ὀφρῦς] Ach. 575. *τῶν λόφων καὶ τῶν λόχων.* 1074. *τοὺς λόχους καὶ τοὺς λόφους.*

Schol. *εἴ τι Πεισάνδρου: Ἴσως εἰρωνεύεται. ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. — οὗτος φιλοπόλεμος ἦν καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. ἦν δὲ δειλὸς καὶ μέγας, καὶ ἐκαλεῖτο ὀνοκίνδιος. ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος εἶναι μὴ ὤν. καὶ ἐν ἄλλοις δὲ ἐπαχθῶς αὐτοῦ ἐπιλαμβάνεται.* R. V.

396. *θυσίαισιν — ἀγαλοῦμεν*] Cf. Th. 128. *ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ.* Hermipp. II. 383. *φέρε νυν ἀγήλω τοὺς θεοὺς ἰοδσ' ἔσω* (*ἐγὼ* recte Elmsl. ad Med. 88, coll. Pl. 768 769) | *καὶ θυμιάσω τοῦ τέκνου σεσωσμένου.* Theopomp. II. 810 *καί σε τῇ νουμηνίᾳ | ἀγαλματίοις ἀγαλοῦμεν ἀεὶ καὶ δάφνῃ.* Eur. Med. 995. *γαμηλίους | εὐνὰς ἀγῆλαι.*

προσόδοις — μεγάλαις] Cf. Av. 853. *προσόδια μεγάλα σεμνὰ προσιέναι θεοῖσιν.* Nub. 307.

398. *διὰ παντὸς — ἀεί*] Similiter Eq. 568. *πανταχοῦ — ἀεί.* Menand. IV. 224. *ἐνδελεχῶς ἕξεις ἀεί.*

Schol. (*ἀγαλοῦμεν ἡμεῖς ἀεί: Ὅτι περισσὸν τὸ ἀεί. ἤρκει γὰρ εἰπεῖν τὸ διὰ παντός. ἀγαλοῦμεν δὲ ἐπικοσμήσομεν. ἴσως δὲ ταυτολογίᾳ ἐχρήσατο τὴν ἀείμνηστον εὐεργεσίαν δεῖξαι θέλων*)

400. Cf. Vesp. 975. *ἴθ', ἀντιβολῶ σ', οἰκτείρατ' αὐτόν, ὦ πάτερ.* 571. *ἀντιβολεῖ με — παιδὸς φωνὴν ἐλεῆσαι — θυγατρὸς φωνῇ με πιθέσθαι.*

Schol. ⟦*ἴθ' ἀντιβολῶ σε: Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς ἐκ στίχων ἰαμβείων κς'. ἐπὶ τῷ τέλει παράγραφος.*⟧

(ἐλέησον αὐτῶν τὴν ὄπα: Ἀντὶ τοῦ ἐποίκτειρον αὐτῶν τὰς εὐχὰς καὶ τὰς λιτάς, καὶ ἐπάκουσον ἡμῶν, ὦ φιλανθρωπότατε.)

402. κλέπται] Fures venerari deum furum par est. BE. Furaciores hic sunt quia Pacem effodere cogitant et abducere. Mercurium autem vocabant qui furati erant, ut propitius esset nec furtum revelaret; eoque Deus cultum sibi majorem pro furti magnitudine deberi innuit. Schol. κλέπται γάρ νῦν εἰσιν: Παρ' ὑπόνοιαν. ἔπαιξε δὲ ὡς τοῦ Ἑρμοῦ χαίροντος ταῖς κλοπαῖς. οὕτως γοῦν σε τιμῆσαι προαιρούμεθα, φησίν, ζηλωταὶ τῶν ἐπιτηδευμάτων ἐσόμεθα τῶν σῶν, καὶ μᾶλλον ἢ πρότερον ἐν ταῖς κλοπαῖς προσέξομεν. ἐν δὲ τῷ προσθεῖναι μᾶλλον ἢ πρὸ τοῦ ἀμφοτέροις διέβαλεν, ὅτι καὶ πρότερον ἔχαιρον καὶ νῦν ἐπιδώσουσι μᾶλλον. Ἄλλως. αἰνίττεται εἰς τοὺς Ἀθηναίους ὡς πολλὰ κλέπτοντας.

403. πρᾶγμα δεινὸν καὶ μεγα] Eadem verba Th. 581.

404. Schol. τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται: Ἀντὶ τοῦ ἐπὶ τοῖς θεοῖς βουλεύεται.

405. Cf. Eur. Med. 319. οὐ γὰρ ἂν πείσαις ποτέ.

406. Schol. ἡ γὰρ Σελήνη χὠ πανοῦργος: (Τοῦτο λέγει) διὰ τὰς ἐκλείψεις καὶ τὰς ἄλλας διοσημίας τὰς κατὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν γινομένας. — βαρβάροισι δέ, εὐφυῶς πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος δείκνυσιν ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας διὰ τὰς στάσαις ἀλλήλους διαφθείρειν. R.

407. ἐπιβουλεύοντε — προδίδοτον] Cf. Lys. 438. κἀνύσαντε δήσετον. Pl. 454. τολμᾶτον — δρῶντ' εἰλημμένω. et ad Pl. 485.
Schol. (τοῖς βαρβάροισι προδίδοτον: Δοκοῦσι γὰρ οἱ βάρβαροι τούτους μάλιστα θεραπεύειν τῶν θεῶν. σοφῶς δὲ ὑποβολῇ προσώπων εἰς ὁμόνοιαν προσάγει τοὺς ἀκούοντας. λεληθότως δὲ δείκνυσι πάλιν ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας τῇ οἰκείᾳ διαφθείρεσθαι στάσει.)

408. Cf. 108.

409. Cf. Nub. 1192. ἵνα δὴ τί τὴν ἕνην προσέθηχ'; Eccl. 791. 719. Plat. Apol. 26 C. ἵνα τί ταῦτα λέγεις;

410. Schol. τούτοισι δέ: Οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν, ὡς Ἡρόδοτος ἱστορεῖ. ἐπιεικῶς δὲ οἱ βάρβαροι τόν τε ἥλιον καὶ τὴν σελήνην θεῶν μᾶλλον πάντων σέβουσι. διὰ τοῦτο καὶ τὴν Δῆλον καὶ τὴν Ἔφεσον οὐ διελυμήναντο· ὁ μὲν γὰρ ἥλιος Ἀπόλλων ἐνενόμιστο, ἡ δὲ Ἄρτεμις σελήνη.

411. Barbaros solem et lunam colere notum est vel ex Herodoto I. 131, ubi de Persis agit.

412. βούλοιντ' ἂν] Sol et Luna.

413. Schol. ἵνα τὰς τελετὰς αὐτοὶ λάβοιεν: Ἡμῶν ἀπολλυμένων καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. (παρατηρητέον δὲ ὅτι ἀντὶ τοῦ τὰς θυσίας κεῖται τὸ τελετάς.)

414. Redde: Haec igitur causa est cur dudum partem dierum suffurati sint et aurigatione subdola orbem arroserint (deminuerint).

παρεκλεπτέτην] Cf. Plutarch. de fac. lun. c. 9. *ἐν ταῖς ἐκλείψεσιν ὀλο-φυρομένους ἄστρον ὑπέρτατον κλεπτόμενον.* Pind. Fr. 74. *ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον. καὶ μέσῳ ἄματι νύκτα γενομένην*, etc. (De solis eclipsi, quasi *ἐκκλέψει*.) De numeri mutatione *παρεκλεπτέτην* — *παρέτρωγον* cf. ad Pl. 73. *κακόν τί μ' ἐργάσεσθε κοὐκ ἀφήσετον.* et ad Nub. 1506—1507.

Schol. ταὖτ' ἄρα πάλαι: (*Συντίθεται ὁ Ἑρμῆς καὶ φησὶν ὅτι ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν, ἡ δὲ σελήνη τοῦ κύκλου.*) *ἐπὰν γὰρ ἴσαι αἱ ἡμέραι καὶ οἱ μῆνες γένωνται, ἔκλειψις γίνεται. τὸ φύσει οὖν γινόμενον κλέπτετον εἶπε παίζων.*

415. *τοῦ κύκλου παρέτρωγον*] Orbem arrodebant. Ran. 988. *τίς τῆς ἐλάας παρέτραγεν;* Eq. 1026. *ὁ κύων ὅδὶ | ὥσπερ θύρας σου τῶν λογίων παρεσθίει.* Notandum plurale *παρέτρωγον* post duale *παρεκλεπτέτην*. Sic *προδίδοτον* 408, sed *λάβοιεν* 413. Et alibi non raro consociantur hi numeri, ut in fabula Pluto. Cf. etiam ad Nub. 1506—1507.

τοῦ κύκλου] Orbis, i. e. solis.

ὑφ' ἁρματωλίας] Paronomasia pro *ὑφ' ἁμαρτωλίας*. Schol. *δέον εἰπεῖν, ὑπὸ ἁμαρτίας, ἀντὶ τοῦ ἁμαρτάνοντες, εἶπεν ὑφ' ἁμαρτωλίας· ἀντὶ τοῦ. φειδόμενοι τῶν ἁρμάτων αὐτῶν· ἄλλως. τῆς τῶν ἁρμάτων ἡνιοχείας.* Confer finem parabasis Nubium. BR. Cf. 25. *ὁ δ' ὑπὸ φρονήματος | βρενθύεται.* Pl. 818. *ὑπὸ τρυφῆς.* Nub. 835. *ὧν ὑπὸ τῆς φειδωλίας | ἀπεκείρατ' οὐδεὶς πώποτ'.* 855. *ἐπελανθανόμην — ὑπὸ πλήθους ἐτῶν.* Alludere videtur ad eclipsin aliquam. Cf. Lucian. D. D. XII. 1. *τὸν Ἥλιον δὲ παρὰ τῇ Κλυμένῃ βραδύνειν ἐνίοτε ἀναγκάζεις ἐπιλελησμένον τῆς ἱππασίας.* Dem. enc. 23. *ἁρματηλασίαν ἐπιδεικνύντα.* Schol. Theocrit. Id. 2. *ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ Νὺξ Εὐριπίδης· ὦ Νὺξ ἱερά,· ὡς μακρὸν ἵππευμα διώκεις ἀστροειδέα νῶτα διφρεύουσα.* Eur. Suppl. 990. *ἐδίφρευε — ἅλιος σελάνα τε κατ' αἰθέρα.* Eur. Fr. 1093. *ἡ διφρήλατος* (*σελήνη*). Phoen. 1. Soph. Aj. 845. *σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν | Ἥλιε.* 857. *τὸν διφρευτὴν Ἥλιον.*

Schol. ὑφ' ἁρματωλίας: (*Οὕτως ἡ γραφή. μέμνηται Ἡρωδιανὸς ἐν τῇ ια' καὶ Φρύνιχος ἐν τῇ σοφιστικῇ παρασκευῇ οὕτω τίθησι τὴν λέξιν. δέον δὲ εἰπεῖν ὑπὸ ἁμαρτίας, ἀντὶ τοῦ ἁμαρτάνοντες, εἶπεν ὑφ' ἁρματωλίας, ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν. Ἄλλως.*) *τῆς τῶν ἁρμάτων ἡνιοχείας.*

416. *ξύλλαβε ἡμῖν* —] Alacriter nobiscum hanc una prehende et extrahe. Nisi subaudiendum potius *τῶν σχοινίων* (437). Cf. 437. *χὤστις προθύμως ξυλλάβοι τῶν σχοινίων.* 450. Vesp. 733. *σοὶ δὲ νῦν τις θεῶν παρὼν ἐμφανῶς ξυλλαμβάνει τοῦ πράγματος.* Lys. 313. *τίς ξυλλάβοιτ' ἂν τοῦ ξύλου —;* Fr. 516. *τὸ πρᾶγμα τοῦτο ξυλλαβεῖν ὑπίσχομαι.* Soph. Phil. 282. *οὐδ' ὅστις νόσου | κάμνοντι συλλάβοιτο.* Eur. Iph. A. 160. *σύλλαβε μόχθων.* Cycl. 472. *μέγας γὰρ δαλός, ὃν* (malim *οὗ*) *ξυλληπτέον.* Cf. etiam Eur. Phoen. 1660. *λάζυσθε τήνδε κεἰς δόμους κομίζετε.*

417. *τήνδε καὶ ξυνέλκυσόν*] Id est *καὶ τήνδε ξυνέλκυσον*, ut *τήνδ' ἐξελκύσαι* v. 506. V. ad Ach. 884. DIND. Fallitur, opinor, vir doctus. Non

minus ad *ξύλλαβε* quam ad *ξυνέλκυσον* pertinere videtur *τήνδε*. Cf. ad Ach. l. l. Nisi *τήνδε τε ξυνέλκυσον* reponendum.

418. *τὰ μεγάλ'*] Magna illa Panathenaea, quae in Minervae honorem quinto quoque anno celebrabantur. Non magna Panathenaea parvis hic opponit (utrumque enim festum erat), sed magna nominat quia aliis festis splendidiora erant.

Schol. καὶ σοὶ τὰ μεγάλα: Οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν, ἀλλ' αὔξων τὴν χάριν. τῇ δὲ Ἀθηνᾷ ἤγοντο διὰ πέντε ἐτῶν, ὅτε καὶ ἡ ναῦς ἐπὶ γῆς πλέει παρ' αὐτοῖς. (σοὶ, φησὶν, ἄξομεν τὰ Παναθήναια) καὶ οὐ τῇ Ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ.

419. *Schol. (πάσας τε τὰς τελετὰς: Καὶ τοῦτο πρὸς τὰς ἄλλας τελετάς. σαφέστερον δὲ ἐν τούτοις μᾶλλον, ὅτι οὐ περιγεγραμμένως ἐπὶ τῶν θυσιῶν εἴρηκε.)*

τὰς τῶν θεῶν: Τὰ τῇ Δήμητρι καὶ Κόρῃ ἀγόμενα οὐκέτι ταύταις, φησὶν, ἄξομεν, ἀλλὰ σοί, ὥσπερ καὶ τὰ Παναθήναια. (Διπόλεια δὲ ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ Πολιεῖ Διὶ θύουσι σκιρροφοριῶνος τετάρτῃ ἐπὶ δέκα. ἔστι δὲ ἀπομίμημα τῶν περὶ τῶν πελάνων (?) *καὶ τὰς βοῦς συμβάντων.)*

420. *μυστήρι' Ἑρμῇ*] Mysteria in honorem Mercurii (non Cereris et Proserpinae, ut olim), agemus. Repetendum enim est *ἄξομεν* ex praecedentibus. Sed versus fortasse interpolatus est.

μυστήρι'] Aesop. Fr. 11. *τοῖς μὲν γὰρ μυστηρίοις — τοῖς δὲ Παναθηναίοις* etc.

Διπόλει'] Bekk. Anecd. p. 91. *Διισωτήριον: καλοῦσιν Ἀθήνησιν ἀντὶ τοῦ τὸν ναὸν τοῦ σωτῆρος Διός. ἔστι δ' Ἀττικὸν τὸ σχῆμα. Διπολιεῖα* (*Διπόλια* Bekk.) *γοῦν καλεῖται ἑορτή. καὶ Διπολιώδη φησὶν Ἀριστοφάνης. Θουκυδίδης δὲ Διάσια καλεῖ τὴν ἑορτήν.*

Schol. τὰ Διπόλεια: Τὰ Διπόλεια τῷ Διὶ, τὰ Ἀδώνια τῷ Ἀδώνιδι καὶ τῇ Ἀφροδίτῃ.

421. *ἄλλαι*] Ut ostendat non modo Athenas, sed etiam alias urbes belli laboribus defessas pacem exoptare.

Schol. (ἄλλαι τέ σοι πόλεις: Τοῦτο φησὶν, ἵνα μὴ δόξῃ καταισχύνειν τὸ ἀξίωμα τῶν Ἀθηναίων, ὡς διὰ τὸ ἀποκαμεῖν μόνων ἐρώντων τῆς εἰρήνης. οὐ μόνοι γὰρ αὐτοὶ, φησὶ, τὸν Ἑρμῆν τιμήσουσιν, ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι, διὰ τὸ χρησιμεύειν τῷ βίῳ τῶν ἀνθρώπων.)

422. *ἀλεξικάκῳ*] Ita proprie appellabantur Apollo et Hercules. Sed nunc Mercurio *ἀλεξικάκῳ* sacrificabitur.

Schol. (ἀλεξικάκῳ: Καὶ τὸ ἐπὶ τῷ Ἡρακλεῖ μόνῳ σοὶ ἐπιθήσομεν. ἀλεξίκακος γὰρ Ἡρακλῆς παρὰ τοῖς ἀνθρώποις ἐτιμᾶτο. Ἄλλως. καὶ Ἀπόλλωνα καὶ Ἡρακλέα ἀλεξικάκους τιμῶσι. φησὶν οὖν, οὔτε Ἀπόλλωνι οὔτε Ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις, ἀλλὰ σοί.)

424. *τήνδ'*] Sc. *φιάλην χρυσῆν* vel *χρυσίδα*.

Schol. (δῶρον δίδωμι: Τοῦτο παρεπιγραφή. τοῦτο γὰρ εἰπὼν φιάλην χρυσῆν δίδωσιν αὐτῷ.)

425. *οἴμ', ὡς ἐλέημων* —] Non semper dolorem exprimit *οἴμοι*. Cf. Nub. 773. *οἴμ', ὡς ἥδομαι.*

τῶν χρυσίδων] Ridicule dictum *παρ' ὑπόνοιαν* pro *τῆς Ἑλλάδος*, *τῶν ἀνθρώπων*, aut simili aliquo. Cf. Ach. 74. *ἐκπωμάτων καὶ χρυσίδων.*

Schol. οἴμ' ὡς ἐλεήμων: Δέον εἰπεῖν ἥττων, φησὶν ἐλεήμων. χρυσίδα δὲ τὴν φιάλην. παρ' ὑπόνοιαν δέ. ἀντὶ τοῦ εἰπεῖν τῆς πόλεως εἰμὶ ἐλεήμων, ἢ τῆς Ἑλλάδος, ἢ τῶν ἀνθρώπων, εἶπε τῶν χρυσίδων διὰ τὴν χρυσῆν φιάλην.

426. *ἅμαις*] Cf. Av. 1145.

Schol. ὑμέτερον ἐντεῦθεν: (Διπλῆ καὶ ἐν εἰσθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν ἐκθέσει παρὰ τοῖς τετραμέτροις στίχοις ἰαμβικοὶ β', κἂν ἐπεκθέσει κῶλα β', ὧν τὸ μὲν ἐκ διπλοῦ σπονδείου, τὸ δὲ ἐκ τοῦ δευτέρου τροχαίου, καὶ αὐτοῦ διπλοῦ. τὰ δὲ ἑξῆς ἰαμβεῖα μέχρι τοῦ "ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλως." ἐπὶ τῷ τέλει κορωνίς. ὁ Ἑρμῆς δὲ ταῦτα παρακελεύεται. ταχέως δὲ πεποίηκεν αὐτὸν μεταβαλλόμενον τὴν προαίρεσιν, ἵνα μᾶλλον αὐτὸν δείξῃ ἥττονα τοῦ λήμματος.) — ἄμη γεωργὸν ὄργανον. R.

427. *εἰσιόντες*] Sc. in proscenium. Quod raro fiebat. Paleius conferri jubet Ach. 732. Eq. 149. Aut potius in orchestram. Cf. 729.

τοὺς λίθους ἀφέλκετε] Cf. 361. *τοὺς λίθους ἀφέλξομεν.*

428—429. Cf. 307.

429. *δημιουργικῶς*] I. e. *τεκτονικῶς*, ut fabrum praefectum decet. Anglice, in artistic fashion. Cf. 305. Schol. ad Eq. 650. *κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους· ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας, ὡς ἐν Εἰρήνῃ. καὶ δημιουργικῶς. ἀντὶ τοῦ τεκτονικῶς.*

Schol. δημιουργικῶς: Ἀντὶ τοῦ τεκτονικῶς· τοὺς γὰρ τέκτονας δημιουργοὺς ἔλεγον.

430. *ὑπουργεῖν — οὐ κακούς*] Cf. Vesp. 903. *ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας.*

οὐ κακούς] Anglice no bad hands.

431. *ὕπεχε τὴν φιάλην*] Cf. Ach. 1063. *ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον. ὦ γύναι.* Mercurium jubet phialam porrigere, ut infundat vinum, quo libato opus aggrediantur.

431. *ὅπως — 'φιαλοῦμεν*] Cf. Eq. 1065 sq.

Schol. ἄγε δὴ σὺ ταχέως: Ἄγε, φησί, πρότερον σπεῖσον τοῖς θεοῖς, ἵνα οὕτω τοῦ ἔργου ἑξώμεθα (ἐχώμεθα?).

432. *'φιαλοῦμεν*] Paronomasiae causa verbo comice ficto et inusitato utitur: alludit enim ad phialam quam donum acceperat. Hom. *αὐτὸς γὰρ ἐφίηλε τάδε ἔργα.* Cf. ad Vesp. 1348. Simile verbum *ἐπιάλλειν* est apud Homerum. Cf. ad Nub. 1299.

Schol. ἔργῳ φιαλοῦμεν: (Οἷον, ἐπιθῶμεν τῇ φιάλῃ ἐπὶ τῶν ἔργων, ἢ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσομεν. εἴρηται δὲ καὶ ἐν τοῖς Σφηξὶ [1339]. *(παίζει δὲ παρὰ τὴν φιάλην τὴν δῶρον αὐτῷ δοθεῖσαν. ἢ ὅτι φιάλλειν κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος. Ἄλλως. τοῦ ἔργου ἐπιλαβώμεθα καὶ προθυμηθῶμεν, ἢ ἐπὶ τοῦτο ὁρμήσωμεν καὶ σπείσωμεν καὶ εὐφρανθῶμεν.)*

433. *Schol.* *σπονδὴ σπονδή*: *Τοῦτο ἀξιοῦσι τὸν Ἑρμῆν λέγειν σπένδοντα.*

435—436. Respicitur, monente scholiasta, ad Melesippi legati Lacedaemonii verba, quae initio belli Peloponnesii post rejectas ab Atheniensibus pacis conditiones protulerat, *ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει.* Paullo aliter Thucydides II. 12. *τοσόνδε εἰπὼν ἐπορεύετο ὅτι Ἥδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει.* Cf. Soph. El. 919. *ἡ δὲ νῦν ἴσως | πολλῶν ὑπάρξει κῦρος* (?) *ἡμέρα καλῶν.* Tr. 871. Aj. 934. 1018. Eur. Phoen. 1581. *πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις | τόδ' ἦμαρ· εἴη δ' εὐτυχέστερος βίος.* Andr. 274. *ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν.* Pherecr. Chir. Fr. I. *ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης.* Andoc. p. 71. *οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι.* Hom. Il. V. 63. *νῆας — ἀρχεκάκους.* V. Abresch. Diluc. p. 173.

Schol. (*σπένδοντες εὐχώμεσθα*: *Δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ Πελοποννησιακοῦ πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἠξίου ἀπαλλαττόμενος λοιπὸν* (*ἐντεῦθεν* aut *ἀπ' αὐτῶν*?) *καὶ γενόμενος ἐπὶ τοῖς ὁρίοις εἰπεῖν ὡς ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν τῶν τοῦ πολέμου κακῶν λοιπὸν ἀπαλλαχθήσεσθαι ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ' ἐκείνου ῥηθέντα. διπλῇ δὲ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κδ', ὧν τελευταῖος "ὑπότεινε δὴ πᾶς."*)

437. *χὥστις*] Eadem crasis est in *χὥσον* Th. 746.

ὅστις — ξυλλάβοι] Cf. Soph. Oed R. 250.

ξυλλάβοι τῶν σχοινίων] Cf. ad 416. Vesp. 733. *σοὶ δὲ νῦν τις θεῶν — | ξυλλαμβάνει τοῦ πράγματος.* Lys. 313. 416. Aesch. Cho. 779. *ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας.* Eur. Med. 946. *ξυλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου.* Iph. A. 160. *σύλλαβε μόχθων.* Thuc. IV. 10. *ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου.*

Schol. *ξυλλάβοι τῶν σχοινίων*: *Ἀντιλάβοιτο. σχοινίοις γὰρ αὐτὴν καταχωσθεῖσαν ἀνεῖλκον.*

438. *λαβεῖν — ἀσπίδα*] Cf. Lys. 52. *μήτ' ἀσπίδα λαβεῖν.*

Schol. *μὴ λαβεῖν ποτ' ἀσπίδα*: (*Μηκέτι πανοπλίαν βαστάσαι.*) *ἀντὶ τοῦ ἀπεῖναι τῶν κακῶν τοῦ πολέμου.* (*χρησίμως δὲ νῦν ἀντιπαρατίθησι τοῖς τοῦ πολέμου δυσχερέσι τὰ τῆς εἰρήνης ἡδέα, προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτῆς φέρων αὐτούς.*)

440. *σκαλεύοντ' ἄνθρακας*] Latet obscoeni aliquid, ut intellexit scholiasta. Cf. Eccl. 611. *μείραξ' — σκαλαθῦραι.* Ach. 1014. *τὸ πῦρ ὑποσκάλευε.* Lucian. V. Hist. II. 28. *πῦρ μαχαίρᾳ σκαλεύειν.* Plut. Mor. 516 D. *ὄρνις πολλάκις — εἰς γωνίαν καταδῦσα σκαλεύει*, etc. Notum praeterea quid aliquando significet vox *ἐσχάρα.* Eq. 1286. *καὶ κυκῶν τὰς ἐσχάρας.*

Schol. *καὶ σκαλεύοντ' ἄνθρακας*: *Ἀντὶ τοῦ, ζωπυροῦντα τοὺς ἄνθρακας,* (*οἷον ἐν ἀγρῷ διατρίβοντα. ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν.*) *ἢ τὸ γυναικεῖον αἰδοῖον ἄνθρακα εἶπεν.*

441. *Schol.* *ὅστις δὲ πόλεμον: Δύο πρόσωπα ταῦτά φησιν, ὧν ὁ μὲν εὔχεται, ὁ δὲ ἕτερος ἀκόλουθα τῇ εὐχῇ καταρώμενος λέγει.*

442. *ἐκ τῶν ὀλεκράνων*] Ex ulnis, ex cubitis. *Ὀλέκρανον* est *ὁ ἀγκὼν*, Anglice the elbow. Schol: *ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν εἰς αὐτόν.* Poll. II. 140. *ὠλέκρανον* (*ὀλ.* Mein.), *ἀφ' οὗ καὶ τὸ ὠλεκρανίζειν* (*ὀλ.*) *παρὰ τοῖς κωμικοῖς.* *Ὀλεκρανίζεσθαι* legitur Com. anon. IV. 681. Producitur penultima.

443. *Schol.* *ἐκ τῶν ὀλεκράνων*: (*Ὀλέκρανον*) *τινὲς τὸν ἀγκῶνα, οἱ δὲ τὸ ἐν τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν εἰς αὐτόν.* (*Ἄλλως. ἀκίδας τὰ βέλη λέγει. ἐπιστῆσαι* (*ἐπιστῆναι?*) *δὲ ἄξιον τί ποτε αὐτῷ ταῦτα βούλεται· οὐ γὰρ τοξόται οἱ Λακεδαιμόνιοι, ἀλλὰ τῇ συστάδην μάχῃ μᾶλλον χαίροντες. ὀλέκρανα δὲ λέγονται τὰ τῶν ὀλένων* (*ὠλενῶν?*) *κρανία, τουτέστι τῶν χειρῶν. δῆλον οὖν ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγει, ὃν ἀγκῶνα φαμέν.*)

444. *Schol.* (*κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν: Οἱ πρότεροι στίχοι πρὸς τὴν ἄνω κατάραν λέγονται. εἶθ' ἕτερον συνάπτει, πάσχοι γε τοιαῦτα ὥστε καὶ παραγραφὴν εἶναι, ὥστε ἐκείνου προειπόντος κατάραν ὁ ἕτερος τὸν λόγον ἐκδεξάμενος ἐπιφέρει, ὅπερ καὶ ἐν ταῖς ἑξῆς κατάραις σαφέστερον φησίν.*)

446. *πάσχοι — οἷά περ Κλεώνυμος*] Id est, fiat *ῥίψασπις.* In Nub. 353. *Κλεώνυμον τὸν ῥίψασπιν.* Hic in Pac. 677. de isto, *εἴ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως | ἀποβολιμαῖος τῶν ὅπλων ἐγένετο* [*ἐγίγνετο*]. BE.

Schol. *Κλεώνυμος: Τουτέστιν ἀσχημονοίη ῥίπτων τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ Κλεώνυμος, ὡς καὶ ἐν τοῖς Σφηξὶ* [19] *λέγει φανερώτατα.*

447. *δορυξός*] Cf. 549. 1213. 1260. Simile est *κεραοξόος*, Hom. Il. *Δ*. 110. *κάπηλος ἀσπίδων*] Cf. 1209. *ὅπλων κάπηλος.*

Schol. *κάπηλος ἀσπίδων: Οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ' ἄλλων λαμβάνων καὶ πωλῶν. καπήλους γάρ φασι πάντας τοὺς μεταβόλους* (*μεταβολεῖς?* v. Dem. p. 784, 8).

448. *Schol.* (*ἵν' ἐμπολᾷ βέλτιον: Ἵνα πιπράσκῃ πλείονος. ἢ ἵνα κομίζῃ πλεῖον. συνήθως δὲ νῦν τὸ ἐμπολᾷ ἀντὶ τοῦ πωλεῖ. πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν, ὡς ἑξῆς "ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον." τὸ δὲ κριθὰς μόνας ἀντὶ τοῦ μὴ ἄλφιτα, ἀλλ' αὐτὰς τὰς κριθάς.*)

449. *κριθὰς μόνας*] Non *ἄλφιτα.* Schol: *ἀντὶ τοῦ μὴ ἄλφιτα, ἀλλὰ μόνας κριθάς.* Eq. 1101. *κριθὰς ποριῶ σοι καὶ βίον καθ' ἡμέραν.* Nescio praeterea an *μόνας* indicet *ἄνευ ὄψου.* Anglice, barley and nought else. Ridicula imprecatio, qualis est illa in Equit. 927.

κριθὰς μόνας] Transfugientbunt enim haud dubie multi servi Atheniensium deum prope Atticae fines castra habebant Peloponnesii. Cf. ad Nub. 7.

450. *κ' εἴ τις στρατηγεῖν βουλόμενος —*] Haec in Alcibiadem tendere putat Scholiastes, qui Athenienses impulit ad expeditionem in Siciliam suscipiendam, citatque locum Thucydidis ex Lib. VI. apud quem Nicias haec in Alcibiadem dicit: *εἴ τέ τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν τὸ ἑαυτοῦ μόνον σκοπῶν,* etc. BE. V. schol.

Schol. κεἴ τις στρατηγεῖν: Δοκεῖ ταῦτα εἰς Ἀλκιβιάδην αἰνίττεσθαι, ὥς πού φησι καὶ Θουκυδίδης [VI. 12] ἐν τῇ Νικίου δημηγορίᾳ (καὶ ἐν τῇ αὐτοῦ Ἀλκιβιάδου, τὸν μὲν Νικίαν παραινοῦντα τοῖς Ἀθηναίοις ποιῶν, μὴ πειθομένους αὐτῷ πόλεμον ἄρασθαι τοσοῦτον, οὕτως λέγων "εἴτε τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ἐκπλεῖν ὑμῖν ταὐτοῦ μόλις σκοπῶν, ἄλλως τε καὶ νεώτερος ἔτι ὢν εἰς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας διὰ πολυτέλειαν καὶ ὠφεληθῇ, ἐκ τῆς ἀρχῆς δὲ τούτῳ παράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἀπολαμπρύνασθαι." αὐτὸν δὲ τὸν Ἀλκιβιάδην ὅτι βούλεται στρατηγεῖν μὴ ἀρνούμενον διὰ τούτων [ib. 16] "καὶ προσῆκόν μοι μᾶλλον, ὦ Ἀθηναῖοι, ἑτέρων ἄρχειν· ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο· καὶ ἄξιος νομίζω εἶναι.")

451. *Schol.* ἢ δοῦλος αὐτομολεῖν: Πάλιν πρὸς Ἀλκιβιάδην, ἐπεὶ πρὸς Λακεδαιμονίους φυγὼν αἴτιος ἐγένετο τοῦ Δεκέλειαν αὐτοὺς ἐπιτειχίσαι, διὸ καὶ δοῦλον αὐτὸν καλεῖ, (διὰ τὴν Κοισύραν, ἥτις δούλη ἦν, ὥς φησιν ἐν Νεφέλαις.)

452. *Schol.* ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο: Οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τροχοῦ δεσμούμενοι καὶ συρόμενοι ἐτύπτοντο ἀνακλώμενοι ἐν αὐτῷ.

453. ἰὴ παιών, ἰή] Cf. Th. 311. ταῦτ' εὔχεσθε καὶ ὑμῖν αὐταῖς τἀγαθά. ἰὴ παιών, ἰὴ παιών. χαίρωμεν. Av. 1762. ἀλαλαλαί, ἰὴ παιών. Lys. 1291. Callim. H. Apoll. 100. ἐπηΰτησε δὲ λαός, | ἰὴ ἰὴ Παιῆον, ἵει βέλος. (Ap. Schol.) Hinc ἰηπαιωνίζειν Eq. 408. V. Elmsl. ad Ach. 1212.

Schol. [[ἰὴ παιών: Ἐφύμνιον εἰς Ἀπόλλωνα. τὴν δὲ αἰτίαν Καλλίμαχος ᾖσε διὰ τούτων· "Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θήρ, | αἰνὸς ὄφις, τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ | βάλλων ὠκὺν ὀϊστὸν, ἐπηΰτησε δὲ λαός, Ἰὴ ἰὴ Παιῆον, ἵει βέλος."]]

454. ἄφελε τὸ παίειν] Tolle istud παίειν. Cf. Lys. 36. ἄφελε τὰς ἐγχέλεις. Lucian. pro L. 14. ἀφελὼν μὲν τὸ χαίρειν, ἐπιτηδεύσας δ' ἀντ' αὐτοῦ εἰπεῖν τὸ ὑγιαίνειν. Xen. Eq. V. 9. τήν γε μὴν τῶν σκελῶν κατάπλυσιν ἀφαιροῦμεν. Propter malum omen, nam in bello caedunt et feriunt, a quo isti abhorrent maxime." BE. "Confer omen Paeonum apud Herodot. V. 1." DOBR.

Schol. ἐπεὶ ἐν τῷ παιὼν ἔγκειται τὸ παίειν. R.

456. Ἑρμῇ, Χάρισιν] Consociantur etiam Th. 300. Hic libationem facit Trygaeus.

Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ] Etiam ista conjunguntur apud Athenaeum Lib. I. p. 36. Πανύασις δ' ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν, Ὥραις, καὶ Διονύσῳ· τὴν δὲ δευτέραν Ἀφροδίτῃ, καὶ πάλιν Διονύσῳ· Ὕβρει δὲ καὶ Ἄτῃ τὴν τρίτην. BE.

Χάρισιν — Πόθῳ] Consociantur etiam Av. 1320. Πόθος, ἀμβρόσιαι Χάριτες.

Ἀφροδίτῃ, Πόθῳ] Veneris filius fingitur Πόθος Aesch. Suppl. 1089. ut filia Πειθώ Sapph. ap. Procl. ad Hesiod. Op. 73. Plutarchus II. 138 C. conjungit Ἀφροδίτην Πειθὼ et Χάριτας, et II. 758 A. Μουσῶν καὶ Χαρίτων Ἀφροδίτης ἑταῖρον Ἔρωτα. εὔχεσθε ταῖν Θεσμοφόροιν — καὶ τῷ Ἑρμῇ καὶ Χάρισιν. Subaudiendum vero hic εὔχομαι aut simile quid.

Schol. Ἑρμῇ, χάρισιν, ὥραις: *Δικαίως προέταξε τὸν Ἑρμῆν ὡς αἴτιον τῆς ἀναγωγῆς τῆς Εἰρήνης. καὶ τῶν ἑξῆς δὲ εἰκότως ἐμνήσθη ὡς ἁρμοδίων αὐτῇ· ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες.* (*Ὥραις δὲ ταῖς τοῦ ἔτους, ὧν οὐδεὶς ἐν πολέμῳ ἀπολαύει καὶ τῶν ἐν αὐταῖς ἔργων.*)

457. *Ἄρει δὲ μή*] Sub. *σπένδωμεν*. Cf. 925. *τῷ δαὶ δοκεῖ; βούλεσθε λαρινῷ βοΐ; | ΧΟ. βοΐ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέῃ. | ΤΡ. ἀλλ' ὗ παχείᾳ καὶ μεγάλῃ; ΧΟ. μὴ μή. ΤΡ. τιή;*

Ἐνυαλίῳ] Distinguere videtur Martem ab Enyalio etiam Sophocles in Ajace v. 179. *ἢ χαλκοθώραξ ἤ τιν' Ἐνυάλιος μομφὰν ἔχων.* Scholia ibi: *διαστέλλει τὸν Ἄρεα ἀπὸ τοῦ Ἐνυαλίου ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ· καὶ δῆλον ἐκ τῶν συνδέσμων. δηλοῦται γὰρ ὁ Ἄρης ἐκ τοῦ χαλκοθώραξ.* BE. V. schol. Aesch. Sept. 45. *Ἄρη τ' Ἐνυὼ καὶ φιλαίματον Φόβον.* Pind. N. IX. 37. *λοιγὸν Ἐνυαλίου.* Isth. V. 51. *ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου.* Ol. XIII. 102. Xen. An. V. 2. 14. *τῷ Ἐνυαλίῳ ἠλάλαξαν καὶ ἔθεον δρόμῳ.* Epheborum jusjurandum his verbis conceptum fuit: *ἴστορες θεοί, Ἄγραυλος, Ἐνυάλιος, Ἄρης, Ζεύς.*

Schol. *Ἄρει δέ*: *Πρὸς τοὺς οἰομένους τῶν νεωτέρων τὸν αὐτὸν εἶναι Ἄρεα καὶ Ἐνυάλιον, κατ' ἐπίθετον. τινὲς δὲ Ἄρεως καὶ Ἐνυοῦς τὸν Ἐνυάλιον. οἱ δὲ Κρόνου καὶ Ῥέας.* (*Ἀλκμᾶνα δὲ λέγουσιν ὅτὲ μὲν τὸν αὐτὸν λέγειν, ὅτὲ δὲ διαιρεῖν. εἰκότως δὲ τούτοις μὴ δεῖν θύειν μετὰ τὴν εἰρήνην· ὑπεναντίοι γὰρ καὶ ἀλλότριοι τῆς εἰρήνης.*) — *ἀντὶ τοῦ οὗτοι ἐναντίοι εἰσὶ τῇ εἰρήνῃ.* R.

458. *ὑπότεινε δή* —] Subtende ergo (sc. funus) quisque et funibus deduce, develle (lapidem?). Sed sensus hujus loci nequaquam perspicuus est.

459. *ὦ εἶα*] Suidas: *παρακελεύσεως ἐπίρρημα.* Theodos. Gr. p. 75. *τὸ ὠεία* (sic) *μίμημα βαρβάρων* (*βάρβαρον*?) *ἑλκόντων τι.* Cf. Lys. 1303. *εἶα μάλ' ἔμβη, ὦ εἶα, κοῦφα πάλλων.* Ab *εἶα* formatum *εἰάζειν* (*εἶα ἐπικελεύειν*, Hesych.), ut ab *αἰαῖ αἰάζειν*, ab *οἴμοι οἰμώζειν*, etc.

Schol. *ὦ εἶα*: (*Διπλῆ καὶ εἴσθεσις ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ ἐν ἐπεκθέσει καὶ παρεκθέσει. Ἄλλως. ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ιδʹ, ἔχει δὲ ἑξῆς καὶ ἀντιστροφὴν ἐξ ὁμοίων ἀρχομένην κώλων. καὶ ἔστι τὸ μὲν πρῶτον τρισύλλαβον κατὰ παλιμβάκχειον. τὸ δὲ βʹ παίων πρῶτος. τὸ δὲ γʹ ὅμοιον τῷ πρώτῳ. τὸ δὲ δʹ ἤτοι δακτυλικὸν διπλοῦν ἢ τροχαϊκὸν πενθημιμερὲς εἴη ἂν ἢ ἡμιόλιον ἐκ παίωνος· τὸ μέντοι τῆς ἀντιστροφῆς κρητικὸν ἔχει. τὸ εʹ διπλοῦς παλιμβάκχειος. τὰ ϛʹ, ζʹ ἀναπαιστικὰ δίμετρα. τὸ ηʹ ἐφθημιμερὲς ὅμοιον. τὰ θʹ, ιʹ παιωνικὰ μονόμετρα ἐκ κρητικῶν. τὰ ιαʹ, ιβʹ, ιγʹ ἀναπαιστικὰ δίμετρα ἐπιμεμιγμένα ἰάμβοις, τὰ δὲ τῆς ἀντιστροφῆς καὶ δακτύλοις. τὸ ιδʹ ὅμοιον ἐφθημιμερές. ὑφ' ὃ ἡ ἔσω διπλῆ διὰ τὴν ἀνταπόδοσιν.*) *τὸν Ἑρμῆν καὶ ταῦτα ἐξάρχειν θέλουσι. μιμεῖται δὲ τοὺς βαρβαριστὶ ἐξέλκοντας. δεῖ οὖν νοεῖν ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων.* (*Ἄλλως. ὁ Ἑρμῆς ἐπιτάττει τοῖς ἕλκουσι καὶ ἅμα τοῖς μὴ ἕλκουσιν ἐπιτιμᾷ, οἱ δὲ χαίροντες τῇ εἰρήνῃ ἀποκρίνονται.*)

460. εἶα μάλα] Hac acclamatione hodie quoque nautae Graeci utuntur εἶα μόλα dicentes. Vide Didotii Notes d'un voyage vol. 1. p. 181. DIND. "μάλ' εἶα ad illud Petronii μάλ' εἶα (p. 339) solennis erat haec formula excitandi stimulandi aliquem. μάλα notat rursus, magis, amplius, ultra, ulterius." REISK.

462. ἔτι μάλα] Cf. 53. 280. Ran. 864.

Schol. ἔτι μάλα: Ἔτι σφοδρότερον ἢ προθυμότερον.

463. Versus palimbaccheus, cujus metri exemplum attulit Dionysius Hal. de Comp. verb. p. 226. σοί, Φοῖβε, Μοῦσαί τε συμβῶμεν.

464. Vide interpretes ad Thuc. V. 17.

Schol. οὐχ ὁμοθυμαδὸν ἕλκουσι. V.

465. οὐ ξυλλήψεσθ'; —] Et haec ad Boeotos dicuntur. Cf. 480. De Boeotorum ac Megarensium bellico ardore v. Thuc. V. 17.

οἷ' ὀγκύλλεσθ'] Anglice, What airs you give yourselves. Minus recte, opinor, Paleius, What a fuss you are making over pretended exertion! Hesychius per ὑψαυχενεῖν καὶ ἐπαίρεσθαι explicat. Cf. 392. οἷα θωπεύουσί σ'. Ὀγκύλλεσθαι forma ὑποκοριστικὴ et comica est verbi ὀγκοῦσθαι (Ran. 703), ut ἐξαπατύλλειν (Ach. 657) verbi ἐξαπατᾶν, πλανύττειν (Av. 3) verbi πλανᾶσθαι, καθάρυλλος (Plat. com. II. 644) nominis adjectivi καθαρός Cf. Athen. IX. 382 B. Eadem terminatio est verbi στωμύλλεσθαι.

Schol. οἷ' ὀγκύλλεσθ': (Οἷα, φησίν,) ἐπερείδεσθε μὲν τῷ σχοινίῳ προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον παραβάλλεσθε καὶ ἀλαζονεύεσθε καὶ ὑπερηφανεύεσθε. ἢ ὡς φιλοπόλεμοι δὲ οὐχ εἷλκον (ἢ ὡς ἔκσπονδοι).

466. Boeotos hic notat ut paci inimicos, nam anno undecimo belli ineunte induciae in quinquaginta annos factae erant inter Athenienses et Lacedaemonios cum sociis ex utraque parte, praeter Boeotos, Corinthios, et Eleos. Ex schol.

Schol. οἰμώξεσθ': Ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ γὰρ Ἀλκαίου σπονδάς φησι γεγονέναι Φιλόχορος πεντηκονταετεῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων.

468. εἶα ὦ] Ut ὑμὴν ὑμέναι' ὦ infra 1335.

(469.) *Schol.* ἄγετον, ξυνέλκετον: [Ὁ χορὸς] πρὸς τὸν Ἑρμῆν καὶ τὸν Τρυγαῖον.

470. *Schol.* ἕλκω κἀξαρτῶμαι: Ἔμφασιν πολλὴν ἔχουσιν οἱ λόγοι αὐτοῦ, ἐμφαίνοντες τὴν σπουδὴν τὴν περὶ τὸ ἕλκειν, ὅπου γε καὶ συναρτᾶσθαί φησι τῷ ἔργῳ, ἀντὶ τοῦ ἐμπεπάρθαι.

471. κἀπεμπίπτω] Soph. Aj. 42. ποίμναις — ἐπεμπίπτει. Infra 515. ἐπεντείνωμεν ἀνδρικώτερον.

472. χωρεῖ τοὔργον] Cf. 509. χωρεῖ γέ τοι τὸ πρᾶγμα. 510. Ran. 795. 882. Nub. 907.

Schol. πῶς οὖν οὐ χωρεῖ: Ὁ Ἑρμῆς τοῦτό φησιν ἀπελέγχων αὐτούς, ὅτι λέγουσιν ἕλκειν καὶ οὐχ ἕλκουσιν.

473. ἐμποδὼν καθήμενος] Pherecr. com. II. 263. οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι | ἐπαμφοτερίζουσ' ἐμποδὼν καθήμενοι.

Schol. [[ὦ Λάμαχ', ἀδικεῖς: Διπλῆ καὶ στίχοι τρίμετροι ἰαμβικοὶ ιγ', ἐπὶ τῷ τέλει παράγραφος.]]

474. *τῆς σῆς μορμόνος*] In Acharn. 582. ad eumdem istum, *ἀλλ', ἀντιβολῶ σ', ἀπένεγκέ μου τὴν μορμόνα.* Alludit autem ad Gorgonem, signum in clypeo illius. In Acharn. 1094. ad eundem, *καὶ γὰρ σὺ μεγάλην ἐπιγράφου* [*ἐπιγέγραψαι*] *Γοργόνα.* BE. Clypeum intellige Gorgone insignitum.

Schol. *τῆς σῆς μορμόνος: Παρὰ τὴν Μορμὼ καὶ παρὰ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος (ἐπίσημον). οὕτως δὲ ἔλεγον τὸ ἐκφόβητρον. καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολύκεια, ἀφ' οὗ καὶ τὰ τραγικὰ καὶ τὰ κωμικά.* (*καὶ ἐν Ἀμφιαράῳ "ἀφ' οὗ κωμῳδικὸν μορμολύκειον ἔγνων."*) — *περὶ δὲ Λαμάχου εἴρηται πολλάκις ὅτι φιλοπόλεμος ἦν.* V.

475. *ἀργεῖοι*] Schol: *ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων, ὁπότε δοκοίη αὐτοῖς.* Propterea suspectam semper eorum fidem habuere Lacedaemonii, nec immerito, qui post inducias 50 annorum factas (vide ad 466) rebus novis studuerint Peloponnesi imperium affectantes. Quin hoc ipso anno pacem eos turbasse monet Palmerius, illato Epidauriis bello cum mille Atheniensium auxiliaribus. V. Thuc. V. 61.

Schol. (*οὐδὲν Ἀργεῖοι: Ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων μηκέτι* (l. *ὁπότε*. cf. schol. 477.) *δοκοίη αὐτοῖς. διὸ καὶ Φιλόχορός φησι πολεμοῦντας πάλιν πρὸς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους.*)

476. *ἀλλ' ἤ*] Nisi, sed. I. q. *ἀλλὰ* aut *εἰ μὴ* (505). Cf. Eq. 1397. *οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην.* 780. Vesp. 984. *οὐδέν ποι' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.* Lys. 749. *μὰ τὴν Ἀφροδίτην οὐ σύ γ', ἀλλ' ἢ χαλκίον | ἔχειν τι φαίνει κοῖλον.*

Schol. *ἀλλ' ἢ κατεγέλων:* (*Ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων καὶ Ἀθηναίων ἀλλήλοις μαχομένων, ἐπείπερ παρ' ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν.*) *ἐνετρύφων οὖν τοῖς ἐκ τοῦ πολέμου διαφθαρεῖσιν. αἰνίττεται δὲ εἰς τοὺς Ἀργείους ἐν τούτῳ τῷ πολέμῳ ἐπαμφοτερίζοντας· διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο.*

477. *διχόθεν μισθοφοροῦντες*] Demosthenes p. 739, 6. *ἐάν τις ἢ διχόθεν μισθοφορῇ ἢ ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ ἢ δικάζῃ κ. τ. λ.* Caeterum Argivi potuerunt et apud Lacedaemonios et apud Athenienses stipendia mereri quia utrisque ex aequo fuerunt amici. Thuc. II. 9. *Λακεδαιμονίων μὲν οἵδε ξύμμαχοι· Πελοποννήσιοι μὲν οἱ ἐντὸς τοῦ ἰσθμοῦ πάντες πλὴν Ἀργείων καὶ Ἀχαιῶν· τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν.* Et V. 28. *οἵ τε Ἀργεῖοι ἄριστα ἔσχον τοῖς πᾶσιν οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πολέμου, ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες ἐκκαρπωσάμενοι.* BE. Dem. p. 754. *δι' ἀπληστίαν δὲ τρόπων διχόθεν καρποῦνται τὴν πόλιν.* Pherecrates de iisdem Argivis ap. schol: *οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι | ἐπαμφοτερίζουσ' ἐμποδὼν καθήμενοι.* Hermipp. ap. Athen. I. 27 E. *καὶ Κερκυραίους ὁ Ποσειδῶν ἐξολέσειεν | ναυσὶν ἐπὶ γλαφυραῖς ὁτιὴ δίχα θυμὸν ἔχουσιν.* De Argivorum duplicitate v. Herod. VII. 152.

Schol. *διχόθεν: Ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων καὶ ἀποκλινόντων, ὁπότε δοκοίη αὐτοῖς, καὶ πρὸς Λακεδαιμονίους. — καὶ ὁ Φιλόχορός*

φησι πολεμοποιοῦντας πάλιν τοὺς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους. R. V. ἀπεμφαίνει οὖν καὶ ταῦτα διχόθεν μισθοφοροῦντες. (ἥρμοττε γὰρ μᾶλλον οὕτως εἰπεῖν, ὅτι οὐ προθυμοῦνται πρὸς τὴν εἰρήνην, καὶ ταῦτα μάλιστα πάντων τρυχόμενοι ἐν τῷ πολέμῳ. μή τι οὖν ἐν ἴσῳ τούτων εἴρηκε διὰ τὸ διχόθεν μισθοφορεῖν. περὶ δὲ Ἀργείων καὶ Φερεκράτης ἐν Αὐτομόλοις "οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι | ἐπαμφοτερίζουσ' ἐμποδὼν καθήμενοι.")

479—480. Cf. 625—627.

479. *ἆρ' οἶσθ'*] Scin'? Formula loquendi familiaris frequens apud comicos. Plaut. Mil. 1152. Scin' quemadmodum? Ter. Eun. II. 3. 46. Scin' quid ego te volebam?

ὅσοι — ἔχονται τοῦ ξύλου] Quotquot eorum lignum tractant, i. e. *οἱ ξυλουργοί*, fabri lignarii, qui instrumenta rustica, quae maximam partem e ligno fiunt, ut aratra et rastra, fabricant; ut ferrarius seu armorum fabricator (*ὁ χαλκεύς*) bellica. Ideo autem illi pacem expetebant quod in pace majus lucrum afferrent eorum artes. Cf. 545—547. Nisi hic potius sensus est, quotquot eorum manus ligno (i. e. vectibus) admovent. Cf. Lys. 313. *τίς ξυλλάβοιτ' ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν;* Infra 593. *καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω | ἐντεῦθεν ἐχομένοις ὅθεν νῦν ἕλκετε· | οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.* Huic expositioni favet articulus additus ante *ξύλου* (*τοῦ ξύλου*). Cogitandum est nimirum Pacis statuam ingentem restibus et vectibus ex caverna aut fovea elevari, ubi obruta et celata erat. Ii tantum serio rem agunt qui non modo funes sed vectes etiam admovent. Quod ad locutionem *ἔχεσθαί τινος*, cf. Plat. Phil. 16. *ὅσα τέχνης ἐχόμενα ἀνευρέθη*. Erast. 135. *μαθεῖν ὅσα ξυνέσεως ἔχεται, μὴ ὅσα χειρουργίας*. Polit. 289. *ὅσα ἔχεται κτήσεως*. Alc. I. 120. *ὅσα μαθήσεως ἔχεται*. Euthyd. 306. *ἐχόμενον φρονήσεως πρᾶγμα*. Id. de Virt. 377. *ὅσα διδασκάλων ἀγαθῶν εἴχετο*. 378. *ὅσα* (*ἔργα*) *σώματος ἔχεται*. Herod. III. 66. *τὰ ἐσθῆτος ἐχόμενα*.

Schol. ἆρ' οἶσθ' ὅσοι γ' αὐτῶν: *Καὶ ὁ Θουκυδίδης* [IV. 117] *ἱστορεῖ, λέγων μάλιστα τῆς εἰρήνης ἀντιποιεῖσθαι τοὺς Λακεδαιμονίους διὰ τοὺς ληφθέντας αὐτῶν ἐν Σφακτηρίᾳ. λέγει γὰρ οὕτως "τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι ἕως ὅτε ὁ Βρασίδας εὐτύχει." καὶ ἐν ἄλλοις* [V. 15], (*"ταῦτα οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧττον τοῖς Λακεδαιμονίοις ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι. ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι συγγενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν, ἀλλ' οἱ Ἀθηναῖοι μὲν οὔπω θέλοντες ἐξυφαιρουμένοις ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς ἐνῆγον καὶ ἐσπούδαζον ὡς ἂν εἰρήνη γένηται." Ἄλλως.*) *ταῦτα οὐ μόνον διὰ τὸ κεκμηκέναι τῷ πολέμῳ, ἀλλὰ καὶ διὰ τοὺς ἐν Σφακτηρίᾳ τριακοσίους τοὺς δεδεμένους τῷ ξύλῳ τῆς ποδοκάκης τοῦ νῦν καλουμένου κούσπου.*

480. *χαλκεὺς*] Armorum fabricator, qui paci adversatur. DIND. Inter fabros rei bellicae enumerantur *χαλκοτύποι*, *τέκτονες*, *σιδηρεῖς*, *σκυτεῖς*, *γραφεῖς*.

Schol. *ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ*: *Ὅτι ἐδέδεντο καὶ περιέκειντο αὐτοῖς πέδαι.*

481. *Μεγαρῆς*] Socii Lacedaemoniorum in bello Pelop., et inter eos qui nauticas copias iis suppeditabant.

Schol. *οὐδ' οἱ Μεγαρῆς*: *Ὡς καὶ τούτων βαρέως φερόντων ὅτι ἔκσπονδοι ἐγένοντο, βουλομένων δὲ τὴν εἰρήνην διὰ τὸ μάλιστα πεπιέσθαι τῷ λιμῷ καὶ τῷ πολέμῳ. (τοῦτο δὲ οἱ καλῶς ἐξηγούμενοι τοῦ Τρυγαίου φασίν.)*

482. *γλισχρότατα σαρκάζοντες*] Perquam avide diducentes rictum, famelicorum catulorum instar, qui ossa aut frusta carnis cum rictu adhaerentes tenent et arrodunt. Megarenses sc. penuria et fame laborantes (vid. Ach. 534) aliorum ope invocata efficere voluerant ut Periclis edictum tolleretur; quae etiam praecipua causa belli fuit. Et nunc eos increpat Mercurius, ut supra Boeotos et Argivos, quod, vultu quidem et specie pacem extrahere conari videantur, revera obstent et aliis impedimento sint. Cf. Ach. 452. *γλίσχρος προσαιτῶν λιπαρῶν τ'*. Plut. Alc. 35. *ἤδη γλίσχρως χορηγῶν καὶ τὸ τριώβολον*. 25. *γλίσχρως χορηγοῦντα*. Pomp. 59. *ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνῄεσαν*. Ex eadem stirpe qua *σαίρειν* derivatum videtur *σαρκάζειν*. Hesychius. *Σαρκάζων*: *μετὰ πικρίας γελῶν*. Cf. ad Ran. 966. *σαρκασμοπιτυοκάμπται*.

Schol. *γλισχρότατα*: *Ὅτι γλίσχρος ἐπὶ δυστυχίᾳ ἐλέγετο. σαρκάζοντες δὲ ἤτοι ἐξισχνούμενοι καὶ ἠτονηκότες καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. (ἢ οὕτως, ἕλκοντες κατὰ τὸν τῶν κυνιδίων τρόπον, οἳ τὰ ὀστέα περιτρώγοντες καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπ' αὐτῶν τῷ δοκεῖν ἐσθίουσι. φανερὸν δέ ἐστιν ὅτι ἐπίτηδες χαριζόμενος πάλιν τοῖς Ἀθηναίοις διέσυρεν οὕτως τοὺς Μεγαρεῖς, πρῶτον μὲν αὐτοὺς κυσὶ παραβαλών, ἔπειτα τῷ ὑποκοριστικῷ καὶ τῇ σμικρότητι τῶν κυνιδίων εἰς πλείονα κατάγαγὼν ταπεινότητα. πάνυ γὰρ καὶ διαπρυσίως ἐμισοῦντο ὑπὸ τῶν Ἀθηναίων δι' ὃν εἰρήκαμεν τρόπον. καλῶς δ' ἂν ἔχοι τοῦτο τηρῆσαι πρὸς τὸ Ἱππονάκτειον οὕτως ἔχον "σαρκῶν κύων λιμῷ." οὐ γάρ ἐστι τῶν σαρκῶν, ὥσπερ ἀξιοῦσι τῶν ἐξηγησαμένων τινές. παντάπασι γὰρ ἂν εἴη αὐτὸ ὑπεναντίον ἑαυτῷ. ἔργον γὰρ τοῦ λιμοῦ οὐ σάρκας ἐμποιεῖν, ἀλλὰ τοὐναντίον ἀπισχνοῦν τὰ σώματα καὶ τῶν σαρκῶν παραιρεῖσθαι τὸν ὄγκον.)*

σαρκάζοντες: *Οἷον ὑποσεσηρότες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινὰ καὶ ἀφέλκῃ τοῖς ὀδοῦσι. τὸ δὲ "ὑπὸ τοῦ γε λιμοῦ ἐξολωλότες" ὅτι ὡς λιμώττοντες ἀεὶ Μεγαρεῖς παίζονται. διὰ τοῦτο γὰρ καὶ τοὺς παῖδας ἐπίπρασκον τοὺς ἑαυτῶν. καὶ ἐπεθύμουν μὲν τῆς εἰρήνης, διὰ δὲ τοὺς Ἀθηναίους ἀνεβάλλοντο αὐτήν, ὥς φησι Θουκυδίδης.*

483. *ὑπὸ τοῦ γε λιμοῦ*] Causa famis quia foro Attico carendum erat ipsis durante bello. Etiam antequam bellum inciperet, cum ex edicto Periclis arcerentur foro et portubus Atticis, statim penuria laborabant. Hinc aliorum opem implorantes efficere volebant ut illud edictum tolle

retur; quae etiam praecipua causa belli fuit. In Ach. 530. *ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην, | Λακεδαιμονίων ἐδέοντο τὸ ψήφισμ' ὅπως | μεταστραφείη.* In eadem fab 729, cum Megarensis longo post tempore Athenas ad mercatum venisset, dicit, *ἀγορὰ 'ν Ἀθάναις, χαῖρε, Μεγαρεῦσιν φίλα· | ἐπόθουν τυ ναὶ τὸν φίλιον ᾆπερ ματέρα.* Paulo post 751, cum ex eo quaereret Atticus, *πῶς ἔχετε;* ille respondet, *διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ.* BE. Redde, ut qui fame mehercle pereant.

Schol. (*ὑπὸ τοῦ γε λιμοῦ: Λιμώττειν αὐτοὺς λέγει ἐπειδή, ὅτε μὲν εἰρήνη ἦν, εἰσήρχοντο εἰς τὴν Ἀττικὴν καὶ ἀπετρέφοντο διὰ τὸ πωλεῖν καὶ συναλλάσσειν· νῦν δὲ πολέμου ὄντος ἐφοβοῦντο εἰσελθεῖν εἰς τὴν Ἀττικὴν καὶ ἀγοράσαι ἃν ἔχρῃζον· ἐξ αὐτῶν γὰρ ἐγένετο ἡ αἰτία τοῦ πολέμου. ἐξ Ἀττικῆς δὲ ὠνοῦντο τὰς τροφὰς διὰ τὸ καὶ πλησιάζειν αὐτῇ, καὶ διὰ τὸ ὀλίγην παντάπασιν ἔχειν χώραν τὴν γεωργουμένην. εἰκὸς οὖν ἦν τοὺς Ἀθηναίους ἐπεξιόντας αὐτοῖς κωλύειν τὴν παρ' αὐτοῖς γῆν γεωργεῖν. ἢ ὅτι εἰς πολιορκίαν κατέστησαν αὐτοὺς οἱ Ἀθηναῖοι τὴν Νισαίαν τειχίσαντες, — ὅπερ πρὸς τῇ θαλάττῃ τῶν Μεγαρέων ἐπίνειον ἦν, ἀπέχον οὐ πολὺ διάστημα ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως. ἐπάναγκες οὖν αὐτοὺς λιμώττειν. σαρκάζειν δέ ἐστι κυρίως τὸ τὸν κύνα πεινῶντα τὰ λεπτὰ τῶν σαρκῶν τοῦ ὀστέου ἀπογλύφειν.* V.)

484. *Schol. ἅπαντας δεῖ ὁμονοεῖν.* V.

485. *ἀντιληπτέον*] Eq. 603. *ληπτέον μᾶλλον.* Dem. p. 15, 5. *ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων.* p. 200. *ἐγὼ μὲν οὖν οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τῶν πραγμάτων τούτων ἐρρωμένως.*

Schol. *ὢ εἷα:* [[*Ἡ ἀμοιβαία αὕτη ἀντιστροφὴ τῆς ῥηθείσης ἐστὶ στροφῆς, καὶ εἰσὶ τὰ κῶλα καὶ ταύτης ὅμοια ἐκείνοις· ἔν τισι δὲ καὶ ἑτέρους δέχεται πόδας τοῦ αὐτοῦ μέτρου ὄντος. ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ.*]] *δύο διπλαῖ· ἕπεται γὰρ ἡ ἀντίστροφος τῇ προτέρᾳ περικοπῇ ἀμοιβαία δ' κώλων, ἔχουσα καὶ τὴν εἰς τὰ πρόσωπα διαίρεσιν ὁμοίαν, οὗ ἡ ἀρχὴ "ὢ εἷα," τέλος δὲ "ἀλλ' εἴσ' οἳ κωλύουσιν."* V.

492. *ἀντισπᾶν*] Cf. Aesch. Prom. 345. *ὁρμώμενον δὲ μηδαμῶς μ' ἀντισπάσῃς.*

Schol. *οὐ δεινὸν καὶ ἄτοπον τοὺς μὲν ἐξ ἡμῶν τῆς εἰρήνης ὀρέγεσθαι διὰ τοῦτο, τοὺς δὲ ἀντιπράττειν. καλῶς δὲ τοῖς ὀνόμασιν ἐχρήσατο τῷ τείνειν καὶ τῷ ἀντισπᾶν.* V. *ἀντὶ τοῦ ἐναντιοῦσθαι.* R.

493. **Schol.** *ἐπειδὴ ἀπ' ἀμφοτέρων τῶν μερῶν μισθὸν ἐλάμβανον καὶ κατετέλουν.* R. V.

496. *κακόνοι*] Ut *εὖνοι* Vesp. 887. et Dem. p. 195. Cf. 671. *ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε.* Dem. p. 667. *οἱ κακόνοι.* Dinarch. I. 66. *οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως.*

Schol. *ὡς κακόνοι τινες εἰσιν ἐν ὑμῖν: Οἷον ἐχθροὶ καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὴν εἰρήνην.*

497. *οἱ κιττῶντες τῆς εἰρήνης*] Anglice, ye who long (have a longing, yearn) for peace. Schol: *ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν.* Cf. Vesp. 349. *οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.* Nusquam alibi apud comicos legitur hoc verbum.

Schol. κιττῶντες: Ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν. ἤγουν ἐπιθυμοῦντες, καὶ ἐπειδὴ ἀδηφάγον καὶ παμφάγον ὄρνεον ἡ κίττα, περίεργον δὲ καὶ εἰς ἐπιθυμίαν. κιττᾶν οὖν τὸ ἐπιθυμεῖν. ἀπὸ τῶν γυναικῶν τῶν ἐν ἐπιθυμίᾳ γινομένων ἐδεσμάτων τινῶν μετὰ τὸ συλλαβεῖν.

498. σπᾶτ'] Indicativus, opinor, non imperativus.

ἀνδρείως] Cf. ad Eq. 453. Thesm. 656. εὖ κἀνδρείως.

500. ἐς κόρακας ἐρρήσετε] I. e. In maxumam malam crucem abibitis, ut Plautino sermone utar (Capt. III. 1. 9. Cas. III. 4. 21.). Cf. Vesp. 51. ἐς κόρακας οἰχήσεται. Amipsias Athen. p. 8 E. ἔρρ' ἐς κόρακας. Alexis Athen. p. 610 E. ἐς κόρακας ἔρρειν φασὶν ἐκ τῆς Ἀττικῆς.

Schol. [[ἄνδρες Μεγαρῆς: Ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων η'. καὶ ἐν εἰσθέσει ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δ'. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.]]

οὐκ ἐς κόρακας: Ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίσετε. πολλάκις δὲ εἰρήκαμεν ὅτι ἐπὶ κατάρας τίθεται τὸ ἐς κόρακας.

502. σκορόδοις ἠλείψατε] Schol: quasi alliorum acrimonia unxistis Pacem (i. e. exacerbastis nos, ut Pax turbaretur). Sunt autem multa apud ipsos allia (v. supra v. 246). Et videntur Megarenses belli inceptores fuisse propter raptum meretricularum Aspasiae et inde ortam iram Periclis et ejus contra ipsos edictum. V. in Ach. 526. Praeterea ioquitur de Pace tanquam de puella delicata odorem allii aversante. BE. Cf. Ach. 526 et seqq.

Schol. τοῖς σκορόδοις: (Ἀντὶ τοῦ δριμύτητι, ὅτι πολλὰ σκόροδα παρὰ Μεγαρεῦσι.) αἰτίαν εἶχον οἱ Μεγαρεῖς ὡς ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν Ἀσπασίας καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους καὶ τὸ ψήφισμα, ὡς ἐν Ἀχαρνεῦσι [527] φησίν.

504. *Schol.* ἐντεῦθεν: Ἐκ τούτου τοῦ μέρους. λέγει δὲ τοῦ μὴ θέλειν ποιεῖν τὴν εἰρήνην.

505. Cf. Av. 40. Ἀθηναῖοι δ' ἀεὶ | ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον. Ach. 376. οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψήφῳ δακεῖν (δάκνειν?).

Schol. οὐδὲν γὰρ ἄλλο δρᾶτε: Παρὰ προσδοκίαν εἶπεν οὐ πρὸς τὴν εἰρήνην, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν. ἀντὶ τοῦ εἰπεῖν, οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν φωνεῖτε οὐδὲν ἕλκοντες. Ἄλλως. οὐδὲν πρὸς τὴν εἰρήνην τοῦτο, ἀλλ' εἰς φιλονεικίαν αὐτοὺς διαβάλλει. φησὶν οὖν ἐν οὐδενὶ ἱκανοί ἐστε πλὴν ἐν τῷ δικάζειν. καλῶς δὲ τοὺς Ἀθηναίους ἀπέσκωψεν. ἵνα μὴ τὸ πᾶν διαβάλῃ ποίημα ὡς ἐν πᾶσιν αὐτοῖς χαρίζεσθαι προαιρούμενος καὶ ἀποκρύπτων αὐτῶν τὰς αἰτίας, ὅπερ ἂν ἔδοξε ποιεῖν μηδὲ χαριεντισάμενος καὶ πρὸς αὐτούς. ὅρα τοίνυν πῶς ἀμφότερα διαπράττεται, καὶ τὸ ἀδιάφορον τῶν σκωμμάτων ἀποκρύπτων τὰ μείζονα· ἐπεὶ εἴγε καὶ αὐτῶν καθάπτεσθαι ἐβούλετο, εἰ καὶ μηδὲν ἕτερον εἶχε κατὰ τῶν Ἀθηναίων εἰπεῖν, ἐγγύθεν γοῦν ἠδύνατο ἀπὸ τῶν Μεγαρέων λαβεῖν μνημονεύσας τοῦ κατ' αὐτῶν ψηφίσματος, ὅπερ μετ' ὀλίγον ποιήσει. ἀλλ', ἐπειδὰν εἰς ἐκεῖνα γενώμεθα, τὴν ἀρετὴν τοῦ ποιητοῦ δείξομεν λέγοντες τὴν αἰτίαν δι' ἣν οὐ νῦν ἐμνημόνευσεν, ἀλλὰ τότε. V.

507. *πρὸς τὴν θάλατταν*] Hoc vult dicere, quod olim Themistocles semper suadebat, *ὅτι ἀνθεκτέα τῆς θαλάττης.* BE. Ingeniosum est hujus loci acumen, quo submonet Athenienses ut maritimarum opum studio se applicent, quod identidem eis suadere solebat Themistocles. BR. Idem consilium dat Ran. 1465. *πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.* Cf. Eq. 1350—1353. Aliter accipit Lenting, quasi nimiam in re navali confidentiam pacis recuperandae causa deponere jubeantur Athenienses, apposita veteris magistri interpretatione, *ὀλίγον τῆς κατὰ θάλατταν βίας ἐνδοτε. πρὸς τὴν θάλατταν· τουτέστι πρὸς τὸ ναυμαχεῖν.* Imo hoc suadet Comicus, ut pecunias publicas navibus potius quam judiciis impendant.

Schol. *πρὸς τὴν θάλατταν*: (*Ἴσως διὰ τοῦτο τῆς πρὸς τοὺς Πέρσας νίκης ὑπομιμνήσκει αὐτούς, ἀναφέρων ὡς ὅτι καὶ ἐπ' ἐκείνων τῶν χρόνων ἐθαλασσοκράτουν Ἀθηναῖοι. Ἄλλως.*) *καθ' ὃ ἐπιβαίνοντες ἔτεμνον τὴν Λακωνικὴν καὶ τὴν ἄλλην Πελοπόννησον. ἀποχωρεῖτε οὖν, φησί, καὶ ἀποπλέετε εἰς τὰ ἴδια καὶ ὀλίγον τῆς κατὰ θάλατταν βίας ἔνδοτε. ἐθαλασσοκράτουν γὰρ τότε. — Ἄλλως. ἐπειδὴ γὰρ Ἀθηναῖοι πρὸς τῇ θαλάσσῃ εἰσίν, ἐκώλυον τοῖς μεσογείοις* (*τοὺς μεσογείους*?) *ἔχειν τὰ ἀναγκαῖα. φησὶ δὲ ὅτι, εἰ θέλετε εἰρηνεῦσαι πρὸς τὴν ἑαυτῶν χώραν καὶ τὸν ἴδιον τόπον καὶ τὸν παρὰ θάλατταν, ὑποχωρήσατε καὶ μὴ τῶν ἀλλοτρίων ἀντιποιεῖσθε· τῶν μεσογείων δῆλον ὅτι ἤθελον καὶ τῆς γῆς κρατεῖν.* V.

508. *αὐτοὶ — μόνοι*] Vesp. 1062. *καὶ κατ' αὐτὸ δὴ μόνοι τοῦτ' ἄνδρες ἀλκιμώτατοι.* Ran. 78. *ἀπολαβὼν αὐτὸν μόνον.*

509. *χωρεῖ — τὸ πρᾶγμα*] Cf. 510. Nub. 907. *χωρεῖ τὸ κακόν.* Eccl. 148. *τὸ χρῆμ' ἐργάζεται.* 1164. Vesp. 1483, *τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.* Dem. p. 402. *ὡς δὲ προήει τὸ πρᾶγμα* (sc. *τὸ πίνειν*).

Schol. *χωρεῖτε*: *Τοὺς μὲν ἄλλους πάντας τοῦ ἕλκειν ἀπέστησεν ὁ Ἑρμῆς τοῖς γεωργοῖς μόνοις ἐπιτρέψας ἕλκειν. διό, φησί, νῦν προκόπτει τὸ ἔργον.*

511. *οἵ τοι γεωργοί*] Cf. ad Lys. 919. *ἥ τοι γυνὴ φιλεῖ με.* Soph. Fr. 678. *ἥ τοι Κύπρις.* De re cf. Plut. Nic. 9. *τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν.*

τοὖργον ἐξέλκουσι] Opus extrahendo peragunt. Locutio praegnans. Si quidem sincera est lectio.

512. Monometer anapaesticus, ut v. 1105. Aesch. Eum. 841. 844. 846.
Schol. *ἄγε νῦν*: [[*Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων η', ὧν τὸ μὲν α' ἀναπαιστικὴ βάσις. τὸ δεύτερον ὅμοιον δίμετρον. τὰ γ', δ', ς' ἰαμβικὰ δίμετρα. τὸ ε' ὅμοιον ἐφθημιμερές. τὸ ζ' παιωνικὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παλιμβακχείων καὶ κρητικῶν. τὸ η' δίμετρον ὑπερκατάληκτον ὅμοιον. ὑφ' ὃ κορωνίς.*]] *διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων η' ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ. τὸ πρῶτον ἀναπαιστικὸν διπλοῦν. τὸ β' ἰαμβικὸν ἐφθημιμερές. τὸ γ' καὶ τὸ δ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ζ' καὶ η' ὁμοίως. καὶ μὴν ὁμοῦστιν ἤδη ἀντὶ τοῦ ἐγγύς.* R.

513. ὁμοῦ 'στιν ἤδη] Iam prope est. Ὁμοῦ enim valet ἐγγύς. Thesm. 572. πρὶν οὖν ὁμοῦ γενέσθαι. Fr. 458. λάβεσθε· καὶ γάρ ἐσθ' ὁμοῦ. Menand. IV. 305. ἔστιν δ' ὁμοῦ τὸ χρῆμα. Menand. IV. 279. ἤδη γὰρ ἡ κόρη 'στὶ τοῦ τίκτειν ὁμοῦ. (Ita enim lego.) Xen. Hell. IV. 5. 15. πρὶν τοὺς ὁπλίτας ὁμοῦ γενέσθαι. Soph. Ant. 1180. Phil. 1218.

515. *Schol.* ἀντὶ τοῦ ἕλκωμεν. R.

516. ἤδη 'στὶ τοῦτ' ἐκεῖνο] Jam illud ipsum evenit quod volebamus! Cf. ad 289. Av. 354.

517. *Schol.* ἀ εἶα ὦ εἶα: Ἀνηνέχθη ἡ Εἰρήνη. οὕτω δὲ εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν (ἐπεγείρειν?) τὴν ὁρμὴν τῶν ἑλκόντων.

520. Jam Pacem extraxerunt et salutant. BE. Grandi figura mulierem repraesentatam fuisse colligi potest ex scholio ad Plat. p. 331. ed. Bekk. κωμῳδεῖται δὲ (Ἀριστοφάνης) ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ [in priori Autolyco secundum Bergk. Comm. p. 342.], Πλάτων Νίκαις DIND. "The [statue of the] goddess Peace must, when raised, have reached to the upper stage, or nearly so, for Hermes to [be able] to whisper to her (660—705); and Opora and Theoria must have come out upon this stage at the proper moment, for they certainly follow Trygaeus down (v. 727), and Trygaeus expressly says that he got them from heaven (v. 832)." — "How the image (a colossal one) was raised cannot be exactly decided. The visible pulling by the Chorus was perhaps assisted by some contrivance for pushing it up from below." (GREEN Pref. p. VIII.) Epitheta βοτρυόδωρε et μυριάμφορον bene conveniunt agricolae.

Schol. [[ὦ πότνια: Εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων να'. ὧν οἱ μὲν λγ' ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. οἱ δὲ ἑξῆς ιη' τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει ἡ ἔξω διπλῆ.]]

(βοτρυόδωρε: Βότρυς δωρουμένη. ὦ εὐφραντοποιέ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι. οἰκεῖον δὲ τοῖς γεωργοῖς καὶ τὰ παρ' αὐτῶν ἐπίθετα. βοτρυόδωρε καὶ μυριάμφορε (l. μυριάμφορον), οἷον βότρυς δωρούμενον (δωρουμένη?). μυριάμφορον δὲ τίμιον καὶ πολυπληθῆ, μυρίων ἀμφορέων ἄξιον. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενον. ἀπὸ δὲ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο.)

521. πόθεν ἂν λάβοιμι —] Fr. 85. πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων; Fr. 80. πόθεν ἂν λάσανα γένοιτό μοι;

ῥῆμα μυριάμφορον] Verbum quo satis exprimam quantus vini proventus tempore pacis esse soleat; vocabat enim pacem βοτρυόδωρον. BE. Proprie, verbum decies mille amphorarum capax. Cf. Vesp. 481. τῶν τριχοινίκων ἐπῶν. Crates Athen. 418. ἔπη τριπήχη. Av. 465. λέγειν ζητῶ τρίπαλαι μέγα καὶ λαρινὸν ἔπος τι. Ran. 821. ῥήμαθ' ἱπποβάμονα. Plat. com. II. 639. γωνιαίου ῥήματος. Alex. III. 434. ὀφρῦς ἔχον | χιλιοταλάντους.

522. ὅτῳ προσείπω σ'] Cf. Eq. 1192. ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς.

οὐ γὰρ εἶχον οἴκοθεν] Non enim habeo domi (a me ipso). Schol: *ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ.* Achaeus Athen. 414 C. *ὡς ἔχοντες οἴκοθεν τρυφήν.* Eur. Tro. 647. *τὸν δὲ νοῦν διδάσκαλον | οἴκοθεν ἔχουσα χρηστὸν ἐξήρκουν ἐμοί.* Dem. p. 794. *ὑμῶν ἕκαστος ἔχων οἴκοθεν ἔρχεται ἔλεον, συγγνώμην, φιλανθρωπίαν.* Eur. Suppl. 193. *οὔτοι δύναιτ'* (*δύναι'*?) *ἂν οἴκοθέν γ' ἀτώμενος | τέρπειν ἂν ἄλλους.* Eur. Alcm. Fr. 13. *σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας | πάντες διαιρεῖν* (l. *διαθρεῖν*) *ἢ τύχας τὰς οἴκοθεν.* Plut. Mor. p. 55 F. *ἡ οἴκοθεν κρίσις.* Soph. Tr. 730. *ᾧ μηδέν ἐστ' οἴκοι βαρύ.* 1021. Plaut. Mil. II. 2. 38.

εἶχον] Cf. ad 142. Vesp. 855. *ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.* Lys. 1184.

Schol. οὐ γὰρ εἶχον οἴκοθεν: *Ἄξιον σοῦ ἐπαίνου οὐκ εἶχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴ γε μέχρι καὶ τῶν τοιούτων ἐστέρηται ῥημάτων.*

523. Opora et Theoria cum Pace ex antro educebantur. Mulierculae autem erant meretricum more ornatae. BR. Compellare his videtur Theoriam aut fortasse ipsam deam Pacem. Cf. ad 530.

καὶ σὺ δ'] Cf. 250.

Schol. χαῖρ' ὀπώρα: *Ὡς καὶ τούτων σὺν τῇ Εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας.*

525. Redde, O quale et quam suave spiras in pectus meum, sane dulcissumum, quasi vacationis a militiae et unguenti! Cf. Ach. 192. *ὄζουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις | ὀξύτατον, ὥσπερ διατριβῆς τῶν ξυμμάχων.*

πνεῖς) I. q. *ὄζεις.* Cf. Ran. 338. *ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.* Nub. 1007. Eq. 437. Soph. Fr. 147. *τεῦχος οὐ μύρου πνέον.* Anacr. 15, 9. *γράφε καὶ μύρου πνεούσας.* Nicaeneti Epigr. *ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ | Κρατῖνος, ἀλλὰ παντὸς ὠδώδει πίθου.* Lucian. V. A. 12. *ὅσων* (*ὅσον*?) *δὲ καὶ ἀποπνεῖ μύρων.* Dial. mer. XII. 4. *μύρων καὶ αὐτὸν ἀποπνέοντα.* Dial. Mort. XX. 5. *ἀποπνέων μύρων.* Rhet. praec. 11. *μύρων ἀποπνέοντα.* Hinc *πνοή*, i. q. *ὀδμή.* Lucian. Nigr. 32. *τῇ πνοῇ τῶν ἴων τε καὶ ῥόδων.*

κατὰ τῆς καρδίας] Cf. Lys. 552. *ἀλλ', ἥνπερ — Ἀφροδίτη | ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ*, etc.

526. *γλυκύτατον —*] Sc. *πνεῖς*, i. q. *ὄζεις.* Cratin. ap. Athen. 690. *γλυκύτατον δ' ὦζε βασιλείου μύρου.* Cf. Ach. 192. *ὄζουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις | ὀξύτατον, ὥσπερ διατριβῆς τῶν ξυμμάχων.* Nub. 1007. *μίλακος ὄζων καὶ ἀπραγμοσύνης.* Vesp. 38. *ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.* Eq. 892. *βύρσης κάκιστον ὄζων.*

ἀστρατείας καὶ μύρου] Cf. Ach. 1066. "Rem odoris expertem conjungit cum odorata, ut in Nubibus v. 1007. *μίλακος ὄζων καὶ ἀπραγμοσύνης.*" BE.

Schol. ἀστρατείας: *Ἀντὶ τοῦ εἰρήνης, ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται. θέλων δὲ εἰπεῖν εὐωδίας ἢ ἄλλου τοιούτου τοῦτο παρ' ὑπόνοιαν εἶπε.*

527. *μῶν οὖν —;*] Num ergo similis est odor sportae militaris? Rogers vertit: 'Not quite the odour of a knapsack, eh?' Supplendum *πνεῖ* vel *ὄζει* (cf. 529. Vesp. 1058.). De particulis *μῶν οὖν* cf. ad Pl. 845. Eur. Andr. 81. *μῶν οὐ* (*οὖν* Musgr.) *δοκεῖ σοι φροντίσαι τιν' ἀγγέλων;* Aesch. Cho. 177. *μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ᾖν τόδε;* Plat. Pol. 292 E. *μῶν οὖν δοκεῖ πλῆθος* etc. Legg. III. 680. *μῶν οὖν οὐκ ἐκ τούτων* etc. Hipp. maj. 301. *μῶν οὖν — ἑκάτερος ἄρτιος ἡμῶν ἐστίν;* Alc. I. 120. *μῶν οὖν οἴει τι βλαβήσεσθαι —;* Polit. 307. Phil. 22. 23. Lucian. D. D. VI. 1. *μῶν οὖν ἐπείρα τινά;* Deor. conc. 6. *μῶν δ' οὖν κἀμὲ ξένιας διώκεις;* Ammian. in Anthol. II. 52. *ὦγαθέ, καὶ μῶν οὖν, καὶ ποῖ δή* etc. — *ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.* Similiter *μῶν μή* Plat. Lys. p. 208 C. V. Stallbaum. ad Plat. Phaed. 84 C.

527. *γυλιοῦ στρατ.*] Sub. *πνεῖ*, nisi hoc ipsum reponendum est, quod suspicor, pro *καί*. Noli putare genitivum *γυλιοῦ* pendere ab *ὅμοιον*. (Thom. M. 649. *ὅμοιον τῷ δεῖνι καὶ ὅμοιον τοῦ δεῖνος.* Ut Latini dicunt 'similis tui' et 'similis tibi.') De voce *γύλιος* aut *γυλιὸς* v. ad Ach. 1097. 1137. Alex. com. III. 433. *στρωματέα καὶ γύλιον.* Philem. IV. 12. *καὶ γύλιόν* (*γυλίαν* libri) *τιν' ἀργυρωμάτων.* Hinc compositum *γυλιαύχην* infra 789.

στρατιωτικοῦ] Phoenicid. com. IV. 511. *φίλον εἶχόν τινα στρατιωτικόν.*

Schol. *γυλίου:* [[*Ἀγγεῖον στρατιωτικόν, εἰς ὃ τὰς τροφὰς ἄγονται* (*ἀποτίθενται* aut *συνάγονται*?) *οἱ στρατιῶται.*]] *πλέγματος στρατιωτικοῦ σκευοφόρου, πρὸς τὸ μὴ κατάγνυσθαι. φησὶν οὖν ὅτι οὐ ταυτὸν ὄζουσιν ὁ γύλιος καὶ ἡ θεωρία. καὶ διὰ τούτων δὲ σύγκρισιν ποιεῖται τῶν τῆς εἰρήνης καλῶν καὶ τῆς ἐν τῷ πολέμῳ ταλαιπωρίας. πλέγμα τι στρατιωτικόν, ἐν ᾧ ἀπετίθεντο τυρὸν καὶ ἐλαίας καὶ κρόμμυα. ἔστι δὲ καὶ ζῷον, οὗ μέμνηται Σώφρων "Ἡράκλεις πνῖγος γυλιόν τι." ἔστι δὲ ὁ καλούμενος ὑπό τινων χοιρογρύλλιος.*

528. *ἀπέπτυσ'*] Respuo, abominor. Eur. Hel. 672. *ἀπέπτυσα μὲν λόγον.* Iph. A. 874. *ἀπέπτυσ', ὦ γεραιέ, μῦθον.* 509. *ἀπέπτυσα | τοιάνδε συγγένειαν* etc. Eur. Meleag. Fr. 14. *ἀπέπτυσ' αὐτό.* Aesch. Prom. 1069. *κοὐκ ἔστι νόσος | τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.* Et simpliciter *ἀπέπτυσ'* Hec. 1276. Iph. T. 1161. Hipp. 610. Sic Soph. Phil. 1434. *παρῄνεσ'.*

ἐχθροῦ φωτός] Sc. *τοῦ στρατιώτου*, quod intelligendum ex praegresso verbo *στρατιωτικοῦ*. Euripidis verba ex Telepho *παρῳδεῖ*. Vide schol. Cf. Plat. com. II. 662. *τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος.* In scholio *ἢ Τληπολέμου* post *Τηλέφου* jure delevit Meinekius Fr. Com. I. 385.

πλέκος] I. q. *πλέγμα* (cf. ad Nub. 1176.). Cf. Ach. 454. Eur. Ion. 39. *σκῦτος* (*πλέκος* Herw.). Est autem *πλέκος* i. q. *πλεκτὴ σχοῖνος* (Poll X. 92.).

Schol. *πλέκος:* *Ἐσχημάτισται ὡς ἀπὸ τοῦ βλέπω βλεπτός* (?) *καὶ Ἀττικῶς βλέπος, καὶ ὡς ἀπὸ τοῦ ῥέω ῥέος. ἔστι δὲ Εὐριπίδου ἐκ Τηλέφου τὸ "ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος."* V.

529. *τοῦ μὲν γὰρ ὄζει κρομμ.*] Cf. Vesp. 1058. *ὑμῖν δι' ἔτους τῶν ἱματίων ὀζήσει δεξιότητος.* Eq. 1331. *οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν.* Plura vide ad Pl. 1020.

κρομμ.] Acris cepae eructationis. Compositum ex *κρόμμυον*, *ὀξύ*, *ἐρεύγω*. Formatum ab *ὀξυρεγμεῖν*, quod euphoniae gratia, ut videtur, positum est pro *ὀξερυγμεῖν*. Phot. 340, 22. *ὀξυρεγμεῖν. ὅταν μεθ' ἡμέραν ἐποξίσῃ ἡ τροφή.* Cf. Fr. 398. *καὶ κρῖνον αὐτὴ μὴ μετ' ὀξυρεγμίας* (*ὀξερυγμίας* Dobr. non prob. Dind.). Lucian. de Merc. c. 19. *ἵνα γοῦν σοι τὴν ὀξυρεγμίαν τὴν ἐπὶ τούτοις παρῶ.* Id. Alex. 39. *πολλὴν τὴν σκοροδάλμην ἐρυγγάνοντες.* Id. Epist. Sat. II. 28. *δυσῶδές τι καὶ καπνωδέστερον ἐρυγγάνοντες.* Menand. IV. 334. *τὴν κραιπάλην ἀπερυγγάνω.* Eur. Cycl. 523. *ἐρυγγάνω γοῦν αὐτὸν ἡδέως ἐγὼ* (sc. *τὸν οἶνον*). *Ὀξυρεγμία* legitur etiam Hipp. Aphor. 1256. *ὀξυρεγμιᾶν* Dioscor. IV. 1. *ὀξυρεγμιώδης* Hipp. Aphor. 1257. Acut. 388. De cepa cibo militari cf. Equit. 600. Ach. 1099.

Schol. *κρομμυοξυρεγμίας*: *Ἀπεψίας·* (*δριμεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συνέθηκε τὴν λέξιν. ταῦτα γὰρ εἰώθασι κομίζειν εἰς τὸν πόλεμον.*) — *ἐξ ὧν δυσώδης καὶ ὁ γύλιος. ἢ καὶ ὅτι ἐπὶ πολὺ ἐγκαλυπτόμενος ὁ γύλιος ἐκ τῶν διαφόρων ὄψων τε καὶ ζωμῶν ὀξίδος σύμμικτόν τινα ὀσμὴν ὄδωδεν, οὐχ ὡς ἡ Θεωρία.* V.

530. *ταύτης δ'*] Sub. *ὄζει* ex praec. v. Sc. *τῆς Θεωρίας.* Cf. ad 524.

ὑποδοχῆς] Cf. Ach. 979. *οὐδέποτ' ἐγὼ Πόλεμον οἴκαδ' ὑποδέξομαι.*

Διονυσίων] Quia festo Dionysiorum imprimis jucunde vivitur. Sic ille in Acharn. 194, cum olfaceret Pacem tricennalem, exclamat: *ὦ Διονύσια·* | "*αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος.* V. Suid. BE.

Schol. *Διονυσίων*: *Ἀντὶ τοῦ πλήθους καὶ πολλῶν Διονυσίων. ἐν γὰρ εἰρήνῃ συνεχῶς ἦν ἡ θέα.*

531. *Σοφοκλέους μελῶν*] Suavissima haec esse vulgo ferebantur. V. Dind. ad Arist. Fr. p. 117. Meinek. Fr. Com. I. 157. Vit. Soph. XXI. *μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθὸ καὶ μέλιττα ἐλέγετο. ἤνεγκε δὲ τὰ μικτά, εὐκαιρίαν, γλυκύτητα, τόλμαν, ποικιλίαν.* Macar. VII. 74. *Σοφοκλέους μέλη.* Unde *μέλιττα* audiebat. Euripidis contra versus *ἐπύλλια* per contemptum vocat noster. Ceterum ridicule *κιχλῶν* meminit inter Sophoclis carmina et Euripidis. Cf. Eq. 1007. Similiter Eubulus Athen. 640 B. *σῦκα, κλητῆρες, βότρυς.*

Schol. *αὐλῶν, τραγῳδῶν*: *Ἐπεὶ καθόλου μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ καὶ θαλίαις ἐξετάζεται. ἐν δὲ τοῖς ἱσταμένοις χοροῖς, οὓς συνίστασαν οἱ χορηγοὶ διὰ τῶν Διονυσίων, πάντως καὶ αὐλητὰς ἔδει προσιέναι, ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου* [p. 520] *μαρτυρεῖ οὕτως λέγων· εἰ μὴ Τηλεφάνης ὁ αὐλητὴς ἀνδρῶν βέλτιστος περὶ ἐμὲ ἐγένετο.*"

(*Σοφοκλέους μελῶν*: *Ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. — περιέργως δέ τινες εἰς τὰ ἐν τῷ Ἰνάχῳ περὶ τοῦ ἀρχαίου βίου καὶ τῆς εὐδαιμονίας,* "*εὐδαίμονες οἱ τότε γέννας ἀφθίτου θείας λαχόντες.*" V. *θέασαι δὲ πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐπαίρει, τὸν δὲ Εὐριπίδην σμικρύνει, ἐκεῖ μὲν λέγων Σοφοκλέους μελῶν, ἐνταῦθα δὲ ἐπυλλίων Εὐριπίδου.*)

κιχλῶν: *Αἱ κίχλαι εἶδος στρουθῶν. δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα σεμνολογεῖν βούλεται, οὐ φιλῶν αὐτὸν ὅσον Εὐριπίδην μισῶν. τὸ κάλλιστον*

οὖν τῶν ἐδεσμάτων μετὰ τὴν ἐκείνου μνήμην εὐθὺς ἐπήγαγεν, ἐνδεικνύμενος ὡς πάντων τῶν ἄλλων ἀναγκαιότερα τὰ αὐτοῦ ποιήματα τῇ χρήσει τῶν κιχλῶν παραβαλλόμενα.

532. *κλαύσἄρα σύ*] Th. 916. *κλαύσετ' ἄρα νὴ τὼ θεώ.* Quod ad crasin, cf. Pl. 876. *οἰμώξἄρα σύ.* Ach. 325. *δήξομἄρ' ὑμᾶς ἐγώ.* Th. 248. *οἰμώξετἄρ'.* Ran. 509. *περιόψομἀπελθόντα.* Eq. 1373. *ἀγοράσἀγένειος.*

ἐπυλλίων Εὐριπίδου] Euripidis *ἐπύλλια* (sententiolae) irridentur Ach. 398. Ran. 942. Habebant enim saepe fabulae ejus quaestiones multas et disputationes ad fastidium longas et saepe ab re alienas.

534. *δικανικῶν*] Quinct. X. 1. 67. Illud quidem nemo non fateatur necesse est, iis qui se ad agendum (to plead) comparant utiliorem longe Euripidem fore. Namque is et in sermone — magis accedit oratorio generi — et in dicendo ac respondendo cuilibet eorum qui fuerunt in foro diserti comparandus. Cf. Ran. 775. 954.

Schol. (*δικανικῶν: Τοιαῦτα γάρ· δικανικώτερα τὰ Εὐριπίδου,· ἔχοντα πεύσεις καὶ ἀποκρίσεις. ἢ ἐπεὶ τὰ Εὐριπίδεια ἀντιλογίας πολλὰς ἔχει καὶ δικαζομένους εἰσάγει.*)

535. *κιττοῦ* —] Repetendum *ὄζει* ex v. 529.

προβατίων βληχωμένων] Fr. 344. *ἔπειτ' ἀκούειν προβατίων βληχωμένων | τρυγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης* (l. *ἠθουμένης*), | *ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις* (531). Pl. 293. 297.

Schol. *τρυγοίπου: Δινλιστῆρος ἢ πλέγματος, ἔνθα ἐκ τοῦ ληνοῦ εἰώθασιν ἐκπιέζειν. καὶ ἔστιν ἡ εὐθεῖα τρύγοιπος προπαροξυτόνως, οὐχ ὁ τρυγοίπης, ὡς οἴονταί τινες.* V.

(*προβατίων βληχωμένων: Πάλιν ἐπὶ τὰ τῆς θεωρίας ἐπανέδραμεν ἐγκώμια. δεῖ οὖν ἀπὸ κοινοῦ νοεῖν ὅτι μετὰ τῶν ἄλλων προεῖπε καὶ τοῦ ὄδωδεν.*)

536. *Schol.* (*κόλπου γυναικός: Ἐπεὶ ὅταν πολὺ σταῖς κομίζωσιν, ὀλίγον τι κολπώσασαι τοῦ χιτῶνος ἐκ περιζώματος ἐκεῖ ἐντιθέασιν. Ἄλλως. πολλάκις γὰρ ἐν εἰρήνῃ ὑπὸ κόλπους φέρουσί τι, καὶ πάλιν εἰρήνης οὔσης αἱ γυναῖκες ἀδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται καὶ ἀνθολογοῦσιν. γράφεται εἰς ἰπνόν· ἰπνὸς δὲ ὃ ἡμεῖς καμίνιον καλοῦμεν.*).

537. *Schol.* *δούλης μεθυούσης: Ὑπερβολὴ εὐωχίας ὅτι καὶ οἱ δοῦλοι μεθύουσιν* (*ἐν εἰρήνῃ*).

ἀνατετραμμένου χοός: ἀνακαμφθέντος ἢ κενωθέντος εἰς γῆν, ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ μέθης ἐν τῷ ὑπηρετεῖν ἢ παίζειν τὰ τοιαῦτα εἰώθασι ποιεῖν.

538. *πολλῶν κἀγαθῶν*] Cf. 1008 sq. ad Eccl. 453. *ἄλλα πολλὰ κἀγαθά.* Eur. Andr. 953. *ὑγιὲς γὰρ οὐδὲν — ἀλλὰ πολλὰ καὶ κακά.*

Schol. (*ἄλλων πολλῶν: Μετὰ τὸ κατὰ μέρος πάντα εἰπεῖν ἐπήγαγε καὶ τὸ γενικόν, ἵνα καὶ ἄλλων πολλῶν δόξαν παράσχηται.*)

539. *Schol.* *ἁπλουστέρως ἐκδεκτέον τοῦτο· ἔστι γὰρ ἐν οὐρανῷ τὰ πράγματα.* V.

541. *Schol.* (*ὑπωπιασμέναι*: *Σφοδρῶς πληγεῖσαι ὑπὸ τοῦ πολέμου περὶ τὰ ὑπώπια, ἅ ἐστιν ὑπὸ τῶν ὄψεων τὰ ὀγκώματα καὶ κρούσματα ἅπερ χορδύλας φασίν.*) — *διὰ τοῦ ἀπαξάπασαι πάλιν τοὺς Ἀθηναίους θεραπεύει, ἵνα μὴ οὗτοι μόνον ἀλλὰ καὶ πάντες ἐπταικέναι δόξωσιν, ἄλλως τε καὶ αὔξησις τοῦ κακοῦ, εἰ μὴ μέρος ἔβλαψε τῶν Ἑλλήνων ὁ πόλεμος, ἀλλ' ἁπλῶς εἰπεῖν ἁπάσας τὰς πόλεις.* V.

542. *κυάθους προσκείμεναι*] Cyathos calida impletos (cucurbitulae solent vocari) admovebant ejusmodi tumoribus, ut detumescerent. BE. Lys. 444. *εἰ — τὴν χεῖρ' ἄκραν | ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.* (Ubi schol: *ἵνα προσθῇς ταῖς γνάθοις. — γεμίζουσι γὰρ κύαθον θερμοῦ καὶ προσκολλῶσι τοῖς οἰδήμασι καὶ θεραπεύεται.*) Apollophanes ap. schol: *κύαθον λάβοιμι τοῖς ὑπωπίοις.* Eurip. Erysth. Fr. 1. *ἢ κύαθον ἢ χαλκήλατον | ἠθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις.* Aristot. Probl. IX. 12. *διὰ τί ποτε πρὸς τὰ ὑπώπια τοὺς κυάθους προστιθέμεθα;* Rhet. III. 2. 12. *ἄνδρ' εἶδον πυρὶ χάλκον ἐπ' ἀνέρι κολλήσαντα.* Idem valet *σικύη*. (Plat. Tim. 79. *τὰς ἰατρικὰς σικύας.* Crates ap. Polluc. IV. 183. *ἀλλὰ σικύαν ποτιβαλῶ τοι καὶ τὺ λῇς ἀποσχάσω.*) Quod ad constructionem *προσκεῖσθαί τι*, i. e. *προσκείμενόν τι ἔχειν*, cf. Herod. I. 171. *περὶ τοῖσι αὐχέσι — περικείμενοι* (*ἀσπίδας*). Theocr. XXIII. 14. *ὕβριν τᾶς ὀργᾶς περικείμενος.* Lucian. adv. ind. 10. *κιθάραν — ξυλίνους — κόλλοπας ἐπικειμένην.* Id. Alex. 3. *κόμην — πρόσθετον ἐπικείμενος.* Id. Philops. 22. *καὶ ἀντὶ τῆς κόμης τοὺς δράκοντας βοστρυχηδὸν περιέκειτο εἱλουμένους περὶ τὸν αὐχένα καὶ ἐπὶ τῶν ὤμων ἐνίους ἐσπειραμένους.* Id. Quom. h. s. c. 23. *προσωπεῖον — Τιτᾶνος περικείμενον.* Id. de Merc. c. 30. *τραγικὸν προσωπεῖον περικείμενος.* Id. Pisc. 33. *τὸν περικείμενον αὐτῶν τὰ προσωπεῖα.* Id. Nigr. 11. *προσωπεῖον περικείμενος.* Id. adv. Ind. 10. *σὺ μὲν χρυσῆν δάφνην περίκεισαι.* Joseph. II. 287. *τὴν ἱερὰν ἐσθῆτα περικείμενοι.* Herodian. V. 11. *εἰς εἶδος τιάρας στεφάνην ἐπικείμενος.* Polyaen. Strat. *μειράκια — στεφάνους περικείμενα.* Themist. p. 224. *τριβώνιον περικειμένῳ.* Schol. Nub. 344. *προσωπεῖα περικείμενοι.* S. Paul. Eq. Hebr. V. 2. *ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν.* Act. Apost. XXVIII. 20. *τὴν ἅλυσιν ταύτην περίκειμαι.* Cyrill. Catech. XIII. 9. *χειμῶνος συκῆ — φύλλα περίκειται μόνον.*

Schol. *καὶ κυάθοις*: *Τοῖς κυάθοις προσθλῶσι τὰ ὑπώπια. ἐπεὶ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες ἢ τοιούτοις τισὶν ἀφανῆ ποιοῦσι. καὶ Ἀπολλοφάνης ἐν Ἰφιγέροντι "κύαθον λάβοιμι τοῖς ὑπωπίοις."* R. V. (*Ἄλλως. ὀξύβαφα χαλκᾶ πυρώσαντες καὶ ἐπιθέντες ἐθεράπευον τοὺς ἐκ τῶν πληγῶν μώλωπας.*)

544. *αἰβοῖ τάλας*] Ut alibi saepe *οἴμοι τάλας*.

(*Schol.*) *ἵνα γνῷς*: *Ἵνα* [*διαγνῷς καὶ*] *διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσιν καὶ ὅτι ἀργοὶ ἔσονται στυγνοί εἰσιν ἢ κατηφεῖς, οἱ δὲ τὰ εἰρηνικὰ ἱλαροί.*

545. *λοφοποιόν*] Fr. 643. *λοφοπωλεῖν.*

τίλλονθ' ἑαυτόν] Prae ira et dolore quod ars ejus peritura est. Cf. 1212. *ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον.* Ach. 31. *παρατίλλομαι.*

546. *Schol.* *τίλλονϑ' ἑαυτὸν*: *Τίλλειν ἑαυτὸν λέγεται τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσϑαι καὶ σπαράττειν τὰς κόμας. προσφορώτατα οὖν τὸν λοφοποιὸν τῇ κεφαλῇ καὶ ταῖς ϑριξὶν αὐτοῦ ἐποίησε λωβώμενον, ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς ἐστὶ σκεπαστήριον.*

547. Cf. Vesp. 618. *τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέπαρδεν.* Pl. 618. *τῶν χειροτεχνῶν καὶ τῆς πενίας καταπαρδεῖν.* Epicrat. Athen. 59 F. *ταῦτα δ' ἀκούων ἰητρός τις — κατέπαρδ' αὐτῶν.* Sosipater Athen. IX. p. 378. — *τρεῖς ἡμεῖς ἐσμεν ἔτι λοιποί, Βοΐδίων καὶ Χαριάδης ἐγώ τε· τοῖς λοιποῖς δὲ προσπέρδου.* Hor. Sat. I. 9. 69. Vin' tu curtis Judaeis oppedere? Sic *προσπέρδειν τινί*, Ran. 1074.

'κεινουί] Cf. 1213.

548. *ὁ δὲ δρεπανουργός*] Quia jam non falces rigidum conflantur in ensem, sed contra; et quia jam pluris vendet falces quam antehac, *ὡς πρὸ τοῦ | οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου*, inquit infra v. 1200. BE. Cf. Pher. II. 315. *ἢ δρεπανουργῶν ἢ χαλκοτύπων* (Pac. 480 *ὁ χαλκεύς*).

549. *ἐσκιμάλισεν*] Ludificatus est, derisit. Anglice, jeered. Cf. ad Ach. 444. *ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.* et ad Eq. 1361. *οὐκοῦν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;* Apost. VII. 98. *'Εσκιμαλίχϑαι σε χρή: ἐπὶ τῶν ἀξίων ὕβρεως. σκιμαλίσαι δὲ λέγεται ὅταν βουλόμενοι ἐνυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες καὶ τοὺς λοιποὺς συνάγοντες ἐνδείξωσιν αὐτῷ. κυρίως δὲ λέγεται τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν.* XV. 84. *Σιφάκελός σοι* (*Σκιμαλισμός?*): *ὁ διὰ τοῦ μέσου τῶν δακτύλων τῆς χειρὸς γινόμενος χλευασμός.* Ubi vide interpretes. Schol. ad Ach. 444. De gestu isto v. Jahn. ad Pers. Sat. II. 31. Simili sensu Galli dicunt faire la figue, ut monuit Florens.

Schol. *ἐσκιμάλισε*: *Τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας ἐφυβρίζει.* (*Ἄλλως. ἀντὶ τοῦ κατεδακτύλισε· σκιμαλίσαι γάρ ἐστι κυρίως τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες καὶ τοὺς λοιποὺς συνάγοντες δείξωσιν αὐτῷ.*)

551. *ἀκούετε λεῴ*] Cf. ad Ach. 1000. *ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺς χόας | πίνειν ὑπὸ τῆς σάλπιγγος.* 172. Av. 448. *ἀκούετε λεῴ· τοὺς ὁπλίτας νυνμενὶ | ἀνελομένους ϑὤπλ' ἀπιέναι πάλιν οἴκαδε.*

τοὺς γεωργοὺς ἀπιέναι] Cf. 1318. et ad Ach. 172. *τοὺς Θρᾷκας ἀπιέναι.* Eupolis II. 566. *τοὺς περιπόλους* (*τάχ'*) *ἀπιέν' ἐς τὰ φρούρια.* Apollod. Com. IV. 442. *εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους.*

552. *σκεύῃ*] Cf. 729. 1318.

553. *Schol.* (*ὡς τάχιστ' ἄνευ δορατίου*: *Παρὰ τὰ τοῦ πολέμου κατὰ πρώην γὰρ οὐδεὶς δίχα σιδήρου ἐξῄει εἰς τὸν ἀγρὸν ὑφορώμενος τοὺς πολεμίους· νῦν δὲ εἰρήνης οὔσης παρακελεύεται μὴ βαστάσαι σίδηρον.*)

554. Cf. Th. 702. *ὡς ἅπαντα μεστὰ τόλμης ἐστὶ κἀναισχυντίας.* (Ita enim lego.) Eq. 303. *τοῦ σοῦ ϑράσους πᾶσα μὲν γῆ πλέα* etc. Herod. II. 93. *ἰχϑύων σμικρῶν πίπλαται πάντα.* Plat. Conv. 223 B. *ϑορύβου μεστὰ πάντα εἶναι.* Ep. VII. 337 D. *πάντ' ἔσται — εὐδαιμονίας μεστά*

329 B. *στάσεως — μεστὰ ξύμπαντα*. Xen. Mem. IV. 4. 5. *πάντα μεστὰ εἶναι τῶν διδαξόντων*. Lucian. Luc. 42. *καὶ πάντα ἐκεῖνα μεστὰ ἦν ἀλεύρων*. Id. Fug. 16. *ἐμπέπλησται πᾶσα ἡ πόλις τῆς τοιαύτης ῥᾳδιουργίας*. Dio Chrys. Or. VII. 129. *πάντα μεστὰ ἡρώων*. Plut. Lucull. 23. *τὴν Ἀσίαν πολλῆς μὲν εὐνομίας πολλῆς δ' εἰρήνης ἐμπεπληκώς*. Schol. Plut. 807. *ταῦτα δὲ παρὰ τὰ ἐν Ἰνάχῳ Σοφοκλέους, ὅτε τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο* (Fr. 254). Suid. v. *Ἀθρεῖν*: — *παραδειγμάτων δὲ πάντα μεστά*. Gellius VI. 5. 'opplevit omnia — luctu atque lamentis.'

σαπρᾶς] Antiquae. Cf. 572. *τῆς διαίτης τῆς παλαιᾶς, | ἥν παρεῖχ' αὕτη ποθ' ὑμῖν*.

Schol. *σαπρᾶς*: *Παλαιᾶς καὶ ἀρχαίας*. (*κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον τὸ σεσηπὸς διὰ τὸν χρόνον. χρῶνται δὲ αὐτῷ καὶ ἀντὶ τοῦ ἀρχαίου καὶ παλαιοῦ*.)

555. *χώρει πρὸς ἔργον*] Cf. Ran. 882. Construe *χώρει εἰς ἀγρὸν πρὸς ἔργον* (to your work).

Schol. *παιωνίσας*: *Εὐξάμενος καὶ τοῖς θεοῖς χάριν ὁμολογήσας. παιὼν γάρ ἐστιν ὕμνος εὐχαριστήριος*.

556. Cf. 625. Plut. Nic. 9. *τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν* (*ὁ Νικίας*).

τοῖς δικαίοις] Anglice, to the right-minded, to all honest folks. Enumeratur ii supra 296 sq.

Schol. (*ὦ ποθεινή*: *Οἱ γεωργοὶ ταῦτά φασι πεισθέντες τῷ κηρύγματι*.)

557. *προσειπεῖν — τὰς ἀμπέλους*] Eq. 805. *ἥν — στεμφύλῳ ἐς λόγον ἔλθῃ*.

558. *συκᾶς*] *Συκῆ* (*συκέα*) est ficus arbor. Cf. Av. 590. Eccl. 708. Formatum ut *ἀμυγδαλῆ*, *φακῆ*, etc.

Schol. *ἃς ἐγὼ 'φύτευον νεώτερος*: *Περισπούδαστα γὰρ πᾶς ἡγεῖται ἅπερ ἂν αὐτὸς ἐργάσηται, διὰ τούτου δὲ τὸν πολὺν τοῦ πολέμου χρόνον δηλοῖ, ὅτι νεώτερος ὢν ἐφύτευσε τὰς συκᾶς, ἃς οὐκ εἶδε γηράσας. καὶ οὐκ ἀρκεσθεὶς τούτῳ ἐπήγαγε πολλοστῷ χρόνῳ*.

559. *πολλοστῷ χρόνῳ*] Post longum tempus. "In the last of so long a series of years — After so long a time" explicat Donaldson New Crat. p. 206. Cavendum enim ne *πολλοστὸς* cum *πολὺς* confundatur. Cf. Cratin. com. jun. III. 377. *πολλοστῷ δ' ἔτει | ἐκ τῶν πολεμίων οἴκαδ' ἥκων* —. Menand. IV. 167. *πολλοστῷ χρόνῳ | ὁρῶ σε*. Dem. p. 761, 21. *πολλοστῷ χρόνῳ*. p. 1304, 9. Aristides III. p. 270. *πολλοστῷ μηνί*. Multo tamen saepius hoc sensu usurpatur *πολλῷ χρόνῳ*, ut in Soph. Tr. 227. *χρόνῳ | πολλῷ φανέντα*. Eur. Iph. A. 640. *ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ*. Saepe apud oratores aliosque scriptores legitur vulgari sensu *πολλοστὸν μέρος*. Dem. p. 117. *οὐδὲ πολλοστὸν μέρος τούτων ἐκεῖνα*. Lys. XIV. 46. *οὐδὲ πολλοστὸν μέρος εἴρηκα τῶν τούτοις ὑπαρχόντων*. XIX. 36. *οὐδὲ πολλοστὸν μέρος τῆς δόξης*. XXV. 2. *οὐδὲ γὰρ πολλοστὸν μέρος τῶν ἐκείνοις πεπραγμένων εἰρήκασιν*. Andoc. II. 8. *πολλοστὸν δή τι — μέρος τῆς αἰτίας*. Isae. I. 42. *οὐδὲ πολλοστοῦ μέρους*

ἀξιῶσαι. VIII. 52. *μέρος πολλοστὸν τούτῳ μεταδιδούς*. Isocr. p. 291. *εἰ μέν τι — πολλοστοῦ μέρους τῆς ἀξίας ἐπώλουν*. Lucian. Epist. Sat. II. 26. *ταῦτα δὲ πάντα οὐδὲ τὸ πολλοστὸν ἂν εἴη μέρος τῶν ἀνιώντων αὐτούς*. *Πολλοστὸς* minimus legitur Plat. Legg. X. 896 B. Phil. 44 E. Hesychius, *Πολλοστόν*: *πολύν*, *ἢ τυχόν*.

561. *τοὺς λόφους — καὶ τὰς γοργόνας*] Cristas in galeis, quarum usus in bello, ut et clypeorum *γοργονώτων*. BE. Cf. Ach. 567. 574. 965. 1095. 1124. 1181. Lys. 561.

Schol. τὰς γοργόνας: (*Πᾶν σκεῦος ἁρμόζον ἐν πολέμῳ*.) — *ταῦτα πάλιν εἰς τὸν Λάμαχον αἰνίττεται*. R. V.

562. *λιταργιοῦμεν*] Festinabimus. Schol: *συντόνως δραμούμεθα*. Bekk. Anecd. 431, 11. *ἀπολιταργῆσαι* (-*ισαι*?): *ταχέως ἀποδραμεῖν*. *ἔστι παρὰ τοῖς κωμικοῖς τοῖς παλαιοῖς*. *Λιταργίζειν* per *τροχάζειν* exponit Hesychius. Cf. Nub. 1253. *οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς* —: Simonides Stob. Flor. 73, 61. *τὴν δ' ἐκ κυνὸς λιτοργὸν* (*λίταργον*? i. e. *ταχεῖαν*), *αὐτομήτορα*, | *ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει*. Cf. ad Eq. 1068.

τὰ χωρία] Praedia.

Schol. εἶθ' ὅπως λιταργιοῦμεν: (*Εἶτα μετὰ τὸ εὔξασθαι τῇ θεῷ*.) *ἀντὶ τοῦ συντόνως δραμούμεθα*. (*παρὰ τὸ λίαν ἀργόν*.)

563. *χρηστὸν — ταρίχιον*] Contrarium *σαπρὸν τάριχος* memoratur Ach. 1101.

εἰς ἀγρόν] Anglice, for the country. Cum *ἐμπολήσαντες* construendum. Cf. 1202. *ὁδὶ δὲ τριδράχμους τοὺς κάδους ἐς τοὺς ἀγρούς* (*ἐμπολᾷ*).

ταρίχιον] Pher. II. 263. *σμικρὸν ὀπτῶσ' ὀρφανὸν ταρίχιον*. Cephisod. II. 885. *κρεάδιόν τι φαῦλον ἢ ταρίχιον*.

Schol. ἀγοράσαντες χρήσιμόν τι. R.

564. *στῖφος*] Caterva. A verbo *στείβειν*. Eq. 852. Aesch. Pers. 366. *νεῶν στῖφος*. 20. *πολέμου στῖφος*. Thuc. VIII. 92. *τῶν ὁπλιτῶν τὸ στῖφος*. Xen. An. VI. 5. 26. *οἵ θ' ἱππεῖς καὶ τὸ στῖφος τῶν Βιθυνῶν*. I. 8. 13. *τὸ μέσον στῖφος*. Herod. IX. 57. *ἦγε βάδην πρὸς τὸ ἄλλο στῖφος*. Alciphr. III. 10. *εἶτα οἰκετῶν ἐφέπεσθαί μοι στῖφος*.

Schol. ὦ Πόσειδον: *Ὁ Ἑρμῆς ὁρῶν τοὺς ἀγροίκους εἰς ἀγρὸν ἐξιόντας φησὶ τὸ ὦ Πόσειδον*.

565. *πυκνὸν καὶ γοργόν*] Epithetum *πυκνὸν* (densum, Anglice close) referendum ad *μᾶζα*, *γοργὸν* ad *πανδαισία*. Cf. 8. *τρῖβε πολλὰς καὶ πυκνάς* (*μάζας*). Xen. An. II. 3. 3. *φάλαγγα πυκνήν*.

γοργόν] Alacre. Anglice bright, smart, spruce. Sept. 543. *γοργὸν δ' ὄμμ' ἔχων προσίσταται*. Eur. Phoen. 146. *ὄμμασι γοργὸς εἰσιδεῖν νεανίας*. Andr. 458. *γοργὸς ὁπλίτης φανείς*. 1123. *γοργὸς ὁπλίτης ἰδεῖν*. Suppl. 332. *γοργὸν ὡς ἀναβλέπει*. Anacreont. 16, 12. *μέλαν ὄμμα γοργὸν ἔστω*. Xen. Cyr. I. 4. 19. *ὅσον τὸ στῖφος τῶν ἱππέων*. IV. 4. 3. *μείζους φαίνεσθε καὶ καλλίους καὶ γοργότεροι ἢ πρόσθεν ἰδεῖν*. V. 2. 37. *γοργότεροι — οὐδαμῶς ἂν αὐτοῖς φανείημεν μένοντες ἢ ἰόντες ἐπ' ἐκείνους*. Eq. I. 10. *καὶ μυκτῆρές γε οἱ ἀναπεπταμένοι — γοργότερον τὸν ἵππον*

ἀποδεικνύουσι. Eq. X. 17. σοβαρὸν — καὶ γοργὸν ἰδεῖν. Lac. XI. 3. ἐφῆκε δὲ καὶ κομᾶν — νομίζων οὕτω καὶ μείζους ἂν — καὶ γοργοτέρους φαίνεσθαι. Lucian. T. IV. p. 2. γοργὸν ἀποβλέπῃ. Id. Alex. 3. ὀφθαλμοὶ πολὺ τὸ γοργὸν καὶ ἔνθεον διεμφαίνοντες. Philostr. Her. p. 718. τὸ χαροπὸν αὐτοῦ καὶ γοργόν. Aelian. V. H. II. 44. γοργὸν μὲν αὐτῷ βλέπουσιν οἱ ὀφθαλμοί. In γοργὸν erunt fortasse qui allusionem inesse suspicentur ad v. γεωργόν.

πανδαισία] Ad convivium enim vocati hilares esse solent. Herod. V. 20. οἴκατε πανδαισίῃ τελέῃ εἱστιῆσθαι. Lucian. Imag. 15. ἑορτὴν — καὶ πανδαισίαν ἐπαγγέλλεις. Synesius Dion. p. 53. πανδαισίαν παρέθηκεν Ἀττικῶν καταγλωττισμάτων. Apostol. III. 40. Adagium Ἀπίδων πανδαισία fuit de luxuriose viventibus. Harpocr. p. 143, 24. πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί.

Schol. (καὶ γοργὸν: Ἐπεὶ διὰ χρόνου ἐξιόντες ἔσπευδον.)

μᾶζα καὶ πανδαισία: Πανδαισία ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ ἐστιν ὁ στρυφνὸς ἄρτος. Ἄλλως. ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται, ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ (πάντα) φαίνεται, πῇ μὲν τὰ προσφάγια φερόντων, πῇ δὲ αὐτῶν ἑστιωμένων. Ἄλλως. φασὶ γὰρ πᾶν δεῖπνον ἐν ᾧ ἕκαστος αὑτῷ κομίζων εἰς κοινὸν κατατίθεται καὶ πάντες πάντων μετέχουσι. (τὸ δὲ στῖφος αὐτῶν εἰκάζει ἀλφίτοις καὶ μάζῃ διὰ τὸ πυκνόν. καὶ ἐπειδὴ πυκνοῦνται, ὅπου μὲν τὰ ἄλφιτα, ὅπου δὲ οἱ ἑστιώμενοι. πανδαισίαν δὲ τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν, ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀνενέγκῃ καὶ καθῆται εἰς τὸ κοινόν, ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων λάβῃ τις ὃ θέλει. οἱ δὲ πανδαισίαν λάχανόν τι ἔχον παντοῖον ἔδεσμα. τὸ δὲ ὅλον, πυκνὸν οὖν (?) ὥσπερ μᾶζα καὶ πανδαισία.)

566. *σφῦρα*] Σφῦρα legitur Hom. Od. γ'. 434. ἄκμονά τε σφῦράν τ' (sic scribe) εὐποίητόν τε πυράγρην. Hesiod. Op. 423. Aeschyl. ap. Athen. VII. 303 C. Cratin. II. 69. ἔστιν ἄκμων καὶ σφῦρα νεανίᾳ εὔτριχι πώλῳ.

ἐξωπλισμένη] Instructus (malleus). Antiph. com. III. 126. ξιφηφόροισι χερσὶν ἐξωπλισμένη | τευθίς. Id. III. 133. μᾶζα — πρὸς εὐτέλειαν ἐξωπλισμένη. Quod ad ἦν ἄρ', cf. 22. 819.

Schol. ἡ γὰρ σφῦρα: Νοῆσαι δεῖ τὸν χορὸν σφύρας ἔχοντα, αἷς βωλοκοποῦσι, καὶ θρίνακας καὶ σκεύη ἄλλα γεωργικά, δι' ὧν τὰς βώλους τῆς γῆς ἔμελλον θραύσειν.

567. *θρίνακες*] Sunt τρίαιναι, i. e. tridentes sive ligones, idem fere quod δίκελλαι. Unde mox τριαινοῦν τῇ δικέλλῃ. Sic recte interpretatur Brunck. Photius s. h. v. ὄργανον γεωργικὸν ὀδοντικὸν explicat. V. Hesych. in θρῖναξ. et schol.

διαστίλβουσι πρὸς τὸν ἥλιον] Cf. Fr. 114. διαστίλβονθ' ὁρῶμεν — πάντα τῆς ἐξωμίδος. Vesp. 772. ἡλιάσει πρὸς ἥλιον.

Schol. θρίνακες: Τὰ πτύα, (ἐργαλεῖον ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα.) [[παρέοικε δὲ ἐν ταῖς ἅλωσι πρὸς τὸν ἄνεμον. ἐπαίρουσι δὲ τὰ ἄχυρα ὑπὲρ τοῦ ἀποπτῆναι καὶ καθαρισθῆναι τὸν πυρὸν ἢ τὰς κριθὰς ἢ ἄλλο τι τῶν τοιούτων γεννημάτων.]]

568. *ἦ καλῶς* —] Belle sane, belle profecto. Cf. Platon. Gorg. *ἦ καλῶς λέγεις*. Xen. Cyr. VII. 5. 48. *ἦ καλῶς, ἔφη, ἐποίησας ἄρξας τοῦδε τοῦ λόγου*. Nub. 167. *ἦ ῥᾳδίως* —.

καλῶς αὐτῶν ἀπαλλάξειεν] Sc. *τῶν θρινάκων*. Bene ab illis (eorum ope) evadet. Anglice, will come off (turn out) well from their use. Aesch. c. Ctes. § 158. *οὔτε γὰρ πόλις οὔτ' ἀνὴρ ἰδιώτης οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε* (Anglice, came off well) *Δημοσθένει συμβούλῳ χρησάμενος*. Herod. VIII. 68. *ἀπήλλαξαν οὕτω ὡς κεῖνους ἔπρεπε*. Xen. Mem. III.. 13. 6. *καὶ πῶς δή, ἔφη, ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ;* Cyneg. III. 3. *αἱ δὲ σκληραὶ τὰ εἴδη χαλεπῶς ἀπὸ τῶν κυνηγεσίων ἀπαλλάττουσι*. Lucian. Alex. 19. *ἐς τὴν Κιλικίαν ἀφικόμενος οὐ πονηρῶς ἀπήλλαξε*.

αὐτῶν] Sc. *τῶν θρινάκων*.

μετόρχιον] Interordinium vocat Columella de R. R. III. 13. 3. (Ita intercolumnium. Vitruv. III. 1. etc.). I. e. *τὸ μεταξὺ τῶν φυτῶν*. spatium seu intervallum quod inter vites oleas aliasque arbores est, inter quas sementem faciebant. Cf. Fr. 168. Ach. 997.

Schol. *μετόρχιον*: *Τὸ μεταξὺ τῶν ὄρχων. ὄρχοι δὲ καλοῦνται τὰ μέσα τῶν ἐλαιῶν καὶ τῶν ἀμπέλων. Ἄλλως. μετόρχιόν ἐστι τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἐσπαρται. παίζων οὖν εἶπεν ὅτι ἠδύνατό τις διασχίσας αὐτοὺς ποιῆσαι μετόρχιον, ἐπειδὴ πολλοί εἰσι μεταξύ, ἵνα αὐτοὶ ἀντὶ τῶν φυτῶν γένωνται. Ἄλλως. τινὲς τὸ ὄρχιον τὸ μεταξὺ τῶν φυτῶν. Ἄλλως. μετόρχιον τὸ μεταξὺ τῶν χωρίων, ὅπερ λέγεται ὄρχος. καλῶς ἄν τις, φησί, μεταστήσειε τὰ φυτὰ ἀπὸ τῶν ἀρουρῶν τῶν σπειρομένων*.

570. *τριαινοῦν*] Eurip. Bacch. 344. *θάκους τοὐσδ' ἵν' οἰωνοσκοπεῖ | μοχλοῖς τριαίνου κἀνάτρεψον ἔμπαλιν | ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ*. Herc. 946. *στρεπτῷ σιδήρῳ συντριαινώσω πόλιν*.

τῇ δικέλλῃ] Lucian. Tim. 37. *ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλφιτα παρὰ τῆς δικέλλης*. *Δίκελλα* formatum ut *μάκελλα* (quasi *μία κέλλα*?). V. Blomf. Gl. ad Ag. 509.

διὰ χρόνου] Post longum tempus. Cf. Pl. 1055. 1045.

γήδιον] Cf. Fr. 344, 2. *Γήδιον* contractum ex *γηΐδιον*, ut *γήτης* et *γηΐτης* (Soph.), *ἤθεος* ex *ἠΐθεος*, etc. Cf. v. *λήδιον*.

Schol. *διὰ χρόνου γήδιον*: *Ὑποκοριστικῶς ἀντὶ τοῦ τὴν γῆν. τριαινοῦν δὲ ἠρέμα σκάπτειν καὶ ἐπισύρειν τὰς βώλους ὑπὲρ τοῦ κατακρύπτειν τὰ σπέρματα*.

571. *Schol*. (*ἀλλ' ἀναμνησθέντες*: *Διπλῆ καὶ μέλος ἀμοιβαῖον. τὸ μὲν τοῦ ὑποκριτοῦ, δεκακώλῳ τροχαϊκῷ. οὗ ἐν εἰσθέσει ἐννέα ἀκατάληκτα δίμετρα τὰ ὀκτώ, μονόμετρον δὲ τὸ παρατέλευτον. καὶ ἐν ἐκθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί*.) [[*Ἄλλως. ἡ ἔκθεσις αὕτη τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων τροχαϊκῶν ια΄. ὧν τὸ η΄ μονόμετρον. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ τελευταῖον ἐφθημιμερές. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ*.]]

574. *παλασίων*] Schol: *τῶν πεπατημένων ἰσχάδων*. Poll. VI. 251. *καὶ παλάσια, ἃ καὶ Κρατῖνος ἰσχάδα κοπτὴν καλεῖ*. Phot. p. 371, 20. *παλά-*

σια. τὰ συγκεχομμένα σῦκα· παλάθην λέγουσι καὶ παλαθίδα. ἔστι δὲ ἐξ ἰσχάδων ἢ σύκων κεκομμένοι βῶλοι πλινθοειδεῖς. Hesychius, πλασία (scr. παλάσια), τὰ συγκεκομμένα σῦκα. καὶ διὰ τοῦ θ, πλάθια (scr. παλάθια) καὶ παλάθη. Cf. v. παλάθη. Herod. IV. 23. ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθέασι. Intelliguntur, opinor, ficus compressae quales hodieque ex Graecia compactae in corbibus exportari solent. De ficubus siccatis, deinde pedibus calcatis, ut serventur, intelligit Bergk. Comm. p. 259.

Schol. παλασίων: Τῶν πεπατημένων ἰσχάδων. τινὲς δὲ τῶν παλάθων· παλάθη δὲ εἶδος βοτάνης.

576. Schol. ἀντὶ τοῦ νέου οἴνου. R.

577. τῆς ἰωνιᾶς τε τῆς πρὸς τῷ φρέατι] Huc videtur pertinere illud Virgilii Georg. IV. 32. irriguumque bibant violaria fontem. Ut autem ἰωνιὰ violarium sive pratum violis refertum, ita ῥοδωνιὰ rosarium sive rosetum, et κρινωνιὰ liliarium. BE.

Schol. τῆς ἰωνιᾶς: Ἰωνιὰ λέγεται ἡ φυτεία τῶν ἴων, ὡς καὶ ἡ τῶν ῥόδων ῥοδωνιὰ, ὅπου τὰ ῥόδα φύεται. Ἄλλως. ἄνθος ἐστὶ τὸ ἴον διάφορον μορφὴν ἔχον· ἃ μὲν γὰρ αὐτῶν ἐστι πορφυρᾶ, ἃ δὲ λευκὰ, ἃ δὲ μέλανα. καὶ ἐν τούτῳ τῶν ἴων τὸ θαυμαστόν ἐστιν, ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως αὐτὰ καθ' ἑαυτὰ δύναται λειμῶνα πληροῦν.

578. Schol. τῶν τ' ἐλαῶν: Παρατηρητέον ὅτι τῶν ἄλλων καρπῶν καὶ φυτῶν ἁπλῶς μνημονεύσας ἐπὶ τῶν ἐλαῶν ἐπήγαγε τὸ ὧν ποθοῦμεν. καὶ ἴσως ἢ ἐπεὶ δῶρον τῆς Ἀθηνᾶς, ἢ ὅτι εὔφορός ἐστιν ἡ Ἀττικὴ ἐξαιρέτως εἰς τὸν τῆς ἐλαίας καρπόν.

582 sq. Cf. Soph. El. 1354. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων | Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ | ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων; — πῶς οὕτω πάλαι | ξυνών μ' ἔληθες οὐδ' ἔφαινες; Trach. 18. ἀσμένῃ δέ μοι | ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς. Aesch. Prom. 23. ἀσμένῳ δέ σοι etc. Eur. Phoen. 1061. Herod. VIII. 101. βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. IX. 46. ἐπεὶ δ' — ἡδομένοισι ἡμῖν οἱ λόγοι γεγόνασι etc. Hom. Il. 14, 108. ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.

Schol. χαῖρε, χαῖρ' ὦ φίλτατε: [[Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κα΄. ὧν τὰ α΄, ζ΄, ιε΄ τροχαϊκὰ ἑφθημιμερῆ. τὰ β΄, ς΄, ιδ΄ δίμετρα ἀκατάληκτα. τὰ γ΄, η΄ ὅμοια, Ἰωνικὰ μέντοι ἀπὸ μείζονος. τὰ δ΄, θ΄, ιη΄ δακτυλικὰ πενθημιμερῆ. τὰ ε΄, ια΄, ιβ΄, ις, ιζ΄ παιωνικὰ δίμετρα ἀκατάληκτα. τὸ ι΄ ὅμοιον, ἰαμβικὸν μέντοι. τὸ ιγ΄ παιωνικὸν ἑφθημιμερές. τὸ ιθ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὁ κ΄, κα΄, ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μη΄. ἐπὶ τῷ τέλει τῶν μὲν τοῦ χοροῦ κορωνὶς, τῆς δὲ διπλῆς ἡ ἔξω διπλῆ. ἐπὶ μέντοι ταῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος.]] διπλῆ καὶ τοῦ χοροῦ κῶλα γ΄ τροχαϊκά. ἔστι δὲ τὸ ὅλον τροχαϊκὸν ἑξάμετρον. τινὲς γράφουσιν ἐδάμημεν καί φασι τὰ μὲν β΄ τροχαϊκὰ ἀκατάληκτα, τὸ δὲ γ΄ τροχαϊκὸν καταληκτικόν. εἶτ' ἐν ἐκθέσει παιωνικὸς τετράμετρος καταληκτικὸς καὶ ἐν ἐκθέσει τετράμετρος καταληκτικὸς

τροχαϊκός. εἶτα ἐν ἐκθέσει δ' κῶλα, ὧν τὰ γ' παιωνικὰ δίρρυθμα, τὸ δὲ παρατέλευτον ἰαμβικὸν δίμετρον.

φιλτάθ': *Τὸ τέλειον φιλτάτη, σκληρῶς τοῦ η συναλειφθέντος.* R. V.

583. *Schol. ὅτι ἀπὸ πλήθους εἰς ἑνικὸν ἦλθεν.* V.

584. *σῷ — πόθῳ*] Tui desiderio. Hom. Od. λ'. 202. *ἀλλά με σός τε πόθος — θυμὸν ἀπηύρα.* Soph. Oed. R. 969. *τὠμῷ πόθῳ | κατέφθιθ'.* Oed. C. 332. *σῇ — προμηθίᾳ.* Mosch. Id. II. 157. *σὸς δὲ πόθος μ' ἀνέπει τόσην ἅλα μετρήσασθαι.* Eur. Andr. 62. *οἴκτῳ δὲ τῷ σῷ.* 660. *προνοίᾳ τῇ τε σῇ κἀμῇ.* Lys. XX. 23. *τὸ δέος — ὑμέτερον καὶ τὸ τῶν κατηγόρων.* XXII. *ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον.* XXXIII. 1. *δι' εὔνοιαν τῆς Ἑλλάδος.* Plat. Gorg. 486. *εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ.* Xen. An. V. 6. 11. *φιλίας ἕνεκα τῆς κορύλα.* Attamen *πόθῳ μου* legitur Thesm. 481.

585. *δαιμόνια*] Mire, vehementer. Schol: *δαιμονίως, σφοδρῶς.* Cf. Pl. 675. *ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.* Sic *ἠρινὰ* 600. *δημόσια* (adv.) Av. 396.

Schol. δαιμονίως, σφοδρῶς. R. V.

586. *ἀνερπύσαι*] Rursus repere, redire. I. q. *ἀναχωρῆσαι, ἀνελθεῖν.* Cf. ad Eq. 805.

Schol. (*ἀνερπύσαι*: *Ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ τῇ γαστρὶ εἰλεῖσθαι, ὅθεν καὶ ἑρπετόν.*)

587. *Schol. ἦσθα γὰρ τὸ μέγιστον*: *Ἐπεὶ ἡ εἰρήνη πλεῖω πάντων τοῖς γεωργοῖς συμφέρει.*

590. *βίον ἐτρίβομεν γεωργικὸν*] Cf. Pl. 526. *ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.* Eupol. II. 440. *βίον ὡς μοχθηρὸν ἔτριβες.* Diocl. com. II. 841. *μηδ' ἀγόμφιόν ποτε | αἰῶνα τρίψει.* Eubul. III. 238. *νῆστιν πονήρου κεστρέως τρίβων βίον.* Soph. El. 602. *δυστυχῆ τρίβει βίον.* Oed. R. 248. *κακὸν κακῶς νιν ἄμορον ἐκτρῖψαι* (*δύσμορον τρῖψαι?*) *βίον.* Eur. Her. 86. *νησιώτην — τρίβω βίον.* Rhes. 701. *νησιώτην σποράδα κέκτηται βίον.* Ion. 1373. *εἶχον οἰκέτην βίον.*

591. *πρίν ποτ'*] Ut *πάλαι ποτὲ* supra 835. Pl. 1002.

ἐπὶ σοῦ] Anglice, in your time. Cf. Eccl. 943. *τἀπὶ Χαριξένης.*

ἐπάσχομεν — γλυκέα] Cf. 696. *πάσχει δὲ θαυμαστόν.* Eq. 187. *ὅσον πέπονθας ἀγαθὸν ἐς τὰ πράγματα.*

594. *κἀδάπανα*] Horatius de vita rustica Epod. 2, 48. dapes inemtas apparet. Noster Acharn. 32. *ἀποβλέπων ἐς τὸν ἀγρὸν εἰρήνης ἐρῶν, | στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν, | ὃς οὐδεπώποτ' εἶπεν. Ἄνθρακας πρίω, | οὐκ ὄξος, οὐκ ἔλαιον, οὐδ' ᾔδει πρίω, | ἀλλ' αὐτὸς ἔφερε πάντα.* BE.

Schol. κἀδάπανα καὶ φίλα: *Ἐκ τῶν ἀγρῶν γὰρ οὗτοι πάντα εἶχον αὐτόματα. ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο καὶ ἐδαπάνων. (τινὲς δὲ γράφουσι μετὰ τοῦ ι, ἵνα τὸ νοούμενον ᾖ, δαπάνῃ τε τρυφῶμεν. βέλτιον δὲ χωρὶς τοῦ ι ἀναγινώσκειν, ἵν' ᾖ λέγων μηδὲν ἀναλίσκοντες, διὰ τὸ ἔχειν πάντα ἐκ τῶν ἀγρῶν, ἢ ὅτι ἐν τῇ εἰρήνῃ πολλὰ πάνυ καὶ τιμῆς ἐλαχίστης εὑρίσκεται.)*

595. *χῖδρα*] Edulium ex hordeo freso recenti. Pacem dicit rusticis fuisse *χῖδρα* quia tempore Pacis haberi possunt recentes fruges ad paranda *χίδρα*, et quia valde delectabantur illo cibi genere. BE. Cf. Eq. 805. *ἢν δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀνελθὼν εἰρηναῖος διατρίψῃ | καὶ χῖδρα φαγὼν ἀναθαρρήσῃ καὶ στεμφύλῳ ἐς λόγον ἔλθῃ*, etc. Nicand. Athen. 126 B. *χῖδρα μὲν ἐκτρίψειας*. Schol: *ἐρεικτὰ ἐκ κριθῆς νέας γινόμενα*, Hesych: *σῖτος νέος φρυττόμενος*.

Schol. *χίδρα*: *Χίδρον τὸ ἀπὸ ἐλύμου γινόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν, ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν, οἱ δὲ εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐετηρίαν.* (*Ἄλλως. ἐρεικτὰ ἐκ κριθῆς νέας γινόμενα.*) — *Ἄλλως. νῦν ἁπλῶς εὐκαρπία. οὕτω καὶ καλοῦσι τὸ ἐκ πυρῶν ἀληλεσμένων βρῶμα καὶ τὰ ἐκ νεαρῶν κριθῶν ἄλευρα.* V.

596. *τά τ' ἀμπέλια καὶ τὰ νέα συκίδια*] Cf. Ach. 995. *ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν, εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων.*

ἀμπέλια] Cf. Ach. 512.

597. *συκίδια*] Formatum ex *συκῆ*. Cf. *συκίς*, Ach. 996. *νέα μοσχίδια συκίδων.*

600. *προσγελάσεται*] Arridebunt. Aesch. Eum. 254. *ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ.* Eur. Med. 1162. *ἄψυχον εἰκὼ προσγελῶσα σώματος.* Herod. V. 92. *τὸν λαβόντα τῶν ἀνδρῶν θείῃ τύχῃ προσεγέλασε τὸ παιδίον.* Eubul. III. 259. *προσγελῶσά τε | λοπὰς παφλάζει βαρβάρῳ λαλήματι.* Diphil. ap. Athen. p. 226 E. *ὅμως δὲ τούτων εἴ με προσγελάσειέ τις.* Alibi dativum adsciscit *προσγελᾶν*. Similiter fere Hor. Od. II. 4. 13. 'ille terrarum mihi praeter omnes | angulus ridet.'

601. *ἀφ' ἡμῶν*] Procul a nobis.

603. *ὦ σοφώτατοι — ῥήματ'*] Cratinus apud schol: *ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε*, integrum hunc versum ab Archilocho mutuatus, ut monet schol. Eupolis II. 546. *ἀλλ' ἀκούετ', ὦ θεαταί, τἀμὰ καὶ ξυνίετε | ῥήματ'. εὐθὺς γὰρ πρὸς ὑμᾶς ἀπολογήσομαι.* Nub. 575. *ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προσέχετε.* S. Marc. Ev. VII. 14. *ἀκούετέ μου πάντες καὶ συνίετε.* S. Matth. Ev. XV. 10. *ἀκούετε καὶ συνίετε.* Archilochus scripserat — *τἀμὰ δὴ ξυνίετε | ῥήματα* (*ῥήματ'*). Eundem imitatus est Eupolis.

Schol. *τἀμὰ δὴ ξυνίετε*: *Πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν* ("*ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε.*" *ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου* "*ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματα.*" *ὁ Ἑρμῆς δέ ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ χοροῦ, δι' ἣν αἰτίαν τοσοῦτον ἀπέστη αὐτῶν ἡ θεὸς χρόνον. καὶ φησὶ πρῶτον αἴτιον γεγονέναι Φειδίαν.*)

605. *πρῶτα μὲν γὰρ ἦρξεν ἄτης*] Ita pro — *αὐτῆς ἦρξε* corrigunt Seidler. Dind. Mein. Richt. Cf. Lys. 998. *ἄρχεν, οἰῶ, Λαμπιτὼ* (*τοῦ κακοῦ*). Ach. 528. *ἐκεῖθεν ἀρχὴ τοῦ πολέμου κατερράγη.* 821. *ὅθενπερ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.* Lysistr. 638. *λόγων κατάρχομεν τῇ πόλει χρησίμων.* Pherecr. II. 326. *ἐμοὶ — ἦρξε τῶν κακῶν.* Aesch. Ag. 1163. *πρώταρχον ἄτην.* Pers. 345. *ἦρξεν μὲν — τοῦ παντὸς κακοῦ | φανεὶς ἀλάστωρ.* Eur. Med. 1372. *ὅστις ἦρξε πημονῆς.* Phoen. 1581. *πολλῶν ὑπῆρξεν*

Οἰδίπου δόμοις κακῶν | τόδ' ἦμαρ. Andr. 274. *ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν ὅτ' —.* Hel. 425. *γυναῖκα τὴν κακῶν πάντων ἐμοὶ | ἄρξασαν.* Eur. Fr. Phrix. 5, 5. *ὧν ἦρξεν κακῶν.* Hipp. 894. *αἰ αἰ· κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.* 1150. *τὸν οὐδὲν ἄτας αἴτιον.* Tro. 919. *ἀρχὰς ἥδ' ἔθηκε τῶν κακῶν.* Soph. Trach. 871. *ὡς ἄρ' ἡμῖν οὐ σμικρῶν κακῶν | ἦρξεν τὸ δῶρον.* Aj. 282. *τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;* 934. El. 919. Dem. p. 419. *τὴν ἄτην ὁρῶν στείχουσαν τοῖς ἀστοῖς ἀντὶ τῆς σωτηρίας.* p. 1345. *τῆς γὰρ ἔχθρας πρότερος οὗτος ὑπῆρξεν.* Theophr. Char. 26. *τὸν Θησέα πρῶτον τῶν κακῶν τῇ πόλει γεγονέναι αἴτιον.*

Φειδίας πράξας κακῶς] Fuit enim condemnatus ab Atheniensibus et fugit in exilium quia visus est furtum commisisse cum faceret statuam Minervae ex auro et ebore. BE. Vide scholiastae narrationem. Plut. Per. 32. *ὡς δὲ διὰ Φειδίου προσέπταισε τῷ δήμῳ, φοβηθεὶς τὸ δικαστήριον μέλλοντα τὸν πόλεμον καὶ ὑποτυφόμενον ἐξέκαυσεν ἐλπίζων διασκεδάσειν τὰ ἐγκλήματα καὶ ταπεινώσειν τὸν φθόνον.* Diodor. Sic. XII. 40. Impenderat scilicet Pericles Propylaeis aedificandis talenta 2012. De hac belli causa tacet in Acharn. 513 seqq. Cf. 615—618. infra.

Schol. *Φειδίας: Φιλόχορος ἐπὶ Θεοδώρου ἄρχοντος ταῦτά φησι. καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν ἔχον χρυσίου σταθμὸν ταλάντων μδ', Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας ἐκρίθη. καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων ἐπὶ Πυθοδώρου, ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος, περὶ Μεγαρέων εἰπὼν ὅτι καὶ αὐτοὶ κατεβόων Ἀθηναίων παρὰ Λακεδαιμονίοις, ἀδίκως λέγοντες εἴργεσθαι ἀγορᾶς καὶ λιμένων τῶν παρ' Ἀθηναίοις. οἱ γὰρ Ἀθηναῖοι ταῦτα ἐψηφίσαντο Περικλέους εἰπόντος, τὴν γῆν αὐτοῖς αἰτιώμενοι τὴν ἱερὰν τοῖς θεοῖς ἀπεργάζεσθαι. λέγουσι δέ τινες ὡς Φειδίου τοῦ ἀγαλματοποιοῦ δόξαντος παραλογίζεσθαι τὴν πόλιν καὶ φυγαδευθέντος ὁ Περικλῆς φοβηθεὶς διὰ τὸ ἐπιστατῆσαι τῇ κατασκευῇ τοῦ ἀγάλματος καὶ συνεγνωκέναι τῇ κλοπῇ ἔγραψε τὸ κατὰ Μεγαρέων πινάκιον καὶ τὸν πόλεμον ἐπήνεγκεν, (ἵνα ἀπησχολημένοις Ἀθηναίοις εἰς τὸν πόλεμον μὴ δῷ τὰς εὐθύνας, ἐγκαλέσας Μεγαρεῦσιν ὡς τὴν ἱερὰν ὀργάδα ταῖν θεαῖν ἐργασαμένοις. ἄλογος δὲ φαίνεται ἡ κατὰ Περικλέους ὑπόνοια. ἑπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς τῶν περὶ Φειδίαν γενομένων. ὁ Φειδίας, ὡς Φιλόχορος φησίν, ἐπὶ Θεοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς, ἐφ' ᾧ καταγνωσθεὶς ἐζημιώθη φυγῇ· γενόμενος δὲ εἰς Ἦλιν καὶ ἐργολαβήσας παρὰ τῶν Ἠλείων τὸ ἄγαλμα τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ καταγνωσθεὶς ὑπ' αὐτῶν ὡς νοσφισάμενος ἀνῃρέθη.)*

606. *εἶτα Περικλέης*] Iste fuerat curator illius operis et inspector, cumque timeret ne etiam exemplo Phidiae plecteretur quia expensarum rationem reddere non posset, quietem publicam turbans alio avertit mentes Atheniensium. BE. Cf. Eq. 803. 864—867. Plaut. Most. V. 1. 11. Faciens idem quod plurimi alii, quibus rès timida aut tur-

bida est: | Pergunt turbare usque, ut nequid possit conquiescere.

Schol. (*εἶτα Περικλέης φοβηθείς*: *Εἶτα ὁ Περικλῆς δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ. ἐδόκει γὰρ ὁ Περικλῆς συνεγνωκέναι τῇ κλοπῇ, ἐπεὶ καὶ ἐργεπιστατεῖν ὑπὸ τῶν Ἀθηναίων κεχειροτόνηται. φοβηθεὶς οὖν αὐτοῦ διελεγχθῆναι τὰς κλοπὰς ἐκίνησε τὸν Πελοποννησιακὸν πόλεμον, ἐλπίσας ταραχῆς γενομένης καὶ περὶ τὸν πόλεμον ἀπασχοληθέντων τῶν Ἀθηναίων εὐθύνας μὴ παρασχεῖν.*) — *τοῦ Φειδίου.* R.

607. *τὰς φύσεις ὑμῶν* —] Cf. Thuc. VII. 14. *αἱ ὑμέτεραι φύσεις.* 48. *ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις.* Soph. Oed. R. 674. *αἱ γὰρ τοιαῦται φύσεις* | *αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.*

τὸν αὐτοδὰξ τρόπον] I. e. iracundiam. Cf. Lys. 689. *γυναικῶν αὐτοδὰξ ὠργισμένων.* Ex Homerico fictum *ὀδὰξ ἐν χείλεσι φύντες* (Od. *ά*. 381. etc.). Scilicet qui vehementer irati sunt labia sua mordere solent prae furore ejusque supprimendi gratia. Vesp. 785. *σεαυτὸν δάκνων.* 1078. *ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων.* Nub. 1369. *τὸν θυμὸν δακών.* Soph. Tr. 976. *ἴσχε δακὼν* | *στόμα σόν.*

Schol. *τὸν αὐτοδάξ*: *Τὸν ἐμπεσόντα καὶ δάκνοντα, αὐθάδη, ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοῖς ὀδοῦσι.* (*οὐδὲν ἢ δάκνειν βλέποντα.*)

608. *ἐξέφλεξε τὴν πόλιν* —]· Cf. Plutarch. Pericl. c. 31. 32. *ὡς δὲ διὰ Φειδίου προσέπταισε τῷ δήμῳ, φοβηθεὶς τὸ δικαστήριον μέλλοντα τὸν πόλεμον καὶ ὑποτυφόμενον ἐξέκαυσεν* (Pericles) *ἐλπίζων διασκεδάσειν τὰ ἐγκλήματα καὶ ταπεινώσειν τὸν φθόνον.* Qui huc, opinor, respexit. Cf. Lys, 206, 3. *φλὸξ πολεμία τὴν πόλιν κατέχει.*

609. *αὐτός*] Ipse ultro. Cf. 639.

Μεγαρικοῦ ψηφίσματος] De hoc decreto v. Ach. 524 sq.

Schol. *ἐμβαλὼν σπινθῆρα*: *Ἐπεὶ ψήφισμα περὶ τῶν Μεγαρέων ὁ Περικλῆς ἔγραψε, μήτε γῆς μήτε λιμένων αὐτοὺς ἐπιβαίνειν Ἀττικῶν· εἰ δὲ μή, τὸν ληφθέντα ἀγώγιμον εἶναι.* (*ἐφ' ᾧ κινηθεῖσα πᾶσα ἡ Ἑλλὰς τὸν πόλεμον ἐποίησε. τινὲς δέ φασιν ὅτι ἔπλεξεν αὐτοῖς καὶ κατηγόρησεν αὐτῶν ὡς ἁρπασάντων γυναῖκας Ἀθηναίων ἐν ἑορτῇ, συμβουλεύσας πολεμεῖσθαι.*)

610. Cf. 310. *ὅπως μὴ — τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες.* Plut. Ages. c. 31. *ὃς τῶν κακῶν αἴτιός ἐστιν ἐκκαύσας τὸν πόλεμον.* Syll. 6. *ὁ συμμαχικὸς πόλεμος, πάλαι τυφόμενος, ἐπὶ τὴν πόλιν ἀναλάμψας* etc.

τῷ καπνῷ — δακρῦσαι] Cf. Vesp. 146. Lys. 295—301. Hor. Sat. I. 5. 80. lacrimoso non sine fumo. Plaut. Asin. 3, 3, 20. num fumus est haec mulier quam amplexare? B. Qui dum? A. Quia oculi sunt tibi lacrumantes, eo rogavi. BR.

Schol. *ἐξεφύσησε γάρ*: *Ἐξεκίνησεν, ἐτάραξεν. ἑξῆς δὲ ἀπὸ τοῦ σπινθῆρος τὸ φυσῆσαι ἔλαβε. καπνῷ δὲ τροπικῶς εἰπὼν ἐπέμεινε διόλου τῇ τροπῇ.*

611. *τούς τ' ἐκεῖ* —] **Quique illic, quique hic sunt**, Lacedaemonios sc. et Athenienses cum sociis ex utraque parte.

612. *ἄκουσ'*] **Invita.** Legendum videtur *ἀφθεῖσ'* **accensa.** V. not. crit.

ἐψόφησεν ἄμπελος] De vite loquitur tanquam de animali more Aesopico. Ita et de doliis. Vult autem dicere agros esse vastatos et vites excisas. *Κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα*, inquit rusticus ille in Acharn. 511, dicens se propterea infensissimum esse Lacedaemoniis, qui saepe impressionibus factis in agrum Atticum omnia vastarunt. Vide mox 628. BE.

ἐψόφησεν] **Crepuit**, sc. accensa. Cf. Vesp. 436. *ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.* Ran. 859. *σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.* Ach. 986.

Schol. (*ὡς δ' ἅπαξ τὸ πρῶτον: Οἰκείως πρὸς τοὺς γεωργοὺς λέγων τοιαύταις τροπαῖς ἐχρήσατο· συμβαίνει γὰρ ἐν τῇ συνθέσει τῶν πίθων ἕνα διαρραγῆναι, καὶ τούτου τὰ ὄστρακα πλησιάζοντα διαρρῆξαι ἕτερον. καὶ τοῦτον πάλιν τὸν ἐγγύς, ὥστε πολλὴν γενέσθαι τὴν βλάβην. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν, ὡς ἅπαξ ἐκινήθη καὶ συνεταράχθη τὰ πράγματα τοῦ πολέμου γενομένου, οὐκέτι ἦν οὐδὲ εἷς ὃς ἠδύνατο αὐτὰ παῦσαι, καὶ οὕτως ἡ εἰρήνη παραπώλετο.*)

613. Cf. 703. Ach. 987. *ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.*

Schol. (*καὶ πίθος πληγείς: Τοῦτο λόγον οὐκ ἔχει, ἀλλ' ἐξ αὐτοῦ δηλοῖ τοὺς πίθους ὑπὸ τῶν πολεμίων κατάγνυσθαι.*)

614. *ἥδε*] Sc. *Εἰρήνη.*

616. *αὐτῇ προσήκοι*] Ad eam pertineret, cum ea affinitate conjunctus esset. Cf. ad 618. Isae. XI. 44. *τοὺς μηδὲν γένει προσήκοντας.*

Schol. (*προσήκοι: Συγγενὴς εἴη. τὸ γὰρ προσήκοι λέγεται ἐπὶ τῶν συγγενῶν. διὰ τοῦτο ἐπήνεγκεν, οὖσα συγγενὴς ἐκείνου. συγγενῆ δὲ αὐτόν φησιν ἐπεὶ ἅμα τῷ φυγεῖν αὐτὸν ἡ εἰρήνη ἀνεχώρησεν.*)

617. *ταῦτ' ἄρ' εὐπρόσωπος ἦν*] De Pace loquitur tanquam de puella formosa. Sic in Acharn. 989. de eadem, *ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι ταῖς φίλαις ξύντροφε Διαλλαγή, | ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες.* BE.

618. *οὖσα συγγενής*] Paulo ante dicebat, *ὅπως αὐτῇ προσήκοι Φειδίας.* Ibi *προσήκειν τινὶ* simpliciter accipitur pro attinere ad aliquem (attinebat autem Phidias ad Pacem quia occasione statuae a Phidia factae Pax erat turbata); nunc autem ita loquitur quasi ibi *προσήκειν* accepisset pro attinere ad aliquem sive contingere aliquem cognatione. Itaque Pacem pulchram esse dicit quia Phidiae, qui pulchras statuas faciebat, sit cognata: iidem enim sunt *συγγενεῖς* et *προσήκοντες γένει.* BE.

Schol. (*οὖσα συγγενής: Ἐπεὶ προεῖπεν, "οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόειν," πρὸς τὸ προσήκοι τὸ συγγενὲς ἐπήγαγε· προσήκοντες γὰρ λέγονται οἱ συγγενεῖς. τὸ δὲ ἠκηκόειν, οὕτω διὰ τοῦ η Φρύνιχος ἀναγινώσκει, συγγενῆ δὲ εἶπε τὸν Φειδίαν τῆς εἰρήνης καθὸ τεχνίτης ὁ Φειδίας, εὔμορφος δὲ εἰσάγεται ἡ Εἰρήνη οὖσα. ὡς πρὸς τὸν Φειδίαν οὖν ἡ καλὰ ξόανα ποιοῦσα.*)

619. *αἱ πόλεις*] Civitates sociae. Cf. ad 171.

Schol. (*κἆτ' ἐπειδὴ ἔγνωσαν*: Ὅρα τοῦ ποιητοῦ τὴν οἰκονομίαν, καὶ ἐκπλαγήσῃ αὐτόν. πάντα γὰρ τρόπον ἦλθεν ἐν ἀρχῇ τοῦ ποιήματος μὴ προσκροῦσαι τοῖς Ἀθηναίοις, φάσκων ἑτέρους εἶναι τοῦ πολέμου αἰτίους, Βοιωτούς τε καὶ Μεγαρεῖς, οἵ, φησί, πρῶτοι τὴν εἰρήνην ἐσκορόδισαν. νῦν δὲ πάλιν τοὺς Ἀθηναίους ἀποφαίνεται αἰτιωτάτους τοῦ πολέμου, δι' ὧν τὸν Περικλέα φησὶ γράψαι τὸ κατὰ Μεγαρέων ψήφισμα, καὶ ἀδικουμένους τοὺς συμμάχους εἰς ἀπόστασιν κεχωρηκέναι. τί οὖν ἡ τοῦ ποιητοῦ τέχνη; ὅτε μὲν δέος ἦν τῆς εἰρήνης αὐτοὺς ἐπιτυχεῖν, ἐπὶ τοὺς ἄλλους ἀνήνεγκε τὴν αἰτίαν· ὅτε δὲ αὐτοῖς λοιπὸν κατὰ γνώμην προκεχώρηκε τὰ πράγματα, φήμη δὲ τὸ τῆς εἰρήνης τυχεῖν, ἤδη καὶ πρὸς αὐτοὺς παρρησιάζεται, οὐκ ὀνειδίσαι βουλόμενος αὐτοῖς, ἤδη γὰρ ἔγνωσαν ὄντως εἶναι αἴτιοι, ἀλλ' ἀποστῆσαι προαιρούμενος αὐτοὺς τῶν τοιούτων ἐθῶν, ὡς ἂν μὴ τοῖς αὐτοῖς ἐμμένοντες δύσνους ἔχωσι τοὺς ὑπηκόους.

620. *σεσηρότας*] Vesp. 901. *οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.* Com. anon. IV. 661. *τρώκτης σφόδρ' ἐστὶν ἅμα σεσηρὼς καὶ γελῶν.* Theocr. VII. 19. *εἶπε σεσαρὼς | ὄμματι μειδιόωντι.* Metaphora a canibus sumpta.

Schol. (*σεσηρότας*: Ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις.)

621. *τοὺς φόρους*] De tributo sociis imposito vide Thucyd. I. 99, qui duas praecipue defectionis sociorum recenset causas, *τὰς τῶν φόρων καὶ νεῶν ἐκδείας* et *λιποστράτιον*: rigide enim et severe omnia exigere solere Athenienses.

Schol. (*τοὺς φόρους*: Ἐδόκουν γὰρ οἱ Ἀθηναῖοι ἐν καιρῷ τοῦ πολέμου ἀπηνεῖς εἶναι πρὸς τοὺς φόρους οὓς ἐτέλουν οἱ ὑπήκοοι.)

623. *ἅτ' ὄντες —*] Cf. 634. Av. 75.

αἰσχροκερδεῖς] Euripides in Andromacha v. 445. *ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν | Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια, | ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν, | ἑλικτὰ κοὐδὲν ὑγιὲς ἀλλὰ πᾶν πέριξ | φρονοῦντες ἀδίκως εὐτυχεῖτ' ἀν' Ἑλλάδα. | τί δ' οὐκ ἐν ὑμῖν ἐστιν; οὐ πλεῖστοι φόνοι; | Οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν | γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;* BE. (Eodem fere tempore quo Pax docta est fabula Andromache: v. schol. ad 446.). Isocr. p. 283. *Σπαρτιάτας δ' ὑπεροπτικοὺς καὶ πολεμικοὺς καὶ πλεονέκτας, οἵους περ αὐτοὺς εἶναι πάντες ὑπειλήφασιν.* p. 225 B. *εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα.* Oraculum ap. schol. *ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.* Dinarch. I. 22. *ὁ μιαρὸς οὗτος — καὶ αἰσχροκερδής.* Plat. Rep. III. 408 C. Herod. I. 187. *Αἰσχροκερδία* habet Diphilus ap. Stob. Flor. X. 4. turpilucricupidus Plautus.

διειρωνόξενοι] Perfidi in exteros, ut apud quos fuerint *ξενηλασίαι*, quo ipse comicus respicit in Avib. 1013. *ὥσπερ ἐν Λακεδαίμονι | ξενηλατοῦνται.* Pacem igitur et amicitiam cum aliis gentibus parvipendebant, et parati semper ad bellandum erant, si tuto id facere viderentur posse. V. Thuc. I. 144. II. 39. Herod. IX. 54. *ἐπιστάμενοι τὰ Λακεδαιμονίων φρονήματα ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων.*

Schol. (αἰσχροκερδεῖς: Ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι οἱ Λάκωνες πρόδηλον καὶ ἐκ τοῦ χρησμοῦ, "ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν." ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις.

διειρωνόξενοι: Ἐξαπατῶντες τοὺς ξένους καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως. καὶ οὐδὲν θαυμαστὸν ἐνταῦθα ἐποίουν, παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας κεῖται νόμος.)

624. τήνδ' ἀπορρίψαντες] Hac (Pace) rejecta.

τὸν πόλεμον ἀνήρπασαν] Bellum acriter susceperunt. Fortius quam τὸν πόλεμον ἀνήραντο.

625. τοῖς γεωργοῖς] Atticis aeque et Laconicis.

τὰκείνων — κέρδη] I. e. magnatum Laconum (622).

626. ἐνθένδ'] Ex Athenis.

627. κράδας] Schol: εἶδος συκῆς. Hesych. Κράδη: συκῆ. Id. Κράδαλοι: κλάδοι συκῆς. Id. κραδοφάγος: συκοφάγος, ἰσχαδοφάγος. σημαίνει δὲ καὶ τὸν ἀγροῖκον. Av. 40. Theophr. H. P. II. 1. 2. II. 5. 4. de C. Pl. I. 3. 1. I. 12. 9. etc.

κατήσθιον] Consumebant. Cf. Eq. 258.

Schol. (τὰς κράδας κατήσθιον: Καὶ αὐτοὶ ἀντέκοπτον τὰς συκᾶς, ὥσπερ ἐκεῖνοι τὰς ἀμπέλους ἡμῶν. Ἄλλως. κράδη εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή. κατήσθιον δὲ ἀντὶ τοῦ κατέκοπτον.)

628. κορώνεων] Ficus species, ita appellata a fusco colore, qualis est corvorum, de qua vide schol. Sic δαμαρίππεως ficus species (Eupolis Fr. Inc. 83.). Cf. ad Ach. 802. φιβάλεως ἰσχάδας.

Schol. τὴν κορώνεων: Κορώνεως ὡς φιβάλεως. ἔστι δὲ εἶδος συκῆς. καὶ ἐν Ἀχαρνεῦσι [802]. ταύτην δὲ καὶ κοράκειον λέγουσιν· ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα.

629. ἐξέκοψαν] Exciderunt radicitus, non κατέκοψαν deciderunt (Angl. hewed, hacked down). Cf. Ach. 512. κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα (f. ἀμπέλι' ἐκκεκομμένα).

'φύτευσα κἀξεθρεψάμην] Cf. Vesp. 1133. παῖδας — φυτεύειν καὶ τρέφειν. Soph. Oed. R. 827. Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με. Eur. Med. 1349. παῖδας, οὓς ἔφυσα κἀξεθρεψάμην. 1029. ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην. El. 969.

Schol. (ἐξεθρεψάμην: Ὡς ἐπὶ παιδίου εἶπεν ἢ ἀνθρώπου τὸ ἐξεθρεψάμην, ἐφ' ᾧτε ἱκανὴν διάθεσιν καὶ στοργὴν ἐμποιῆσαι. ἢ ἵνα φαίνηται ἀγανακτῶν ἐν λόγοις.)

631. κυψέλην] Vas frumentarium.

Schol. (ἐξμέδιμνον κυψέλην: Ἓξ μεδίμνους χωροῦσαν κυψέλην. ἔστι δὲ εἶδος ἀγγείου ἢ μέτρου δεκτικὸν πυρῶν ἢ κριθῶν. οὕτως δὲ εἴρηται διὰ τὸ κεκρύφθαι αὐτοῦ τὴν ἕλην· ἔστι γὰρ σκοτεινόν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἥτις ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι· διὸ λίθῳ φησὶν αὐτὴν κλασθῆναι.)

632. κἀνθάδ'] I. e. huc, in urbem. De commigratione rusticorum in urbem initio jam belli facta vide Eq. 792.

οὐργάτης λεώς] I. q. *ὁ γεωργικὸς λεώς* (920). Similiter Ach. 162. *ὁ θρανίτης λεώς*.

Schol. *οὐργάτης λεὼς*: *Διὰ γὰρ τὰς συνεχεῖς τῶν πολέμων* (l. *πολεμίων*) *εἰσβολὰς ἐσκευαγωγήσαντο εἰς τὴν πόλιν οἱ ἀπὸ τῶν ἀγρῶν*.

633. *τὸν τρόπον — τὸν αὐτόν*] Eodem modo quo antea in rure. Non sentiebant agricolae nihil melius agi secum in urbe quam in agris: ut enim ibi ab hostibus incursantibus vexabantur, sic in urbe a demagogis decipiebantur. Cf. Virg. Aen. II. 377. sensit medios delapsus in hostes.

πωλούμενος] Sensu metaphorico. Ach. 374. *κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι*. Dinarch. I. 91. *εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτούς*, etc. Soph. Phil. 578. *τί με κατὰ σκότον ποτὲ | διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;* 978. *οἴμοι, πέπραμαι κἀπόλωλ'*. Plaut. Bacch. 4, 7, 16. O stulte stulte, nescis nunc venire te.

Schol. *πωλούμενος οὐκ ἐλάνθανεν*: *Ἐὰν μὲν ᾖ οὐκ ἐλάνθανε, σεμνολογεῖ λεληθότως αὐτοὺς ὡς μᾶλλον συνιέναι δυναμένους τὰς κατὰ τῆς πόλεως βλάβας τῶν ἐν τῇ πόλει τραφέντων, καὶ ταῦτα ἀγροίκους ὄντας. ἐὰν δὲ οὐκ ἐμάνθανε, φησὶν ὅτι οὐδὲ ὁ ἄγροικος λεὼς μετοικισθεὶς εἰς τὰς πόλεις συνίει τῆς τῶν προδιδόντων πονηρίας, ἀλλ' ἠγνόησεν ὑπὸ τῶν πολιτευομένων πωλούμενος. καθάπερ οἱ συνήθως ἀπ' αὐτῶν ἀπατώμενοι*.

634. *ἄνευ γιγάρτων*] Sine acinis. Pro ipsis uvis, quae ut ficus praecipuus agricolarum Atticorum victus erant. De voce *γίγαρτον* v. Theophr. H. P. I. 11. 6. De C. Pl. I. 19. 2. V. 8. 4. etc. *γιγαρτώδης* H. P. III. 17. 6. *ἀγίγαρτοι ἄμπελοι* De C. Pl. V. 6. 13. Hinc *καταγιγαρτίζειν* Ach. 275.

Schol. *ἄνευ γιγάρτων*: [[*Τῆς σταφυλῆς. διὰ τὸ ἀποστερεῖσθαι τῆς συνήθους διαίτης καὶ ἀνακεχωρηκέναι ἐκ τῶν ἀγρῶν καὶ ἐπιθυμεῖν αὐτῶν*.]] *ἐξ ἀμφοτέρων δηλοῦται ἀπεστερημένος τῶν ἀγρῶν καὶ ἐπιθυμῶν αὐτῶν. οἱ γὰρ ἀγροῖκοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἐσθίουσιν*.

635. *ἔβλεπε πρὸς τοὺς λέγοντας*] Auscultabat oratoribus quid illi dicerent: cumque oratores isti libenter calumniarentur opulentos, ut nempe multarentur pecunia aut etiam omnia illorum bona publicarentur plebi inopia laboranti, ea res placebat, quamvis reipublicae perniciosa. BE. *Τοὺς δημηγόρους* dicit sive oratores concionales.

636. *ἀσθενοῦντας* —] I. e. victus inopia laborantes, ideoque paratos ad praedam lacerandam, i. e. sociorum opulentiores falsis criminibus oppressos. Vide infra 641.

Schol. *ἀσθενοῦντας*: *Ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας. τὴν γὰρ τύχην ἰδίως νόσον καλοῦσι*.

κἀπορροῦντας ἀλφίτων: *Φαίνονται ὅτι συνελθόντες εἰς τὸ ἄστυ ἐπένοντο μὴ γεωργοῦντες*.

637. *δικροῖς* —] Suidas, *δικροῖς*: *διφυέσι ξύλοις, δικράνοις. Ἀριστοφάνης· δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι· τὴν Εἰρήνην λέγων. ἔδει δὲ εἰπεῖν ξύλοις, καὶ εἶπε κεκράγμασι· ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες*

τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην. BR. *Δίκρουν ξύλον* dixit Timocles comicus ap. Athen. VI. p. 243. Proprie *δίκρουν ξύλον* est lignum bifidum quale est furca; et furcae dicuntur *δίκρα*, item *δίκρανα*. Hinc proverbium *δικράνοις ὠθεῖν* furcillis ejicere, sive ut Horatius expellere furca [Epod. I. 10. 24.]. Lucianus in Timone 12. *καὶ μόνον οὐχὶ δικράνοις με ἐξεώθει τῆς οἰκίας*. BE. Sic furcillis ejicere Catull. CV. 2. Redde clamoribus bifurcis expellebant. Cf. Schol. ad Pind. N. IV. 85. *δίκρουν γὰρ* (τὸ δόρυ τοῦ Ἀχιλλέως), *ὥστε δύο ἀκμὰς ἔχειν* etc. Lesches ibid. *καὶ ἐπ' αὐτῷ δίκρους ἄρδις*. Aesch. Fr. 44. *δίκρα ὄψις* (i. e. *διπλῆ*). Plat. Tim. 78 B. *ὧν θάτερον — διέπλεξε δίκρουν*. Xen. Cyneg. II. 7. *δικρᾶ ἔχουσαι μικρά*. Arist. H. A. VI. 9. 8. *οὔσης δὲ δικρόας τῆς ὑστέρας* etc. Similiter fere Soph. Aj. 408. *πᾶς στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι*. Sed sensus est fortasse potius clamoribus tanquam furcillis expellebant, ut explicat Fritzschius ad Thesm. 1011. Similiter Ach. 230. *κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ*. Nub. 178. *κάμψας ὀβελίσκον, εἶτα διαβήτην* (i. e. *αὐτὸν ὡς διαβήτην*) *λαβών*.

κεκράγμασιν] Vociferationibus. Similem vocem *κεκραγμὸς* Atticis pro *κραυγὴ* tribuit Moeris p. 226. Legitur ea Eur. Iph. A. 1357.

Schol. *δικροῖς*: (*Δικράνοις*. [Callimach. fr. 246:] "*δίκρανον ἤριγε φιτρὸς ἐπαιρόμενον*." *ἔδει δὲ εἰπεῖν*) *ξύλοις, ὁ δὲ εἶπε κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην*. (*Ἄλλως. ξύλοις ἀπώθουν τὴν Εἰρήνην καὶ ἐξέβαλον. κατασκευάζεται δὲ τὰ τοιαῦτα ξύλα, ἃ καλεῖται δίκρανα, ἐπὶ τοῦ ἀγροῦ, δύο χηλὰς ἔχοντα παρεοικότα τοῖς ξυλευομένοις. τοιούτοις οὖν, φησί, δικροῖς τὴν Εἰρήνην ὤθουν*.)

638. *πολλάκις φανεῖσαν*] Cf. 665 sq. Thuc. IV. 41. *οἱ δὲ Λακεδαιμόνιοι — ἐπρεσβεύοντο* (qu. *ἐπρέσβευόν τε*) *παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων* (*φοιτῶντας*?) *αὐτοὺς ἀπράκτους ἀπέπεμπον*.

αὐτήν] Ipsam, sponte, ultro, non sollicitatam. I. q. *αὐτομάτην*. Cf. 609. 665. Soph. Oed. R. 341. *ἥξει γὰρ αὐτὰ* (schol: *αὐτόματα*), *κἂν ἐγὼ σιγῇ στέγω*.

Schol. *πολλάκις φανεῖσαν*: *Μετὰ γὰρ τὰ ἐν Πύλῳ ἐπρέσβευσαν περὶ διαλλαγῶν οἱ Λακεδαιμόνιοι· οἱ δὲ Ἀθηναῖοι οὐ προσεῖχον*.

639. *ἔσειον — ἄν*] Cf. 642. 644. Nonnulli male *ἂν* cum *προστιθέντες* construunt.

ἔσειον] Exagitabant, falsis criminibus vexabant. Anglice, harassed, troubled. Cf. Eq. 840. *τῶν συμμάχων τ' ἄρξεις ἔχων τρίαιναν, | ᾗ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττων*. Fr. 20. *ἔσειον, ἤτουν χρήματ', ἠπείλουν, ἐσυκοφάντουν*. Teleclides ap. Phot. p. 504. 25. *ἀλλ', ὦ πάντων ἀστῶν λῷστοι σεῖσαι καὶ προσκαλέσασθαι, | παύσασθε δικῶν ἀλληλοφάγων*. Antiphont. p. 146, 22. *ἑτέρους τῶν ὑπευθύνων ἔσειε καὶ ἐσυκοφάντει*.

τοὺς παχεῖς] Talis ille est cui exitium minatur judicum chorus Vesp. 288. *καὶ γὰρ ἀνὴρ παχὺς ἥκει | τῶν προδόντων τἀπὶ Θρᾴκης, | ὃν ὅπως*

ἐγχυτριεῖς. Maxime autem illos aggrediebantur sycophantae qui essent simpliciores et simul divites. V. Eq. 259—265, quae ibi ad Cleonem spectant, nam is talia docte norat facere. BE. Cf. Eq. 1139. Herod. V. 30. *ἔφυγον ἄνδρες τῶν παχέων*. V. 77. VI. 91. VII. 156. Lucian. Alex. 6. *τοὺς παχεῖς τῶν ἀνθρώπων — ἀποκείροντες*.

τῶν — συμμάχων] Cf. 936.

640. *ὡς φρονεῖ τὰ Βρασίδου*] Sc. unus aliquis ex illis. Cf. Eq. 1216. *αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ*. Herod. VIII. 34. *βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ ὅτι τὰ Μήδων Βοιωτοὶ φρονέοιεν*. VIII. 75. *τυγχάνει γὰρ φρονέων τὰ βασιλέος*. IX. 2. *τοὺς μὴ τὰ σὰ φρονέοντας ῥηϊδίως — καταστρέψεαι*. IX. 99. *ὑπονοήσαντες τοὺς Σαμίους τὰ Ἑλλήνων φρονέειν*. Thuc. V. 84. *τοὺς δοκοῦντας — τὰ Λακεδαιμονίων φρονεῖν*. Dem. 14, 34. *Θηβαίων τἀκείνου φρονούντων*. de Cor. 161. *τῶν τὰ Φιλίππου φρονούντων*. p. 662. *τἀκείνου (τοῦ Φιλίππου) φρονεῖ*. Aesch. II. 29. *τῶν πλείστων τὰ Παυσανίου φρονούντων*. Dio Cass. LI. *τοὺς τὰ τοῦ Ἀντωνίου φρονήσαντας*. Plut. Alc. 27. *τοῖς τὰ τοῦ δήμου φρονοῦσι*. "Brasidas erat admodum prudens imperator, eoque efficiebat, maxime quo tempore in Thracia erat, ut multi ab Atheniensibus ad Lacedaemonios deficerent. Hinc sycophantae Athenis saepe arripiebant occasionem ut etiam innocentes insimularent, quasi cum eo conspirarent. In Vesp. 473. *ὦ μισόδημε καὶ μοναρχίας ἐραστὰ καὶ ξυνὼν Βρασίδᾳ*." BE. De singulari post plurale subjecto v. Heind. ad Plat. Prot. p. 319 D. et ad Nub. 989.

Schol. *τὰ Βρασίδου*: *Ἀντὶ τοῦ τὰ Λακεδαιμονίων. ἅμα δὲ ὅτι ἐπὶ αὐτοῦ πολλοὶ τῶν ὑπηκόων προσεχώρουν*.

642. *ὠχριῶσα*] Pallens prae fame et metu. Cf. Ran. 307. *ὡς ὠχρίασ' αὐτὴν ἰδών*.

κἂν φόβῳ καθημένη] In concione, opinor: ibi enim sedentes audiebant. Lys. XXVIII. 6. *ποιήσεις γὰρ αὐτοὺς οὐκ ἐπιβουλεύοντας σοὶ καθῆσθαι — ἀλλὰ περὶ αὐτῶν δεδιέναι*. Sed vulgata mendosa videtur. V. not. crit.

Schol. (*ὠχριῶσα*: *Οὐ παρὰ τὸ φοβουμένη ὠχριῶσα, ἀλλ' ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. οὕτω γὰρ εἶπε φοβουμένη· τὸ γὰρ ἑξῆς τοῦτο δηλοῖ*.]

643. *διαβάλοι*] Ita dixit pro *παραβάλοι*, quod objicere sive projicere cibum est canibus aut aliis bestiis; et hoc verbum erat ponendum quia similitudo est a canibus, cum cibus eis projicitur, sed quasi errans utitur verbo *διαβάλλειν* calumniari, quia rhetores isti sycophantae per calumnias efficiunt ut innocentibus bona sua extorqueantur. BE. *διαβάλοι* joco inexpectato pro *προβάλοι* dictum. Sic Vesp. 916. *ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί*. Nub. 489. *ἄγε νυν ὅπως, ὅταν τι προβαλῶ σοι σοφὸν | περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσει. | ΣΤ. τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;* Similiter fortasse positum *διαβάλλειν* pro *καταβάλλειν* Eq. 496.

ἅττα διαβάλοι] Sic Nub. 854. *ὅ τι μάθοιμ' ἑκάστοτε | ἐπελανθανόμην ἄν —*. Ach. 520. *κεἴ που σίκυον ἴδοιεν ἢ λαγῴδιον — ταῦτ' ἦν Μεγα-*

ρικὰ etc. Soph. Phil. 289. ὅ μοι βάλοι | νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας | εἱλυόμην etc. Trach. 906. κλαῖε δ' ὀργάνων ὅτου | ψαύσειεν. Thuc. VIII. 93. ἔπειθον οὓς ἴδοιεν. Dem. p. 122. ἐκόλαζον — οὓς αἴσθοιντο δωροδοκοῦντας. Hom. Il. κ'. 11. ὅτ' ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειε, | θαύμαζεν πυρὰ πολλά. Od. λ'. 589. τὰς ὁπότ' ἰθύσει' —, τὰς δ' ἄνεμος ῥίπτασκε. Thuc. II. 65. ὁπότε γοῦν αἴσθοιτό τι —, λέγων κατέπλησσεν.

ταῦτ' ἂν ἥδιστ' ἤσθιεν] Eq. 695. ἐπὶ τῷ φάγοις ἥδιστ' ἄν; Antiphan. III. 9. κρέας δὲ τίνος ἥδιστ' ἂν ἐσθίοις; τίνος;

Schol. ἅττ' ἂν διαβάλοι: Ἀντὶ τοῦ εἰπεῖν παραβάλοι, ὡς ἐπὶ τροφῆς, διαβάλοι εἶπε διὰ τοὺς διαβάλλοντας.

644. οἱ δέ] Sc. οἱ ἐργάται (632), οἱ γεωργοί.

τὰς πληγὰς ὁρῶντες —] Cf. Eq. 67. ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον; | εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε τήμερον. De Cleone.

τὰς πληγὰς — ἃς ἐτύπτονθ'] Cf. Ran. 636. οὐ γὰρ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί; Antiphont. p. 127, 13. τὸν ἄνδρα ὁμολογῶν τύπτειν τὰς πληγὰς ἐξ ὧν ἀπέθανεν.

Schol. οἱ δὲ τὰς πληγὰς: Τὸ ἑξῆς, οἱ δὲ ξένοι ὁρῶντες τὰς πληγὰς ἃς ἐτύπτοντό τινες τῶν δημοτῶν (παρὰ τῶν δημαγωγῶν), χρυσίον προσέφερον τοῖς ταῦτα ποιοῦσι. λέγει δὲ τοῖς ῥήτορσιν.

645. Cf. Plut. 379. τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων. Cratinus ap. schol. ad Eq. 523. εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, | ἅπαντα ταῦτα κατακλύσει ποιήμασι. BE. Ach. 463. σφογγίῳ βεβυσμένον. Th. 506. παιδίον, | ἵνα μὴ βοῴη, κηρίῳ βεβυσμένον (sc. τὸ στόμα). Herod. II. 96. καὶ τοῦτο (τὸ πηδάλιον) διὰ τῆς τρόπιος διαβυνέεται. IV. 71. διὰ τῆς τε ἀριστερῆς χερὸς ὀϊστοὺς διαβυνέονται. Allusio etiam videtur subesse ad morem pecuniam in ore condendi.

Schol. ἐβύουν: Ἀντὶ τοῦ ἐπλήρουν, ἔφραττον.

647. ταῦτα δ' ἦν ὁ δρῶν —] Cf. Soph. Aj. 1289. οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε; Oed. R. 139. καὶ ταῦτα τοῖς μὴ δρῶσιν etc. Ant. 324. ταῦτα — τοὺς δρῶντας. et ad Av. 95. De re cf. Thuc. V. 16. ἐπειδὴ δὲ — ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν καὶ ἀπιστότερος διαβάλλων —. Plut. Nic. 9. οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς Ἑλλάδος Κλέων καὶ Βρασίδας ἦσαν, ὧν ὁ πόλεμος τοῦ μὲν ἀπέκρυπτε τὴν κακίαν, τοῦ δὲ τὴν ἀρετὴν ἐκόσμει.

648. *Schol.* ὁ βυρσοπώλης: (Ἐπεὶ μάλιστα ὁ Κλέων ἐνίστατο τῇ εἰρήνῃ. σεσημείωται δὲ ὅτι νεκροὺς κωμῳδεῖ. διὸ, ἐπειδὴ ἐμνήσθη αὐτοῦ ὁ Ἑρμῆς, παῦε παῦε φησὶν ὁ Τρυγαῖος.) ἀποθανὼν γὰρ ἦν, καὶ οὐκ ἦν ἐξὸν τεθνηκότας κωμῳδεῖν.

649. Cf. Eur. Melan. Fr. 8. τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι —;

650. οὐ γὰρ ἡμέτερος —] Scilicet sex fere mensibus ante hanc fabulam doctam ceciderat Cleo. (Thuc. V. 10. 12. τοῦ θέρους τελευτῶντος.) Cf. Diod. Sic. XII. 73.

ἀλλὰ σός] Erat enim Mercurius etiam *νεκροπομπός*. Et Cleo jam erat mortuus. BE. Cf. Soph. Ant. 1070. *ἔχεις δὲ τῶν κάτωθεν αὖ θεῶν — νέκυν· | ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω | θεοῖσιν*. Eur. Hel. 1161. *νῦν δ' οἱ μὲν Ἅιδᾳ μέλονται κάτω*. Mercurio quam maxime curae erant mortui.

Schol. *σός*: *Ὅτι χθόνιος ὁ Ἑρμῆς καὶ καταιβάτης παρὰ Ῥοδίοις καὶ Ἀθηναίοις*.

651. *Schol.* (*ἅττ' ἂν οὖν λέγῃς*: *Διπλῆ καὶ εἴσθεσις εἰς μέλος τροχαϊκόν, οὗ πέντε μέν ἐστι κῶλα δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛ' ἐφθημιμερές. ἐν ἐκθέσει δὲ ἰαμβεῖον. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ.*)

652. *πανοῦργος*] V. Eq. 247 — 250. 45. 450. 684. 56. 317. 950. Vesp. 1227.

Schol. (*εἰ πανοῦργος ἦν*: *Δεληθότως κωμῳδεῖ αὐτὸν ὡς τοιοῦτον πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν.*)

654. *κύκηθρον καὶ τάρακτρον*] Cf. Eq. 692. *ταράττων καὶ κυκῶν*. 251. *τάραττε καὶ κύκα*. Ach. 688. *ταράττων καὶ κυκῶν*. Supra 320. *ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω*. De re cf. supra 270. *ἀπόλωλ' Ἀθηναίοισιν ἀλετρίβανος, | ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα*. Phrynichus in Bekkeri Anecd. p. 48, 28. *κύκηθρον*: *ἐπὶ τοῦ τὰ πάντα κυκῶντος καὶ ταράττοντος*. Cleon *βορβοροτάραξις* dicitur Eq. 309.

657. Ad personam Pacis, quae muta introducitur. BE.

Schol. *ἀλλ' ὅτι σιωπᾷς*: *Πρὸς τὴν Εἰρήνην φησί· κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον.*)

658. *Schol.* (*ἀλλ' οὐκ ἂν εἴποι*: *Διπλῆ καὶ εἴσθεσις παρὰ τὸ τετράμετρον εἰς ἰαμβικὰ τρίμετρα οβ'. μετὰ δὲ τὰ λε' ἔστι προαναφώνημα τὸ ὦ ὦ.*)

659. Eadem constructio est in Vesp. 244. *ὡς χολωμένους (αὐτὸν) ὧν ἠδίκησεν*. Pac. 1187. *ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν*. Hom. Od. ά. 68. *ἀλλὰ Ποσειδάων — Κύκλωπος κεχόλωται*. Soph. Phil. 1309. *οὐκ ἔσθ' ὅτου | ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ*. Aj. 180. *μομφὰν ἔχων ξυνοῦ δορός*. 41. *χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων*. Oed. R. 698. *δίδαξον — ὅτου ποτὲ | μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις*. Tr. 269. *ὧν ἔχων χόλον*. Ant. 1177. *πατρὶ μηνίσας φόνου*. Thuc. VIII. 109. *ὅπως μέμψηταί τε τῶν — γεγενημένων*. Eur. Hec. 1100. *ἣ μέγαν χόλον | σοὶ καὶ τέκνοισιν εἶχεν*. Eur. Or. 751. *ἴσως σοι θυγατέρος θυμούμενος*. Dem. p. 1105. *ὅσοις μὲν πρόσεστιν ὀργὴ τῶν πραττομένων*. Lys. XII. 21. *μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες*. XII. 81. *ὧν ἐποίησαν ὀργίζεσθε*. XXVII. 12. *ὥστε οὐκέτι ὧν οὗτοι κλέπτουσιν ὀργίζεσθε*. Aesch. Prom. 445. *μέμψιν οὔτιν' ἀνθρώποις ἔχων*. Eur. Phoen. 780. *ὥστ' ἐμοὶ μομφὰς ἔχειν*. Or. 1629. *ὀργὴν Μενέλεῳ ποιούμενος*. Iph. A. 181. *Ἥρᾳ — ἔριν μορφᾶς ἁ Κύπρις ἔσχεν*. Dem. p. 1001. *εἴ τι τῇ μητρὶ πρὸς ὀργὴν ἦλθε τῇ τούτων*. Joseph. B. J. I. 2. 14. *κατ' ὀργὴν ὧν ὑπὸ Σίμωνος ἔπαθε*. Pind. Isth. III. 54. *μομφὰν ἔχει παίδεσσιν Ἑλλάνων*. V. Matth. Gr. § 371.

Schol. (*ὀργὴν γὰρ αὐτοῖς*: *Ἀττικῶς ἀντὶ τοῦ ὀργίζεται. λείπει δὲ ἡ ὑπέρ, ὑπὲρ ὧν ἔπαθεν.*)

660. *ἡ δ' ἀλλὰ* —] Cf. ad Ach. 191. *σὺ δ' ἀλλὰ ταςδὶ τὰς δεκέτεις γεῦσαι λαβών.* 1033.

πρὸς σὲ — μόνον] Cf. Ach. 110. Eur. Ion. 1520. *τὰ δ' ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι. | δεῦρ' ἔλθ'· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω.* Quem locum fortasse hic deridet.

μικρόν] Submissa voce. Anglice, in a low voice. Contra *μέγα* valet alta voce. Sic Vesp. 963. *λέξον μέγα,* dic alta voce.

661. *ὅ τι νοεῖς αὐτοῖσι*] Anglice, what your feelings are towards them. Cf. Ach. 446. *εὐδαιμονοίης· Τηλέφῳ δ' ἁγὼ φρονῶ.* Soph. El. 334. *ὥστ' ἂν — δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.*

662. *μισοπορπ.*] Cf. Eq. 1372. *τοῦτ' ἔδακε τὸν πόρπακα τοῦ Κλεωνύμου.* "A *πόρπαξ,* quod est manubrium clypei et pro clypeo ponitur, clypeus autem pro bello." BE.

Schol. *μισόπορπακιστάτη: Ἀντὶ τοῦ μισοπόλεμε, παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος, ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.*

663. *εἶεν· ἀκούω*] Cf. 1284. *εἶεν· ἐκόρεσθεν τοῦ πολέμου κἄτ' ᾔσθιον.* Aesch. Cho. 655. *εἶεν· ἀκούω. ποδαπὸς ὁ ξένος; πόθεν;*

Schol. (*εἶεν, ἀκούω: Ὡς τῆς Εἰρήνης καλεσάσης τὸν Ἑρμῆν καὶ λαλησάσης αὐτῷ. τὸ δὲ ἐπικαλεῖς ἀντὶ τοῦ ἐγκαλεῖς.*)

664—666. Cf. Ach. 404—407.

665. *μετὰ τἀν Πύλῳ*] Postquam cepissent Athenienses Sphacteriam insulam Pylo vicinam (Pylum autem antea occupaverant) et captivos ex ea duxissent trecentos Laconas, quorum plerique erant ex nobilioribus Lacedaemonii aliquoties legatos miserunt Athenas de pace, qui re infecta sunt dimissi. Thucydides IV. 41. *ἐπρεσβεύοντο* [leg. *ἐπρέσβευόν τε*] *πρὸς αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων* (*φοιτῶντας*?) *αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.* BE. Cf. Thuc. V. 14. *μετεμέλοντό τε ὅτι μετὰ τὰ ἐν Πύλῳ καλῶς παρασχὸν οὐ ξυνέβησαν.*

Schol. *ἐλθοῦσά φησι: Φιλόχορός φησιν οὕτως "Λακεδαιμόνιοι περὶ διαλύσεων ἔπεμψαν πρέσβεις πρὸς Ἀθηναίους σπονδὰς ποιησάμενοι πρὸς τοὺς ἐν Πύλῳ καὶ τὰς ναῦς αὐτῶν παραδόντες οὔσας ξ΄. Κλέωνος δὲ ἀντειπόντος ταῖς διαλύσεσι στασιάσαι λέγεται τὴν ἐκκλησίαν. ἐρωτῆσαι δὲ συνέβη τὸν ἐπιστάτην. ἐνίκησαν δὲ οἱ πολεμεῖν βουλόμενοι."* • (*Ἄλλως.*) *μετὰ τὰ ἐν Πύλῳ. ἐπὶ Κλέωνος γὰρ πρεσβευσαμένων Λακεδαιμονίων ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ, ὡς Φιλόχορός φησι.* (*μετὰ τὰ ἐν Πύλῳ καὶ τοὺς αἰχμαλώτους οὓς ἔλαβεν ὁ Κλέων ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπαγγελλόμενοι δώσειν τὰς τριήρεις ἃς εἰλήφεσαν τῶν Ἀθηναίων ἐν τῷ πολέμῳ, ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε Κλέων, καὶ τοῦ ἐπιστάτου τρίτον ἐρωτήσαντος τὴν βουλὴν τί βούλεται, εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ βουλὴ τὸν πόλεμον συνεστάναι.*)

666. Cf. Ach. 186 sq. 1053. *κύαθον εἰρήνης ἕνα.*

Schol. (*κίστην πλέαν*: *Πλήρη κυτίδα. κυτίδας δὲ ἐκάλουν τὰς κίστας. πλέαν δὲ προσέθηκεν ὅτι ἐξῆν τοῖς Ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι οὕτω λαμπρῶς τῷ πολέμῳ κεκρατηκόσι.*)

667. *ἀποχειροτονηθῆναι*] Rejectam se fuisse.

Schol. *ἀποχειροτονηθῆναι τρίς*: *Ὡς τρὶς ἀποχειροτονηθείσης. καὶ διὰ τούτων δὲ σεμνύνει τοὺς Ἀθηναίους ὡς ἐξουσίαν ἐσχηκότας ποιῆσαι εἰρήνην.*

668. *ἡμάρτομεν ταῦτ'*] Cf. Vesp. 514. *πάντα ταῦθ' ἁμαρτάνεις.*

669. *ὁ νοῦς — ἐν τοῖς σκύτεσιν*] Similiter Menand. IV. 244. *ποῦ ποθ' αἱ φρένες | ἡμῶν ἐκεῖνον ἦσαν ἐν τῷ σώματι | τὸν χρόνον, ὅτ' οὐ ταῦτ', ἀλλ' ἐκεῖν' ἡρούμεθα;* Plat. com. II. 674. *ὑμῖν — οὐδὲν — ἐν τῷ καπήλῳ* (*ἐν τοῦ καπήλου?*) *νοῦς ἐνεῖναι μοι δοκεῖ.* Alexis III. 511. *οὐδ' ἂν λέγῃ τις οὐδαμῶς μάθοιμεν ἄν· | ὁ νοῦς γάρ ἐστι τῆς τραπέζης πλησίον.* Plut. Mor. p. 965 A. *ἐκέλευσεν αὐτοὺς σκοπεῖν, αὐτὸν* (*αὐτὸς?*) *γὰρ ἐν Πελοποννήσῳ τὸν νοῦν ἔχειν.* Aesop. Fab. 72. *τὸν νοῦν ὅλον ἔχων ἐν τῷ οὐρανῷ* (*ἀστρολόγος*). Agathias Anth. III. p. 381. *καὶ σὺ μὲν ἐν πέρδιξιν ἔχεις νόον —.* Athen. p. 164. *ὑμεῖς οἱ φιλόσοφοι περὶ τὰ δεῖπνα ἀεὶ τὸν νοῦν ἔχετε.* Anthippus ibid. p. 404. *ὁ γὰρ τοιοῦτός ἐστιν οὐ δειπνητικός, | πρὸς τῷ φιλεῖν δὲ τὴν διάνοιάν ἐστ' ἔχων.* Quint. Cal. XIV. 387. *ἀλλ' ἐπὶ μαζῷ | θυμὸν ἔχων.* Dio Chrys. Or. VIII. p. 133. *τοὺς νοῦν ἔχοντας ἐν ἁλὶ καὶ θαλάσσῃ.* Eur. Phoen. 360. *ὅς δ' ἄλλως φρονεῖ | λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.* Eur. Pha. Fr. 2, 56. *θυηπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας.* Aesop. Fab. 72. *τὸν νοῦν ὅλον ἔχων ἐν τῷ οὐρανῷ* (*ἀστρολόγος*). Cic. Attic. XII. 12. Igitur animus in hortis: quos tamen inspiciam cum venero. Plaut. Pers. IV. 6. 27. Nam animus in navi est meus. Men. IV. 2. 15. Mens est in querelis. Ter. Eun. IV. 7. 46. Iamdudum animus est in patinis. Hor. Od. II. 5. 6. circa virentes est animus tuae campos juvencae.

ἐν τοῖς σκύτεσι] Id est, Cleo coriarius tunc gubernabat rempublicam, cui oportebat advertere animum et auscultare; is autem rejiciebat pacem et legatos pacem petentes abigebat. In Equitibus v. 794. ad Cleonem dicitur: *Ἀρχεπτολέμου δὲ φέροντος | τὴν εἰρήνην ἐξεσκέδασας τὰς πρεσβείας τ' ἀπελαύνεις | ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.* BE. V. Schol. Allusio etiam videtur esse ad proverbium *σκύτη βλέπειν*, de iis dictum qui timent aliquid. Cf. Vesp. 643. *ἦ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.* Sensus ergo et hic esse potest: mens enim nostra tunc erat in timore, sc. Cleonis, ut facile intelligitur ex usu verbi *σκύτεσιν*, quia coriarius erat Cleo. Eadem ambiguitate Athen. 568 E. *τοῦ κρηπιδοποιοῦ πατρὸς οὐ πολλά σε σωφρονίσαντος καὶ διδάξαντος σκύτη βλέπειν.*

Schol. *ἐν τοῖς σκύτεσι*: (*Διὰ τὴν δειλίαν. παροιμία "ἐπὶ σκύτη βλέπει"* [l. *παροιμία ἐστὶ "σκύτη βλέπειν."*] *ἢ σκύτη ἀντὶ τοῦ πρὸς τὰ πολεμικά. ἢ πρὸς τὸν Κλέωνα, ὅτι σκυτεὺς ἦν.*) *ἀντὶ τοῦ ἐν τῷ φόβῳ τοῦ Κλέωνος* (*ὁ νοῦς ἦν ἡμῶν*).

671. Cf. Thuc. VI. 24. *κακόνους — τῇ πόλει.*

672. *ἔσπευδεν εἶναι μὴ μάχας*] Cf. Eq. 896. *αὐτὸν ἔσπευσ' ἄξιον γενέσθαι.* Eadem particulae negativae collocatio, metri gratia, occurrit in Ran. 1417. *ἵν' ἔλθῃς μὴ μάτην.*

673. *Schol.* *εὐνούστατος μὲν ἦν*: *Ὅτι ῥίψασπις καὶ δειλὸς ἦν.*

675. *πλήν γ' ὅτι* —] Cf. Thesm. 240. *ἐμοὶ μελήσει νὴ Δία, πλήν γ' ὅτι κάομαι.* Eq. 27. Ran. 1466.

Κλεώνυμος — ψυχὴν ἄριστος] Est ironia; nam erat timidus, recteque *δειλὸν* eum dicit et *Καρδίας ἀπωτέρω* in Avibus v. 1474. BE.

Schol. *ψυχήν γ' ἄριστος*: *Τοῦτο μετὰ εἰρωνείας, ὡς δηλοῖ καὶ τὸ ἑξῆς, καὶ ὅτι κατέλιπε τὸν λόγον μηδὲν αὐτῷ ἐπαγαγών.*

676. *οὐκ ἦν ἄρ' — τοῦ πατρός*] Videtur indicare velle eum esse degenerem filium. Hinc etiam infra de eo dicitur v. 1301. *κατῄσχυνας δὲ τοκῆας.* BE.

Schol. *οὐκ ἦν ἄρ' οὗπέρ φησιν*: *Οὔτε γνήσιος ἦν τῷ πατρί, ἀλλὰ καὶ ῥίψασπις ἦν. τὰ δύο οὖν αὐτῷ προστρίβεται.*

678. *ἀποβολιμαῖος τῶν ὅπλων*] I. q. *ἀσπιδαποβλής* (Vesp. 592. *χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλής*), sive *ῥίψασπις*, cum allusione ad v. *ὑποβολιμαῖος* supposititius. Plat. Rep. VII. 537 E. *ὑποβολιμαῖος — οὐ τούτων ἐστὶ τῶν φασκόντων γονέων.* Notus autem clypei abjector, ut ignavus, Cleonymus. Cf. etiam Av. 290.

Schol. *ἀποβολιμαῖος*: *Ἅμα καὶ παρὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα, καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι.*

680. *τοῦ λίθου*] I. e. *τοῦ βήματος.* Cf. Eccl. 87. *ὑπὸ τῷ λίθῳ τῶν πρυτάνεων καταντικρύ.* Ach. 683. *τῷ λίθῳ προσέσταμεν.* Eq. 956. *λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.* Dem. p. 968. *πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες.* Hesych: *λίθον. τὸ ἐν τῇ θείᾳ (Ἀθηναίων?) ἐκκλησίᾳ βῆμα.* Hinc, opinor, rhetores *λιθομόται* dicti. Hesych: *λιθομόται, δημηγόροι ἐπὶ τοῦ λίθου ὀμνύντες.* Scribendum tamen *λιθωμόται*, ut *σιτωμότης.* Cf. Alciphr. III. 61. *Δωσιάδης δ', ὦ θεοί, τὴν πύκνα καταλαμβάνει δημηγορῶν* etc.

τοῦ 'ν τῇ πυκνί] Cf. Pl. 1126. *τοῦ 'ν τετράδι πεπεμμένου.*

Schol. [*ὅστις κρατύνει. τοῦ λίθου δὲ*] *ἀντὶ τοῦ βήματος. ὅστις νῦν διέπει τὰ τῆς πολιτείας καὶ διαπρέπει. πύκνα δέ φησι τὸ ἐν τῇ Ἀττικῇ δικαστήριον.* R. V.

681. *Schol.* *Ὑπέρβολος νῦν*: *Ὅτι μετὰ τὸν Κλέωνα Ὑπέρβολος ἐπολιτεύσατο. (Χρέμητος δὲ υἱὸς ἦν Ὑπέρβολος, ἀδελφὸς δὲ Χάρωνος, λυχνοπώλης, φαῦλος τοὺς τρόπους. οὗτος μετὰ τὴν τοῦ Κλέωνος δυναστείαν διεδέξατο τὴν δημαγωγίαν. ἀπ' αὐτοῦ δὲ πρώτου ἤρξαντο Ἀθηναῖοι φαύλοις παραδιδόναι τὴν πόλιν καὶ τὴν δημαγωγίαν, πρότερον δημαγωγούντων πάνυ λαμπρῶν πολιτῶν. προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος, ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς Λακεδαιμονίους τοῖς ἐνδόξοις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη δὲ οὗτος, οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος, ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. ἐν Σάμῳ δὲ διατρίβων ὑπὸ τῶν Ἀθηναίων ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε, καὶ τὸν νεκρὸν αὐτοῦ εἰς σάκκον βαλόντες ἔρριψαν εἰς τὸ πέλαγος.)*



682. *αὔτη, τί ποιεῖς;*] Cf. Av. 1164. *οὗτος, τί ποιεῖς;* Th. 610. *αὔτη σὺ, ποῖ στρέφει;* Vesp. 1. *οὗτος, τί πάσχεις;*

Schol. *περιάγεις*: *Ἀποστρέφεται ἀκούσασα τοῦ Ὑπερβόλου τὸ ὄνομα ἡ Εἰρήνη, ἀχθεσθεῖσα ἐπ' αὐτῷ, ὅτι καὶ αὐτὸς κακὸς ἦν.* R. V.

683. *ἀποστρέφεται τὸν δῆμον*] Phocylid. Fr. 2. *τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.* Soph. Oed. C. 1272. *μή μ' ἀποστραφῇς.* Eur. Hel. 78. *ὅστις ὢν μ' ἀπεστράφης.* Iph. T. 801. *μή μ' ἀποστρέφου.* Suppl. 159. *οὕτω τὸ θεῖον ῥᾳδίως ἀπεστράφης;* Iph. A. 335. *μήτ' ὀργῆς ὕπο | ἀποτρέπου* (*ἀποστρέφου?*) *τἀληθὲς* etc. Xen. Cyr. V. 5. 36. *καὶ οὐκ ἀποστρέψει με ὥσπερ ἄρτι;* Aelian. V. H. XII. 1. *καὶ προσιόντα* (*αὐτὸν*) *μὴ ἀποστραφῆναι.* Artemidor. On. I. 81. *ἀποστραφήσεται αὐτὸν ὁ πατήρ.* Plut. Caes. 48. *Θεόδοτον μὲν ἀπεστράφη* etc. Alciphr. III. 34. *οὕτως τὴν κοινὴν φύσιν ἀπέστραπται.* Lucian. Quom. h. s. c. 12. *ἀποστρέφονται ὡς κόλακας.* 40. *οὓς πάλαι — ἀπέστραπτο.* Id. Cal. etc. 14. *ἀπέστραπται τὸν φίλον.* Id. Pseudol. 17. *τοὺς χωλοὺς — ἐκτρεπόμεθα.* Xen. Cyneg. III. 3. *ἀφίστανται τὸν ἥλιον.* Similiter *ἐκστῆναι κίνδυνον* (v. Lob. ad Aj. 82).

684. *πονηρὸν προστάτην*] Cf. Pl. 920. *νὴ Δία πονηρὸν τἄρα προστάτην ἔχει.* Eccl. 176. *ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην | ἀεὶ πονηροῖς.* Ran. 725.

ἐπεγράψατο] Hoc verbum proprie usurpatur de inquilinis, quos habere oportebat *προστάτην*. BE. Cf. Ach. 1095. *καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν* (*ἐπιγέγραψαι?*) *Γοργόνα.* Lucian. Bis accus. 29. *ἐπιγράφονται ἅπαντες προστάτιν ἑαυτῶν.* Id. de Mort. Peregr. 11. *προστάτην ἐπέγραφον* (*ἐπεγράφοντο?* sc. *αὐτόν*). 68. *καὶ προστάτην ἐπεγράφοντο.* Soph. Oed. R. 411. *ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι* (*'πιγράψομαι?*).

Schol. *ἐπεγράψατο*: *Ἀντὶ τοῦ ἐχειροτόνησε, κατέστησεν.* (*ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων τοὺς* [*τῶν?*] *προστάτας προγραφόντων* [*ἐπιγραφόντων* aut *ἐπιγραφομένων?*] *ἑαυτοῖς.*)

686. *γυμνὸς ὢν*] Sc. *ἱματίου.* Cf. S. Marc. Ev. IV. 52.

Schol. (*γυμνὸς ὢν*: *Προεστῶτος δηλονότι.*)

687. *τέως*] I n t e r e a. *Ἐν τοσούτῳ* explicat Schol. Plat. Hipparch., hoc loco laudato.

688. *πῶς οὖν ξυνοίσει —;*] Cf. Nub. 594. *ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.* Eccl. 471. *ἀλλ', εἰ τῇ πόλει | τοῦτο ξυνοίσει,* etc.

Schol. *περιεζώσατο*: *Οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν. ὁ δὲ νοῦς, δι' ἀνάγκην τέως τοῦτον ἐζώσατο μὴ ἔχουσα πολυτελέστερον.*)

689. *Schol.* (*πῶς οὖν ξυνοίσει*: *Ἐν ἴσῳ εἴρηκε τοῦτο τῷ πῶς ταῦτα ἡ πόλις οἰκονομήσει καὶ θήσεται. τὸ δὲ ἑξῆς, πῶς συνοίσει τῇ πόλει ταῦτα; ἐρωτᾷ.*)

690. *λυχνοποιός*] Cf. Nub. 1065. *Ὑπέρβολος δ' οὐκ τῶν λύχνων —.*

691. *ἐψηλαφῶμεν ἐν τῷ σκότῳ*] Cf. Eccl. 315. *ζητῶν ἐν τῷ σκότῳ· — ὅτε δὴ δ' ἐκεῖνο ψηλαφῶν οὐκ ἐδυνάμην | εὑρεῖν* etc. Plat. Phaed. 99 B. *ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ ὥσπερ ἐν σκότῳ.*

Schol. (*ἐψηλαιφῶμεν*: *Ἀπὸ τοῦ συμβεβηκότος εἴληφε τὸ ἐψηλαφῶμεν·*

οἱ γὰρ ἐν σκότῳ ζητοῦντες, τοῦ ζητουμένου τὴν ἀκριβῆ ὄψιν οὐχ ὁρῶντες, ψηλαφῶντες ἀνευρίσκουσιν αὐτό.)

692. *πρὸς λύχνον*] Ad lucernam, ut *πρὸς ἥλιον* (Pac. 567. Vesp. 772), *πρὸς τὸ φῶς*, *πρὸς αὐγάς*, etc.

Schol. πρὸς λύχνον βουλεύσομεν: *Ὅτι λυχνοπώλης ὁ Ὑπέρβολος. τινὲς δέ φασιν αὐτὸν Σύρον. καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ* "*Ὑπέρβολον δ' ἀποσβέσας ἐν τοῖς λύχνοισι γράψον* (*θάψω* Dobr. qu. *θάψον*)."

693—694. Cf. Vesp. 1176. *ἄγε νυν ἐπιστήσει λόγους σεμνοὺς λέγειν —; ΦΙ. ἔγωγε. ΒΔ. τίνα* (*τίνας* al.) *δῆτ' ἂν λέγοις; ΦΙ. πολλοὺς πάνυ.*

694. *τὰ τί;*] Quia praecessit *οἷα*. Frequens est formula *τὸ τί;* ut infra 696, cui nunc se accommodans poeta dicit *τὰ τί;* ubi expectabas certe *τὰ τίνα;* sed usus praevalet, quem penes, ut ait Horatius, arbitrium est, et norma loquendi. Sed legendum suspicor aut *τὸ τί* (ut in 696. 826), aut *τίνα.*

695. *Schol. ὅ τι πράττει Σοφοκλῆς*: *Γελοῖα ταῦτα. ὡς γὰρ περὶ σπουδαίων τὴν ἔμφασιν ποιούμενος ἐξήνεγκεν ὅτι περὶ Σοφοκλέους ἐπύθετό μου.*

696. *εὐδαιμονεῖ*] *Εὐδαίμων ἀνὴρ καὶ δεξιὸς* dicitur Sophocles Phrynicho (Arg. Oed. Col.). Cf. etiam Ran. 82.

697. *Schol. ἐκ τοῦ Σοφοκλέους γίνεται*: (*Ὅτι ἐπὶ μισθῷ ἔγραψε τὰ μέλη. καὶ γὰρ*) *Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα καὶ γράψαι ᾆσμα μισθοῦ. τοῦτο δὲ καὶ Πίνδαρος ἐν τοῖς Ἰσθμιονίκαις* [II. 1] *φησὶν αἰνιττόμενος*· ("*οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων ἐς δίφρον Μοισᾶν ἔβαινον, κλυτᾷ φόρμιγγι συναντόμενοι ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους. ἁ μοῦσα γὰρ φιλοκερδὴς οὔ ποτ' ἦν οὐδ' ἐργάτις, οὐδ' ἐπέρναντο γλυκεῖαι ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.*") *τὸ μέντοι περὶ κιβωτῶν ἐπὶ Σιμωνίδου λεγόμενον, ὅτι παρακειμένας εἶχε δύο, τὴν μὲν κενήν, τὴν δὲ μεστήν, καὶ τὴν μὲν κενὴν χαρίτων ἔλεγεν εἶναι γνώριμον, πλὴν τοῦτο λέγω περιφερόμενον εὑρίσκεται. καθ' ἱστορίαν γὰρ οὐδεὶς εἴρηκεν.* (*Ἄλλως.*) *ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ. καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν ἐοικέναι τῷ Σιμωνίδῃ. λέγεται δὲ καὶ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο.* (*χαριέντως δὲ πάνυ τῷ αὐτῷ λόγῳ διέσυρε β. . . . . τοῦ ἰαμβοποιοῦ, καὶ μέμνηται ὅτι σμικρολόγος ἦν· ὅθεν Ξενοφάνης κίμβικα αὐτὸν προσαγορεύει. καὶ Σοφοκλέα καὶ Σιμωνίδην διέσυρεν ὡς μικρολόγους. ἀλλὰ μήποτε ἐδόκει Σοφοκλῆς περὶ τοὺς μισθοὺς καὶ τὰς νεμήσεις ὀψέ ποτε φιλοτιμότερος γεγονέναι.*)

698. *σαπρός*] I. e. *παλαιός*, ut explicat Schol. et Suid. Cf. Vesp. 1380. 1343. Pl. 1085. *τρὺξ παλαιὰ καὶ σαπρά*. Eccl. 884. *ὦ σαπρά*. 1098. etc. Eupolis II. 517. *ὡς μόλις ἀνήρρησ'· οὐδέν ἐσμεν οἱ σαπροί.*

Schol. γέρων ὤν: (*Ἀρχαῖος καὶ παλαιός. οἷον γηράσας φιλάργυρος ἐγίνετο.*) — *μετὰ τὰ ζ'* (*μετὰ ταῦτα ιζ'* Bergk.) *ἔτη βεβίωκεν. πῶς οὖν γέρων;* R.

699. *κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι*] Versum proverbialem poetae ignoti *θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις* memorant Plutarch. Mor.

p. 405 b. Theophilus ad Autol. II. 9. Scholiasta Eurip. Phoen. 398. De φιλαργυρίᾳ Simonidis copiosa est annotatio scholiastae. DIND. "Joco potius quam malo in poetam animo jactum videtur, etsi quo spectet incertum est: nam quae scholiastae attulerunt satis manifestum est ipsorum esse inventa." Dind. in Soph. Ed. III. (T. VIII. p. XVI.). Notatur Simonidis φιλαργυρία, quam occulte tetigisse Pindarum monet scholiasta in Isth. II. 9. ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις. Vide etiam Arist. Rhet. III. 2. Apostol. IX. 76 a. (Ubi ἔχητι.) Macar. IV. 69. Lucian. Herm. 28. ἐπὶ ῥιπὸς, ὡς ἡ παροιμία φησὶ, τὸν Αἰγαῖον ἢ τὸν Ἰόνιον διαπλεῦσαι θέλοντας. Soph. Fr. 499. λεπτῆς ἐπὶ ῥοπῆσιν ἐμπολὰς μακρὰς | ἀεὶ παραρρίπτοντες. (Legendum, ni fallor, λεπταῖς ἐπὶ ῥίπεσσιν —.) Soph. Ant. 190. ταύτης ἔπι | πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα. Eur. Fr. Oen. 7. κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ. Iph. A. 866. δεξιᾶς ἕκατι μὴ μέλλ'. Lys. 306. Hom. Od. ἑ. 256. ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι. Ceterum Sophocles, ut monet scholiasta, a nonnullis lucri aliquid fecisse ex Samia expeditione, cui praefectus erat, existimabatur.

Schol. κἂν ἐπὶ ῥιπὸς πλέοι: Ἀντὶ τοῦ φρυγάνου, (ψιάθου· λέγοιτο δ' ἂν ἐπὶ φιλοκερδεῖ. λέγεται δὲ καὶ ἄλλως "θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις." ῥίψ δέ ἐστιν ἱμαντῶδες φυτὸν, παρὰ τὸ ῥέπω ῥέψ καὶ ῥίψ, καὶ ῥίπεσι τοῖς τῆς ἰτέας κλάδοις.)

700. ἀπέθανεν] Brevi ante hanc fabulam actam tempore. Ultimam ejus fabulam *Πυτίνην* fuisse constat, actam Olympiadis 89. anno primo. DIND. Annos 97 vixit Cratinus, teste Luciano Macrob. 25. Obiit, ut videtur, anno A. C. 422. Natus igitur est A. C. 519.

701. ὅθ' οἱ Λάκωνες ἐνέβαλον] Nihil de hac incursione ab historicis proditum vidi: quod non mirandum, quum Lacedaemonii fines Atticae non raro illis temporibus infestaverint. Aristides vol. 1. p. 387, 10. σκέψασθε δὴ καὶ τόδε, ὅτι Λακεδαιμόνιοι καθ' ἕκαστον ἔτος ἐμβάλλοντες εἰς τὴν Ἀττικὴν οὐκ ᾐσχύνοντο ἀναχωροῦντες τοσαῦτα ὅσα ἠδύναντο βλάψαντες. Absurde Scriptor περὶ κωμῳδίας (p. XI. ed. Kust.) de prima Lacedaemoniorum invasione cogitavit, quae archonte Pythodoro facta est, id est Olympiadis 87. anno primo, vivo atque vigente Cratino. DIND. Primam Lacedaemoniorum ingressionem, praetore Pythodoro factam, merito intelligit Bergkius Comm. p. 187. Salse igitur fingit Cratinum, cum primum vites et cellae vinariae ab hostibus ingruentibus vastarentur, prae dolore emortuum esse, i. e. nihil amplius pristino ingenio et antiqua laude dignum scripsisse, ita ut mortuus civibus ejus et arti comicae videretur. Longe sic acerbior ejus irrisio vivi adhuc facta, quam si narraret tantum ludicram mortis ejus causam ac rationem. Nominat autem praecipue Cratinum et Sophoclem eo quod ille in comoedia, hic in tragoedia id temporis facile princeps esset. Haec fere monuit Bergk. l. l. Proleg. Aristoph. p. XXIX. Beck: τελευτᾷ (Κρατῖνος) Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν εἰσβαλόντων. Recte hunc locum explicat Fritzschius judice Meinekio Fr. Com. V. 2.

ἐνέβαλον] Cf. Ach. 1077. *ἐμβαλεῖν Βοιωτίους*. Antiph. com. III. 118. *ἐμβαλὼν εἰς τοὔψον*. Diphil. IV. 395. *ἐνέβαλεν εἰς τὸν κέραμον*. Aristid. l. l. *ἐμβάλλοντες εἰς τὴν Ἀττικήν*.

τί παθών; —] Cf. Vesp. 995. *πάτερ πάτερ, τί πέπονθας; οἴμοι, ποῦ 'σθ' ὕδωρ;*

Schol. (*ἐνέβαλον*: *Ἀντὶ τοῦ ἐπῆλθον τῇ πόλει.*)

702. *ὠρακιάσας*] Animi deliquium passus. Ran. 481. *ὠρακιῶ*.

οὐ γὰρ ἐξηνέσχετο ἰδὼν —] Eur. Hipp. 952. *οὐ γὰρ ἐξανέξομαι | λεύσσων* etc. Nub. 1373. *κἀγὼ οὐκέτ' ἐξηνεσχόμην*. Antiph. com. III. 104. *ὁρῶντες ἐξέθνησκον ἐπὶ τῷ πράγματι*. Notatur Cratini vinositas, de qua cf. ad Eq. 400. et epigramma apud Athen. II. 39. Schol: *ὅτι δὲ φίλοινος ὁ Κρατῖνος καὶ αὐτὸς ἐν τῇ Πυτίνῃ λέγει σαφῶς*. Hor. I. Ep. XIX. 1. Prisco si credis, Maecenas docte, Cratino, | Nulla placere diu nec vivere carmina possunt | Quae scribuntur aquae potoribus.

Schol. (*ὠρακιάσας*: *Οἷον ὠχριάσας, ἢ ἐκλυθείς, ἢ λιποψυχήσας, ἢ ἀθυμήσας. ὡς φιλοπότην δὲ διαβάλλει πάλιν τὸν Κρατῖνον, μετὰ ἐκλύσεως ἐσκοτωμένον, ᾧ ἴσως ἀκολουθεῖ καὶ τὸ ὠχριᾶν. τοιοῦτοι δὲ οἱ λιποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν ἡ χροιά. Ἄλλως. Λυκόφρων τὸ ὠρακιᾶν ἀντὶ τοῦ ὠχριᾶν. Ἐρατοσθένης δὲ τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι, ᾧ ἴσως ἀκολουθεῖ τὸ ὠχριᾶν. ὅτι δὲ φίλοινος ὁ Κρατῖνος καὶ αὐτὸς ἐν τῇ Πυτίνῃ σαφῶς λέγει.*)

703. *πίθον καταγνύμενον*] Cf. 613. Scilicet cados fregerant vinumque effuderant Lacones in incursione memorata.

704. *πόσ' ἄττα*] Ut alibi *ποῖ' ἄττα, τοιαῦτ' ἄττα, πηνίκ' ἄττα*.

Schol. *χἄτερα πόσ' ἄττ' οἴει*: *Ὥσπερ ἐκπλαγείσης τῆς εἰρήνης ἐπήγαγε τὸ καὶ ἕτερα τοιαῦτα γεγονέναι ἐν τῇ πόλει.*

705. *ἀφησόμεσθά σου*] Cf. Av. 627. *οὐκ ἔστιν ὅπως ἂν — τῆς σῆς γνώμης ἔτ' ἀφείμην*.

706. *ἐπὶ τούτοις*] Eq. 1384. Pl. 1168. Eur. Alc. 387. *ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου*. Hel. 838. *ἐπὶ τοῖσδε*.

τὴν Ὀπώραν] Similiter meretrices ut *Σπονδαὶ* inducuntur Eq. 1390.

Schol. *ἴθι νυν*: *Μίαν τῶν συνανελθουσῶν τῇ Εἰρήνῃ πρὸς γάμον αὐτῷ δίδωσι. προειρήκαμεν δὲ ὅτι συνανειλκύσθησαν αὐτῇ ἥ τε Ὀπώρα καὶ ἡ Θεωρία. ἦσαν δὲ ἑταῖραι.*

708. *ἐκποιοῦ —*] Cf. Ach. 254. *ὡς μακάριος | ὅστις σ' ὀπύσει κἀκποιήσεται γαλᾶς* etc. et Ach. 991 sq.

Schol. (*ἐκποοῦ σαυτῷ*: *Οὐκ εἶπε τοὺς παῖδας, ἀλλὰ τοὺς βότρυς διὰ τὴν Ὀπώραν.*)

709. *δός μοι κύσαι*] Anglice, let me kiss you. Cf. 49. *τῷ κανθάρῳ δώσω πιεῖν*. Lys. 923. *δός μοί νυν κύσαι*. Ach. 882. *δός μοι προσειπεῖν*. Ran. 755. Pherecr. ap. Athen. XI. 481 A. *δώσω πιεῖν*. Lucian. Herm. 58. *δότε μοι, ὦ οὗτοι, ἐκπιεῖν*.

710. Junge *διὰ χρόνου* cum *κατελάσας*, et construe *ἂν βλαβῆναι δοκῶ*. Redde: Numquid detrimenti tibi videor capturus, si longo

post tempore Oporam subagitavero. Connecte *βλαβῆναί τι*. Sic *ἀπολαύειν τι* Av. 177.

διὰ χρόνου — κατελάσας] Cf. Pl. 1055. *βούλει διὰ χρόνου πρός με παῖσαι;* Lys. 904. *σὺ δ' ἀλλὰ κατακλίνηθι μετ' ἐμοῦ διὰ χρόνου.* Vesp. 1252. *ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου.* Teleclid. ap. Athen. p. 56. *ξυγγενέσθαι διὰ χρόνου μ' ἐλιπάρει | δρυπέπεσι μάζαις (δρυπέπεσιν ἀπαλαῖς* aut *αὖθις?) καὶ διασκανδικίσαι.* Soph. Phil. 758. *ἥκει γὰρ αὕτη διὰ χρόνου.* Xen. Men. II. 8, 1. *ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδών.* Lysias de caede Eratosth. *ἀσμένη με ἑωρακυῖα ἥκοντα δὴ διὰ χρόνου.* Alibi *διὰ πολλοῦ* aut *μακροῦ χρόνου.*

Schol. διὰ χρόνου τί σοι δοκῶ: Ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται, καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει Ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιξεν.

711. *τῆς Ὀπώρας κατελάσας*] Eccl. 1082. *ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ;* Aelian. Epist. 7. *τῆς Ὀπώρας οὖν κατελάσας τί ἀδικῶ;* Cum accusativo construitur *κατελαύνειν* Theocr. V. 116. *ἦ οὐ μέμνασ' ὅκ' ἐγών τυ κατήλασα —;* Ubi tamen corrigendum forsan *τυ ἐπύγισα.*

Schol. κατελάσας: Συνουσιάσας. Vict.

712. *κυκεῶνα — ἐπιπίοις*] Theophr. Char. 4. *ὁ δὲ ἄγροικος τοιοῦτός τις οἷος κυκεῶνα πιὼν εἰς ἐκκλησίαν πορεύεσθαι.* Plat. Rep. III. 408 B. *κἂν εἰ τύχοιεν — κυκεῶνα πιόντες.* Infra 1169. *καὶ τοῦ θύμου | τρίβων κυκῶμαι.* Hom. Il. λ'. 624. *τοῖσι δὲ τεῦχε κυκεῖω ἐϋπλόκαμος Ἑκαμήδη.*

βληχωνίαν] Pulegium dicitur valere contra mala quae ex nimio esu pomorum oriuntur. Forte et aliquid obsceni subest; nam *βληχὼ* etiam dicitur *τὸ γυναικεῖον αἰδοῖον*, ut patet ex Lysistr. 89. Tale quid est, quale in *ῥοφήσεις* [*ῥοφήσει*] *ζωμὸν* v. 716. latere videtur. BE.

Schol. βληχωνίαν: Βλήχωνά φασιν Ἀττικοὶ διὰ τοῦ β, οὐχὶ διὰ τοῦ γ. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν κυκεῶνα βληχωνίαν πίνωσιν, οὐ βλάπτονται. βρέχοντες οὖν γλήχωνα ἐπιπίνουσι διὰ τὸ ὑπὸ τοῦ ὀποῦ τὴν καρδίαν κατεσθίεσθαι. ἵνα οὖν ἡ δριμύτης ἀποστυφῇ, γλήχωνα ἐλάμβανον. (Ἄλλως. οἱ ὀπώραν πολλὴν ἐσθίοντες κυκεῶνα πίνουσιν ὑπὲρ τοῦ πῆξαι τὴν τροφὴν καὶ μὴ ναυτιᾶν· καὶ γὰρ τὸ πολὺ τῆς ὀπώρας προσίσταται τῷ στομάχῳ. Ἄλλως. τοὺς ὑπὸ τῆς ὀπώρας βαρυνομένους ἰᾶσθαί φασιν, εἰ ἀποβρέξαντες γλήχωνα εἰς ὕδωρ πίοιεν· ἰᾶσθαι γὰρ οὕτω τοὺς τῆς καρδίας πόνους.)

713. *θεωρίαν*] Hanc non temere ad Senatum mittit, ut qui *θεωροὺς* legatos et navim sacram *θεωρίδα* et sacra alia publica curare solitus sit.

Schol. (τὴν θεωρίαν: Τοῖς μὲν γεωργοῖς φέρουσα τὴν Ὀπώραν ἔδωκε, τῇ δὲ βουλῇ τὴν Θεωρίαν ἀπένειμεν· ἐδόκει γὰρ ἡ βουλὴ τῆς θεωρίας.)

714. *ἥσπερ ποτ' ἦν*] Schol: *ἡ γὰρ βουλὴ τὰς θεωρίας ἐξέπεμπε.*

715. Cf. Eq. 186. *ὦ μακάριε τῆς τύχης.* Av. 1423. *ὦ μακάριε τῆς τέχνης.* Vesp. 1292. *ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος.* 1512.

Schol. τῆς θεωρίας: Ἡ γὰρ βουλὴ τὰς θεωρίας ἐξέπεμπε. — λείπει δὲ τὸ ἕνεκεν. R. (*τινὲς δὲ στίζουσιν εἰς τὸ βουλὴ καὶ συνάπτουσι τὸ σὺ*

τῆς Θεωρίας ὅσον ζωμὸν ῥοφήσεις ἡμερῶν τριῶν, ὡς ψηφιουμένης τῆς βουλῆς θῦσαι βοῦς ἐπὶ τούτοις.)

716. ῥοφήσει ζωμόν] Cf. Antiph. com. III. 22. ἀπόλαυε τοῦ ζωμοῦ, ῥόφει.

ζωμόν] Κακεμφάτως. Cf. 885.

ζωμὸν ἡμερῶν τριῶν] Quia in triduum supplicationes decerni solebant. BR. Cf. 312. σιτί' ἡμερῶν τριῶν. Eq. 1079. ἐγὼ ποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν. Ach. 197. Pac. 151. 312. Ach. 83. 782. Anglice, for (during) three days. V. schol.

Schol. (ἡμερῶν τριῶν: Ἐπὶ γ' γὰρ ἡμέρας ἐψηφίσατο ἡ βουλὴ βοῦς θύειν. ἀφ' ὧν καὶ ἕτερα ζῷα [l. ἐγένετο ζωμός. cf. schol. ad 883. ζωμοὶ γίνονται ἀπὸ τῶν βοῶν τῶν θυομένων].)

717. κατέδει] Futurum. Cf. 1117. Ach. 1102. Av. 588. 590.

χόλικας ἑφθὰς καὶ κρέα] Eq. 1178. ἑφθὸν ἐκ ζωμοῦ κρέας | καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον. Ran. 576. τὰς χόλικας κατέσπασας. Fr. 52. χολίκων ἐπιθυμῶν. Fr. 547. χόλικες. Pher. II. 300. χόλικες βοός. Eubul. III. 234. χόλικές τε βοός.

Schol. χόλικας: Τὰ τῶν βοῶν παχέα ἔντερα· ταῦτα γὰρ οὐχ ἱεροῦντα, ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ χόλικάς φασιν εἶδος ἰχθύος.

718. Hic coelum relinquit Trygaeus.

719. μέμνησό μου] Vide 396.

722. Euripidis ex Bellerophonte versus. V. schol. Cf. Aesch. Prom. 464. ὑφ' ἅρματ' ἤγαγον φιληνίους πώλους. Ἅρματα de uno curru. Cf. Eur. Phoen. 1555. Her. 802. Phaeth. Fr. 1. ἐκ τεθρίππων ἁρμάτων.

Schol. (ἀστραπηφορεῖ: Ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου. παρὰ τὸ ἀστραπαῖς ὑπηρετεῖν.)

724. τὴν — ἀμβροσίαν] Schol: ἀντὶ τοῦ τὴν κόπρον. Cf. 11.

Schol. τὴν τοῦ Γανυμήδους: Ἀντὶ τοῦ τὴν κόπρον. ὅτι οὗτος μόνος θνητὸς ἐν θεοῖς. τινὲς δὲ διὰ τὸ ἐν ἀρχῇ [11] ῥηθῆναι αὐτῷ "ἑτέραν ἑτέραν παιδὸς ἠταιρηκότος·" ἐδόκει γὰρ καὶ ὁ Γανυμήδης ἐρώμενος εἶναι Διός.

725. καταβήσομαι] Sc. in scenam, tanquam ex coelo in terram.

726. τηδί] Cf. 1232.

παρ' αὐτὴν τὴν θεόν] Sc. τὴν Εἰρήνην. Deae simulacrum dicit, quod funibus ex antro sublatum erat, cujusque a tergo aut latere descensum per scalas a summo postscenii muro in scenam fuisse videtur.

ὦ κόραι] Comites ejus intellige Theoriam et Oporam.

Schol. (παρὰ τὴν θεόν: Τινὲς οὐ παρὰ τὴν Εἰρήνην, λέγουσι γὰρ ἐν τῷ οὐρανῷ μεῖναι καὶ ἐκεῖθεν ἐνεργεῖν, ὥσπερ καὶ τὸν Πόλεμον· οὐδαμοῦ γὰρ αὐτῆς μέμνηται ἐν τοῖς ἑξῆς ὡς κατελθούσης. παρὰ τὴν θεὸν οὖν τὴν Ἀθηνᾶν· ἄγαλμα γὰρ ἦν ἐν τῷ θεάτρῳ τῆς Ἀθηνᾶς.)

δεῦρ', ὦ κόραι: Τῇ Εἰρήνῃ καὶ τῇ Θεωρίᾳ καὶ τῇ Ὀπώρᾳ λέγει.

727. ἕπεσθον ἅμ' ἐμοί] Hom. Od. ζ. 32. καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι. Eur. Tro. 1009. ἐς τὴν τύχην δ' ὁρῶσα τοῦτ' ἤσκεις ὅπως | ἕποι' ἅμ' αὐτῇ. Sic ἕπεσθαι μετά τινος Pl. 823.

Schol. (*ἔπεσθον ἅμ' ἐμοί*: *Κατέλυσε τοῦ οὐρανοῦ τὴν ὑπόκρισιν. κάτεισι γὰρ ἐπὶ τὴν ὀρχήστραν* (*τὸ προσκήνιον* vel *τὸ λογεῖον* Richt.) *κλίμαξιν. ἐχόμενος δὲ τῆς Εἰρήνης καταβαίνει ὁ πρεσβύτης ἐπὶ τὴν ὀρχήστραν. ἴσως δὲ καὶ ὁ χορὸς ἀνῆλθεν εἰς τὴν ἀναγωγὴν τῆς Εἰρήνης.*)

728. *ποθοῦντες ὑμᾶς* —] *Πόρναι* enim erant. Cf. 849.

ἐστυκότες] Facete dictum pro *ἑστηκότες* aut *ἑστῶτες*.

Schol. (*ἐστυκότες*: *Ἔδει εἰπεῖν ἑστῶτες. τὸ* (l. *τῷ*) *δὲ ἐστυκότες ἐχρήσατο διὰ τὴν Εἰρήνην, ὥσπερ διὰ τὸ γαμηθῆναι αὐτῶν τὴν μὲν τῷ Τρυγαίῳ, τὴν δὲ τῇ βουλῇ. πόρναι γάρ εἰσιν ἐσκευασμέναι.*)

729. *σκεύη* de instrumentis ad Pacem extrahendam adhibitis (*ἅμαις, μοχλοῖς, σχοινίοις, μηχαναῖς*) recte intelligunt Dind. Richt. etc. Cf. 299. 307. Alii instrumenta *γεωργικὰ* (552. 1318.) intelligunt. Haec amoveri jubet Chorus, ne saltantibus impedimento sint. Chorus videtur in proscenium ex orchestra ascendisse ad extrahendam ex antro Pacem (vide supra 301), et nunc ibidem manens parabasin sequentem recitat, quam imperfectam esse monet scholiasta.

Schol. (*ἀλλ' ἴθι χαίρων*: *Ὁ χορὸς μένων ποιεῖ παράβασιν οὐ τελείαν, ἀλλὰ κομμάτιον μέν ἐστι τοῦ χοροῦ. ὧν τετράμετρα καταληκτικὰ τέσσαρα μὲν ἐν ἐκθέσει παρὰ ταύτας. ὅτι εἰσὶν ἀναπαιστικοὶ τελευταῖοι τροχαϊκοὶ κάτισοι τοῖς ἄλλοις.* *Ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία. τοῦ γὰρ ἐπιρρήματος καὶ ἀντεπιρρήματος ἐστέρηται. ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ε'. τὸ δὲ μακρὸν στίχων ὁμοίων λγ'. ἡ δ' ἔκθεσις κώλων δέκα διμέτρων πλὴν τοῦ τελευταίου καταληκτικῶν. ἐπὶ πᾶσι παράγραφος.*)

(*τὰ σκεύη*: *Τὰς ἅμας, τὰ σχοινία. γυμνὸν γὰρ ποιοῦσι τὸν χορὸν οἱ κωμικοὶ ἀεί, ἵνα ὀρχῆται.*)

730. *Schol.* (*κυπτάζειν*: *Κρυφιμαίως διατρίβειν καὶ κρύπτεσθαι.*)

731. *περὶ τὰς σκηνὰς — κυπτάζειν*] Nub. 509. *τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;* Lys. 17. *περὶ τὸν ἄνδρ' ἐκύπτασεν.* Plat. Pol. 469 D. *ὅταν περὶ τὸν τεθνεῶτα κυπτάζωσι.* Sophron. ap. schol. Lys. 17. *ἐνθάδε πλεῖσται κυπτάζουσι γυναῖκες.*

τὰς σκηνὰς] Cf. ad Thesm. 658. *χρὴ — περιθρέξαι | τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους διαθρῆσαι.* (Ubi v. schol.) Dem. de Cor. 169. *τούς τ' ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον.*

733. Tetrameter trochaicus anapaestis intermixtus ut trimeter iambicus tetrametris iambicis Nub. 1415.

ὁδὸν λόγων] Cf. Eq. 1015. *λογίων ὁδόν.* Av. 1373. *ὁδὸν — μελέων.* Pind. Ol. I. 178. *ὁδὸν λόγων.* Ol. VII. 85. *πραγμάτων ὀρθὰν ὁδόν.* Herod. I. 95. *τριφασίας ἄλλας λόγων ὁδούς.* Soph. Oed. R. 311. *εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδόν.* Oed. C. 67. *ἴστε με πολλὰς ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις.* Eur. Hec. 744. *σῶν ὁδὸν βουλευμάτων.* Phoen. 911. *ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδόν.* Hipp. 390. *τῆς ἐμῆς γνώμης ὁδόν.* 290. Or. 632. *μερίμνης — ὁδούς.* Pind. Ol. VIII. 92. *ἐπέων οἶμον λιγύν.* Fr. 74. *σοφίας ὁδόν.* P. XI. 58. Herod. VII. 12. Thuc. III. 64. Xen. Cyr. I. 1. 16. Cf. ad Eq. 1015. Pl. 506.

Schol. *χρῆν μὲν τύπτειν*: (*Νῦν παραβάσει κέχρηται ὁ χορὸς μηδὲν περὶ τοῦ προκειμένου λέγων ἢ τὸν ποιητὴν ἐπαινῶν. παράβασιν ἐκάλουν ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγίνοντο στοῖχοι δ΄. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ἐν τῷ Παιδαρίῳ "εἰ μὲν μὴ λίαν, ὦ 'νδρες, ἠναγκαζόμην στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν," ἄμφω σημαίνων, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν. Κρατῖνος δὲ ἐν τῇ Πυλαίᾳ δηλοῖ ὅτι ἓξ ἐστι ζυγὰ τοῦ χοροῦ. ὁ δὲ νοῦς,*) *ἐχρῆν μέν, εἴ τις κωμῳδοποιητὴς ἑαυτὸν ἐπῄνει παραβάσει χρώμενος, τοὺς ῥαβδούχους ἐκείνους τύπτειν αὐτὸν ὡς ἀπρεπές τι μεταχειριζόμενον. εἰ δὲ πρέπον ἐστίν, ὦ Μοῦσα, ἑαυτὸν ἐπαινέσαι τινά, φησὶν ὁ διδάσκαλος ἡμῶν, τουτέστιν ὁ Ἀριστοφάνης, ἄξιος εἶναι πολλῆς τιμῆς, ὅστις, Ἀριστοφάνης, ἄριστος γέγονται. ἦσαν δὲ ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι τινές, οἳ τῆς εὐκοσμίας ἐμέλοντο τῶν θεατῶν. ἢ ῥαβδούχους εἶπε τοὺς κριτὰς τοῦ ἀγῶνος, οὓς ὁ ποιητὴς αἰσυμνήτας εἶπεν.*

734 sq. Cf. Eq. 507. *εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς | ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι*, etc. Attamen in quinque primis fabulis omnibus in parabasi se laudat noster.

τύπτειν τοὺς ῥαβδούχους] Thuc. V. 50. *Λίχας ὁ Ἀρκεσιλάου Λακεδαιμόνιος ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβδούχων πληγὰς ἔλαβεν ὅτι* etc. V. Valck. ad Herod. VIII. 59. DOBR. Lictores hic intelligendi sunt, qui ludis scenicis semper ad tumultus comprimendos intererant.

735. Verba *πρὸς τὸ θέατρον* cum *αὐτὸν ἐπῄνει* potius quam *παραβὰς* construenda sunt. Cf. Ach. 628. *ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν, | οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων ὡς δεξιός ἐστιν*. Eq. 507. *εἰ μέν τις — ἡμᾶς | ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι*. V. Elmsl. ad Ach. 629.

ἐν τοῖς ἀναπαίστοις] Cf. Eq. 503. *ὑμεῖς δ' ἡμῖν πρόσχετε τὸν νοῦν καὶ τοῖς ἀναπαίστοις*. et ad Ach. 627.

Schol. *παραβὰς ἐν τοῖς ἀναπαίστοις*: *Πᾶσαν παρέκβασιν ἀναπαίστους λέγει.*

736. *θύγατερ Διός*] Minervam dicit. Vide Simonidis locum apud schol. Schol. *παρὰ τὰ Σιμωνίδου ἐκ τῶν ἐλεγείων "εἰ δ' ἄρα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος, | δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος* (qu. *ἄριστον δῆμον — ἐξετέλεσσε*)." V.

737. *κωμῳδοδιδάσκαλος*] Sic *τραγῳδοδιδάσκαλος* Th. 88. Idem quod *κωμῳδοποιητὴς* 734.

738. Cf. Ach. 633.

ὁ διδάσκαλος] Cf. Ach. 628.

739. *τοὺς ἀντιπάλους*] Anglice, his rivals. Cf. Eq. 521.

740. *ἐς τὰ ῥάκια σκώπτοντας*] Schol: *ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν, ῥακοφοροῦντας. αἰνίττεται δὲ εἰς Εὔπολιν.* Cf. Ach. 414 sq. De locutione *σκώπτειν εἴς τι* cf. ad Eq. 90. Plutarch. Lyc. 19. *σκώπτοντος Ἀττικοῦ τινες τὰς Λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα.* De productione syllabae brevis ante *ῥ* vide ad Ach. 1146. Ran. 1066. *ἀλλὰ ῥακίοις περιειλλόμενος* (*περιιλάμενος*?) etc.

τοῖς φθειρσὶν πολεμοῦντας] Cum pediculis belligerantes. Pl. 537. *φθειρῶν δ' ἀριθμὸν — καὶ ψυλλῶν οὐδὲ λέγω σοι.*

Schol. ἐς τὰ ῥάκια: *Ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν,* (*ῥακοφοροῦντας*). *αἰνίττεται δὲ εἰς Εὔπολιν.*

καὶ τοῖς φθειρσὶν: *Ἀντὶ τοῦ εὐτελεῖς ἄνδρας καὶ ἀδόξους.*

741. *τούς θ' Ἡρακλέας τοὺς μάττοντας*] Atqui ipse etiam risum voluit captare cum Herculem introduxit non pinsentem quidem, sed, quod perinde est, carnes torrentem in Avibus v. 1689. BE.

τοὺς πεινῶντας] Cf. Vesp. 60. *οὐθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος* (*ἡμῖν ἔστι*). Ran. 549 sq. Cratinus ap. schol. *ὑπὸ δ' Ἡρακλέους πεινῶντος ἀεὶ καὶ τοιαδὶ* (vel *ταῦτ' ἀεὶ*) | *σκώπτοντος οὐ βιωτόν ἐσθ' ἡμῖν ἔτι.* Ita enim locum depravatum corrigere licet. Paullo aliter locum constituit Bergkius ap. Mein. Fr. Com. II. 224. Nisi malis — *πεινῶντος εἶτα τοιαδὶ* etc. Cf. Athen. X. 411 A. *ὅτι ἦν καὶ ὁ Ἡρακλῆς ἀδηφάγος. ἀποφαίνονται δὲ τοῦτο σχεδὸν πάντες ποιηταὶ καὶ συγγραφεῖς.*

Schol. τούς θ' Ἡρακλέας: (*Μάττειν τὸ πολλὰ ἐσθίειν. ἀπὸ τῆς ματτομένης ζύμης. αἰνίττεται δὲ ταῦτα εἰς Εὔπολιν, ὃς ἐποίησεν Ἡρακλέα πεινῶντα καὶ Διόνυσον δειλὸν καὶ Δία μοιχὸν καὶ δοῦλον κλαίοντα. τινὲς δέ φασιν εἰς Κρατῖνον αἰνίττεσθαι ὡς τοιαῦτα ποιοῦντα δράματα. ἐπεπόλασε δὲ ταῦτα τότε τὰ λήμματα. καὶ αὐτὸς δὲ ὁ Ἀριστοφάνης ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι καὶ ἐν Αἰολοσίκωνι. καὶ ἐν τοῖς Σφηξὶ* [60] *περὶ τούτων φησί, τοῦ τε Ἡρακλέους καὶ τοῦ δούλου. ἐπεπόλαζε γὰρ τότε ταῦτα, Ἡρακλῆς πεινῶν καὶ Διόνυσος δειλὸς καὶ μοιχὸς Ζεύς,*) *ὥστε καὶ αὐτοὺς* (*δοκεῖν*) *ἄχθεσθαι. Κρατῖνος "ὑπὸ δ' Ἡρακλέους πεινῶντος ἄγει καὶ σκώπτοντες ταῦτα οὐ βοιωτόν* [*βιωτὸν* V.] *ἐστι." περὶ δὲ τῶν δούλων καὶ ἐν Βατράχοις φησίν.*

742. *τυπτομένους*] Cf. Nub. 542.

743. *παρέλυσεν*] Ademit, sustulit. Isaeus 47, 25. *παρέλυσε τὰς ἀμφισβητήσεις.* Herod. III. 136. *τὰ πηδάλια παρέλυσε τῶν νεῶν.* Polyb. 8, 6, 9. *παραλύσαντες τὰ πλάγια τῶν γέρρων.* 16, 4, 5. *παραλύειν τοὺς ταρσούς.* Idem fere quod *ἀφεῖλεν* (748). Legendum tamen forsan *κατέπαυσεν*, ut in 739.

744. *οὓς ἐξῆγον κλάοντας*] Hos etiam initio Ranarum ridet, ubi tamen ipse etiam producit servum talem. BE.

ἐξῆγον] Sc. foras ex aedibus. Cf. Vesp. 177. 815. 853.

καὶ τούτους —] Cf. 1278. *οἰμωγὰς ᾄδον, καὶ ταύτας ὀμφαλοέσσας.* Pl. 546. Eccl. 594. Pro usitatiori *καὶ ταῦτα.*

745. *σκώψας — εἶτ' ἀνέροιτο*] Isae. II. 43. *οὗτος δὲ — χωρίον ἔχων εἶτα* etc.

Schol. ἵν' ὁ σύνδουλος σκώψας: Ἀντὶ τοῦ, καὶ τούτους τοὺς δούλους ἐξέφερον κλάοντας τούτου ἕνεκα, ἵνα ὁ σύνδουλος χλευάζων ἀνέρηται αὐτόν.

746. ὑστριχίς] Schol: ἡ ἐξ ὑείων τριχῶν μάστιξ. Ran. 619. ὑστριχίδι μαστιγῶν.

Schol. ὑστριχίς: Ἡ ἐξ ὑείων τριχῶν μάστιξ. (ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τρίχας ἔχον ὑὸς, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.)

(εἰσέβαλεν: Ἀπὸ μεταφορᾶς τῶν τὰς πόλεις πορθούντων τὸ εἰσέβαλεν. καὶ ἔμεινεν ἐν τῇ τροπῇ. κυρίως γὰρ εἰσβαλεῖν ἐστι τὸ πολεμίους τινὰς εἰσελθεῖν εἰς πόλιν.)

747. Schol. διὰ τὸ πλῆθος τῶν πληγῶν. R.

748. ἀφελών] Cf. Ran. 941. τὸ βάρος ἀφεῖλον. Aeschin. III. 101. ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν.

κακά] Sc. ἔπη, convicia. Cf. Soph. Aj. 1244. Phil. 374.

φόρτον] Anglice vulgarity, coarseness. Cf. Pl. 796. ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν. Vesp. 66. κωμῳδίας δὲ φορτικῆς σοφώτερον. Nub. 524. ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν | ἡττηθείς. Lys. 1218.

ἀγεννῆ] Ignobilia. I. q. μὴ γενναῖα.

Schol. (βωμολοχεύματα: Τουτέστι βωμολόχα σκώμματα, ὅ ἐστι σκώπτοντας εὐτελεῖς τινὰς καὶ ἀσθενεῖς ἄνδρας.)

749. κἀπύργωσ'] Cf. Ran. 1004. ἀλλ', ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ | καὶ κοσμήσας τραγικὸν λῆρον, etc. De Aeschylo. Pherecrates ap. schol. (II. 289.) ὅστις γ' αὐτοῖς παρέδωκα τέχνην μεγάλην ἐξοικοδομήσας. (Quae de se ipso praedicat Aeschylus.) Eur. Suppl. 997. ἀοιδὰς — ἐπύργωσε. Med. 513. Or. 1584. Herc. 233. 439. Her. 294. Theogn. 771. Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην | Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος. Nub. 1023. καλλίπυργον σοφίαν.

Schol. ἐποίησε τέχνην: Ταῦτα καὶ Φερεκράτης ἐποίησε τὸν Αἰσχύλον λέγοντα ἐν τοῖς Κραπατάλοις "ὅστις γ' αὐτοῖς παρέδωκα τέχνην μεγάλην ἐξοικοδομήσας."

κἀπύργωσεν: Ἀντὶ τοῦ (ὕψωσεν,) ηὔξησεν, ἐμεγάλυνε καὶ ἠσφαλίσατο. καὶ ἐπὶ τὸ σεμνότερον τὰ ποιήματα ἤγαγεν. καὶ ἐν ἄλλοις [Ran. 1004] περὶ αὐτοῦ φησιν "ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά."

750. διανοίαις] Sententiis. Sc. μεγάλαις. (Ran. 1059. μεγάλων γνωμῶν καὶ διανοιῶν. Arg. Av. II. ἐν δὲ τοῖς Ὄρνισι καὶ μέγα τι διανενόηται.) Cf. Vesp. 1044. Eodem sensu ἐπίνοιαι Eq. 539. Ran. 1530.

ἀγοραίοις] Schol: κατημαξευμένοις. Horat. Epist. Pison. 245. ne velut innati triviis et paene forenses etc.

Schol. (οὐκ ἀγοραίοις: Οὐ κατημαξευμένοις.)

751—759. Hoc versus leviter mutatos huc transtulit ex parabasi Vesparum 1029—1037. DIND.

ἀνθρωπίσκοις] Eur. Cycl. 267. ὦ δεσποτίσκε. 316. ἀνθρωπίσκε.

752. ὀργήν] Animum. Per γενναῖον φρόνημα explicat schol. ad Vesp. 1030.

Schol. ἀλλ' Ἡρακλέους ὀργήν: (Ἐνδόξως πάλιν παρέλαβεν αὐτὸς τὸν Ἡρακλῆν. λέγει γάρ, οὐ κατὰ τοὺς ἄλλους ποιητὰς μετρίους τινὰς καὶ φαύλους λοιδορεῖν καὶ κωμῳδεῖν προειλόμην, ἀλλ' ὥσπερ Ἡρακλῆς τοὺς μεγάλους ἄθλους ὑπέστη, οὕτω κἀγὼ τοὺς ἀρίστους καὶ μέγα δυναμένους παρ' ὑμῖν κωμῳδεῖν εἱλόμην.) Ἡρακλέα γὰρ μιμούμενας οὐκ εὐτελεῖς ἄνδρας κωμῳδεῖν ἐπεχείρει.

753. διαβὰς βυρσῶν ὀσμὰς] Respicit ad Cleonem, qui erat βυρσοδέψης; et istas βυρσῶν ὀσμὰς comparat cum Augeae fimeto, se autem cum Hercule. BE. Quasi dixisset ποταμοὺς aut χαράδρας.

βυρσῶν ὀσμὰς δεινάς] I. e. βύρσας δυσώδεις. Cf. Eq. 892. βύρσης κάκιστον ὄζων. Vesp. 38.

κἀπειλὰς βορβ.] Et minas animum turbantes. Ipse Cleo βορβοροτάραξις, sed alio sensu, dicitur Eq. 306. Nota sunt Cleonis παφλάσματα, unde Παφλαγὼν dicitur ab nostro Eq. 2. Cf. 314. μὴ παφλάζων καὶ κεκραγὼς etc. Eq. 919. ἀνὴρ παφλάζει. — ἀπαρυστέον τε τῶν ἀπειλῶν ταυτηί.

Schol. διαβὰς βυρσῶν ὀδμάς: Ὡσανεὶ ἔλεγε ποταμοὺς ἢ χαράδρας. ταῦτα δὲ διὰ τὸν Κλέωνα· εἰκὸς γὰρ ἦν αὐτὸν ἀπειλεῖν τῷ Ἀριστοφάνει διὰ τὰς ὕβρεις. τὸ βαρβαρῶδες δὲ τοῦ Κλέωνος δηλοῖ διὰ τοῦ βαρβαροθύμους· Παφλαγὼν γὰρ ἦν. (τοῦ Ἡρακλέους δὲ μνημονεύσας ἑξῆς τὸ βυρσῶν ὀσμὴν ἐπήγαγεν, ἐπεὶ δοκεῖ ὁ Ἡρακλῆς τὴν Αὐγέου κόπρον ἐκκεκαθαρκέναι.)

754. μάχομαι] Praesens historicum.

755. Κύννης] Cf. Vesp. 1032. Eq. 765. Cum nomine Κύννα confer nomina Φίλιννα, Ἤριννα.

Schol. οὐ δεινόταται: Ἐρατοσθένης ἀγνοήσας τὰ κατὰ τὴν Κύνναν, κυνὸς γράφει, (κυνὸς ὡς ἀκτῖνες ἔλαμπον). Κύννα δὲ καὶ Σαλαβακχὼ πόρναι Ἀθήνησι. (Ἄλλως. τὴν ἀναίδειαν αὐτοῦ καὶ τὴν τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος [Il. A. 104] "ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἔΐκτην." τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς Ἱππεῦσι [765] λέγων "καὶ Κύνναν καὶ Σαλαβακχώ." Ἄλλως. Κύννα ἑταίρα ἐστίν. δῆλον δὲ ὅτι καὶ ἀναιδὴς καὶ πόρνης ὀφθαλμοὺς εἶχεν.)

756. κεφαλαὶ κολάκων] Cf. Vesp. 45. τὴν κεφαλὴν κόλακος (pro κόρακος) ἔχει. Κολάκων pro ὄφεων praeter exspectationem positum.

οἰμωξομένων] Nos diceremus cursed, rascally.

ἐλιχμῶντο] I. q. ἔλειχον. Eur. Bacch. 696. καὶ καταστίκτους δορὰς | ὄφεσι κατεζώσαντο (συνεζ.?) λιχμῶσιν γένυν.

Schol. ἑκατὸν δὲ κύκλῳ: (Ὡσεὶ ἔλεγεν ὄφεων.) εἰκὸς γὰρ σύστημα τὸν Κλέωνα ἔχειν κολάκων. χαράδρα δέ ἐστι διῶρυξ πηλοῦ μεστή. ὄλεθρον δὲ εἶπεν, οὐχ ὕδωρ, ἔχουσα. δέον δὲ εἰπεῖν ἐλιχμῶντο ἐλιχνῶντο εἶπε διὰ τὸ λίχνον τῶν κολάκων. Ἄλλως. εἰκὸς γὰρ σύστημα τὸν Κλέωνα ἔχειν μέγα δυνάμενον τῶν ὑποτρεχόντων αὐτὸν καὶ θεραπευόντων. ὁ δὲ εἶπεν, ὡσεὶ ἔλεγεν δρακόντων ἑκατὸν κεφαλαῖς αὐτὸν καθωπλίσθαι, καὶ τοῦτο πρὸς ἕνα τῶν Ἡρακλέους αἰνιττόμενος ἄθλων, τὴν ἑκατοντακέφαλον ὕδραν. (καὶ

γὰρ Τυφῶνα αὐτὸν εἶπεν ἐν τοῖς Ἱππεῦσι [511]· *τοσαύταις δὲ ἐκεῖνος κεφαλαῖς ὥπλιστο. ἢ διὰ τοὺς περὶ αὐτὸν κόλακας.*)

757. **Schol.** *χαράδρας: Ἀντὶ τοῦ χειμάρρου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος. οὐκ εἶπε δὲ πηλὸν, ἀλλ' ὄλεθρον.*

758. *φώκης δ' ὀσμήν* —] Hom. Od. *δ'*. 442. *φωκάων ἁλιοτρεφέων ὀλοωτάτη ὀδμή.*

Schol. *φώκης δ' ὀσμὴν: Θαλάσσιον ζῷον ἡ φώκη. Ὅμηρος* (Od. *Δ*. 442) "*φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.*"

λαμίας ὄρχεις: Δραστικοὶ γὰρ οἱ ὄρχεις. Δίδυμος δέ· εἰδωλοποιεῖ τινας ὄρχεις Λαμίας· θῆλυ γάρ. ἐντεῦθεν καὶ Λάμος ἡ πόλις τῶν Λαιστρυγόνων. (λέγεται δὲ ἡ Λάμια Βήλου καὶ Λιβύης θυγάτηρ, ἧς ἐρασθῆναι τὸν Δία φασὶν, μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λάμια προσαγορεύεται. ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεύς. οὐκ ἔλαθε τὴν Ἥραν, ἥτις ζηλοτυποῦσα τὴν Λάμιαν τὰ γενόμενα αὐτῇ τέκνα ἀνῄρει ἀεί. ἡ δὲ ἀποθνησκόντων τῶν τέκνων αὐτῆς βαρυνομένη τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ὑποκλέπτουσα ἀνῄρει. διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβούσας τὰ βρέφη καλεῖν ἐπ' αὐτοῖς τὴν Λάμιαν. μυθεύεται δὲ ὡς ἄϋπνος αὕτη διατελεῖ βουλήσει Ἥρας, ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ, ἕως οὗ αὐτὴν ἐλεήσας ὁ Ζεὺς ἀφαιρετοὺς αὐτῆς τοὺς ὀφθαλμοὺς ἐποίησεν, ὅπως ἂν ἐν αὐτῇ ᾖ ἐξαιρεῖσθαι καὶ πάλιν θεῖναι. λέγεται δὲ ἐσχηκέναι παρὰ Διὸς καὶ τὸ μεταμορφοῦσθαι εἰς ὅ τι οὖν βούλοιτο. οὕτως εὗρον ἐν ὑπομνήματι. ἀλλόκοτον δέ τι τέρας ὑποστήσασθαι βούλεται τὸν Κλέωνα· τὴν γὰρ Λάμιαν φησιν ἄγριον εἶναι ζῷον καὶ δύσοσμον καὶ ἀνήμερον. οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰκάσαι μόνοις προσέθηκε καὶ ἄπλυτον, ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ τὸν Κλέωνα δυσοσμίαν.)

759. **Schol.** *τοιοῦτον ἰδὼν τέρας: Εἰρηκὼς τῶν σκωμμάτων αὐτοῦ τὸ κατ' εἶδος ἔσκωψεν αὐτὸν πάλιν ἐπὶ τὸ γενικὸν ἀναδραμὼν, δι' οὗ τέρας αὐτὸν καλεῖ μείζονα δόξαν τῶν προειρημένων ἐγκαταλιπὼν ἔχειν τοῖς ἀκηκοόσι περὶ αὐτοῦ.*

760. *κατέδεισ'*] I. e. *κατέδεισα.* Notanda hic personae mutatio.

τῶν ἄλλων νήσων] Eleganter abundat *ἄλλων*. Cf. Nub. 417. *οἴνου τ' ἀπέχει καὶ γυμνασίων καὶ τῶν ἄλλων ἀνοήτων.* Ran. 1164. Eccl. 587. *τοῦτο γὰρ ἡμῖν δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστιν.* Plat. Gorg. 473 D. *εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων.* Phaed. 110 E. *λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς.* Symp. 191 A. *ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας.* Apol. 36 B. *ἀμελήσας — στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν.* Lys. Fr. 45, 8. *πολλοῖς μὲν Ἀθηναίων, πολλοῖς δὲ καὶ τῶν ἄλλων ξένων.* Lycurg. §. 104. *μόνου τῶν ἄλλων ποιητῶν.* Dem. de Cor. 96. *Εὔβοιαν, Τάναγραν, — τὰς ἄλλας νήσους.* Soph. Oed. R. 7. *παρ' ἀγγέλων — ἄλλων ἀκούειν.* Phil. 38. *καὶ ταῦτά γ' ἄλλα θάλπεται | ῥάκη.* Eur. Med. 281. *χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας.*

νήσων] Aegina potissimum insula intelligenda, quae patria fuit Aristophani. DIND.

761. Cf. Th. 1230. *τὼ Θεσμοφόρω δ' ἡμῖν ἀγαθὴν | τούτων χάριν ἀνταποδοίτην.* Eccl. 1047. *ὥστ' ἀντὶ τούτων τῶν ἀγαθῶν εἰς ἑσπέραν | μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.* Men. IV. 176. *παιδευθεὶς — εὖ | τὸν καρπὸν εὐθὺς ἀπεδίδου χάριτος καλόν.*

762. *πράξας κατὰ νοῦν*] Quum res ex sententia gessissem. Cf. Eq. 549. *ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων | κατὰ νοῦν πράξας.* 498. *ἀλλ' ἴθι χαίρων καὶ πράξειας | κατὰ νοῦν τὸν ἐμόν.* Soph. Oed. C. 1768. *εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ.*

παλαίστρας περινοστῶν] Cf. Vesp. 1025. *οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν* (*φησίν*). (Utrobique in Eupolin haec dici monet scholiasta.) Theophr. Char. 21. *τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν οὗ ἂν ἔφηβοι γυμνάζωνται.*

763. *παῖδας ἐπείρων*] Cf. Aristophont. com. III. 357. *τοὺς καλοὺς πειρᾶν καπνός.*

ἀράμενος τὴν σκευήν] Supellectilem scenicam intellige.

Schol. *παῖδας ἐπειρῶν*: (*Ὡς τῶν ἄλλων ἐξιόντων καὶ δεομένων καὶ νέων καὶ τῶν παίδων εἰς τὸ σπουδάζειν αὐτοῖς, ἵνα νικήσωσιν.*) *εἰώθασι δὲ καὶ παιδεραστεῖν ἁβρυνόμενοι τῇ νίκῃ. αἰνίττεται δὲ εἰς Εὔπολιν* (*καὶ τοὺς περὶ αὐτόν, ὡς παίδων ἐρῶντας καὶ παλαίστρας περιερχομένους.*)

764. *πόλλ' εὐφράνας*] Comicus incertus ap. Hephaestion. p. 109. ed. Gaisf. *εὐφράνας ἡμᾶς ἀπόπεμπ'* (*ὑμᾶς ἀπέπεμπ'* Mein.) *οἴκαδ' ἄλλον ἄλλοσε.* Qui locus metro Eupolideo scriptus ex parabasi fortasse Eupolidea petitus est. Cf. Eq. 538. *ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν.*

Schol. (*παῦρ' ἀνιάσας*: *Ὡς τῶν νικώντων ταῦτα ποιούντων καὶ εἰς ὕβριν ἐξελκομένων. ὀλίγα κωμῳδήσας ἢ οὐδὲν λυπήσας. ὁμοίως τῷ* [Il. E. 800] "*ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.*")

765. *πρὸς ταῦτα —*] Iisdem verbis incipit *πνῖγος* etiam Ach. 659.

Schol. (*πρὸς ταῦτα χρεὼν*: *Διὰ ταῦτα ὑμᾶς ἀξιῶ συλλαμβάνεσθαι, ἢ δι' αὐτὰ τὰ δίκαια.*)

767. *τοῖς φαλακροῖσιν*] Ipse enim Comicus fuit calvus. Plutarch. Mor. p. 634 D. *σκώπτειν γὰρ ἑαυτὸν δοκῶν ἐκεῖνον ἀλύπως ἐνουθέτησε. διὸ καὶ τῶν κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκοῦσι τῷ σκώπτειν ἑαυτούς, ὡς Ἀριστοφάνης εἰς τὴν φαλακρότητα.*

Schol. *καὶ τοῖς φαλακροῖσι*: *Τοῦτο εἰς ἑαυτόν· φαλακρὸς γὰρ ἦν ὁ Ἀριστοφάνης. τρωγαλίων δὲ ἀντὶ τοῦ τῶν τραγημάτων. οὕτω γὰρ ἐκάλουν τὰ τραγήματα οἱ παλαιοί.*

770. *ἐπὶ τραπέζῃ*] Anglice, at table, at dinner. De privatis epulis recte haec accipit Mein.

771. Cf. Juven. Sat. V. 135. Da Trebio; pone ad Trebium; vis, frater, ab ipsis | ilibus?

772. *μὴ ἀφαίρει —*] Sub. *αὐτά.* Ne detrahe eo ab eo qui praestantissimi poetarum frontem habet, i. e. ne defrauda calvum, qualis est Aristophanes poeta ille optimus.

Schol. *καὶ μὴ ἀφαίρει γενναιοτάτου*: *Μηδὲν ἀφαίρει τῶν παρακειμένων, ἀλλὰ πάντα παράδος. τὸ δὲ σχῆμα Ἀττικόν, τὸ γενικὴν εἰπεῖν ἀντὶ αἰτιατικῆς, ὡς καὶ νῦν εἶπε τῶν τρωγαλίων ἀντὶ τοῦ τὰ τρωγάλια.*

773. Cf. Ach. 644. *ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον* Schol. *λείπει ἡ ἐξ.* R.

774. Cf. Eq. 550. *ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων — φαιδρὸς λάμποντι προσώπῳ.*

Schol. *λαμπρὸν διὰ τὴν φαλακρότητα. ἢ εὐπαρρησίαστον.* V. *διαλαμπρόν.* R.

775. *πολέμους ἀπωσαμένη*] Cf. 1090.

Stesichori versus ita constituit Bergkius Fr. 36. *Μοῦσα, σὺ μὲν* .... *κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας | καὶ θαλίας μακάρων.*

(Schol.) *Μοῦσα σὺ μὲν πολέμου: Τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου. αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν. σφόδρα δὲ γλαφυρὸν εἴρηται, καὶ ἔστι Στησιχόρειος.*

μοῦσα σὺ μὲν: [Ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κβ'. τοσούτων δὲ καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφή. οὐ γὰρ διῄρηνται, ἀλλ' ἐχόμεναί εἰσιν ἀλλήλων, ἐπεὶ οὐ κεῖται μεταξὺ τὸ ἐπίρρημα. τὰ μὲν οὖν α', ς', ιδ', ις', ιθ', κα' δακτυλικὰ πενθημιμερῆ. τὰ δὲ β', δ' προσοδιακὰ δίμετρα ἀκατάληκτα ἐκ παίωνος β' καὶ χοριάμβου. τὸ δὲ γ' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε' ἰαμβικὸν πενθημιμερές. τὸ δὲ ζ' ἀκατάληκτον δίμετρον. τὰ η', θ', ια' δακτυλικὰ τρίμετρα. τὸ ι' τροχαϊκὴ βάσις. τὰ ιβ', ιγ' χοριαμβικὰ εἰς βακχεῖον περαιούμενα δίμετρα. τὸ ιε' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὰ ιζ', κ' ἀναπαιστικαὶ βάσεις. τὸ ιη' δακτυλικὸν δίμετρον. τὸ τελευταῖον ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δ' ἀντιστροφῆς κορωνίς.] — διπλῆ καὶ μεταβολὴ εἰς μονοστροφικὴν δυάδα ἐννεακαίδεκα κώλων ἔχουσα τὰς περιόδους, ὧν τὸ α' δακτυλικὸν πενθημιμερές, τὸ β' περίοδος προσοδικὴ ἑνδεκάσημος ἢ δωδεκάσημος· τὸ γ' ἰθυφαλλικὸν καὶ τὸ δ' ὅμοιον. τὸ ε' πενθημιμερές, ὃ καλοῦσιν ἰαμβέλεγον. τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' δακτυλικὸν τρίπουν εἰς δισυλλαβίαν. τὸ η' δακτυλικὸν ὅμοιον. τινὲς δὲ συνάπτουσι τὸ η' καὶ τὸ θ' καὶ γίνεται ἐγκωμιολογικὸν εἰς διπενθημιμερές, ὃ καὶ ἄμεινον. τὰ ἑξῆς ι', ια', ιβ', ὡς μὲν κεκώλισται, ἔστι χορίαμβος ἑφθημιμερής, συνῆπται δέ. δύναται δὲ τὸ α' αὐτῶν μετατεθῆναι ἐκ τῆς ἑξῆς συλλαβῆς, τὰ δὲ λοιπὰ ἑνωθῆναι. τὸ δὲ ιγ' δακτυλικὸν ἑφθημιμερές. τὸ ιδ' ἀναπαιστικὸν τρίπουν. τὸ ιε' δακτυλικὸν τετράπουν εἰς τρισυλλαβίαν. τὸ ις' διπλοῦν εἰς δισυλλαβίαν. τὸ ιζ' δακτυλικὸν τετράπουν. τὸ ιη' δακτυλικὸν πενθημιμερές. τὸ ιθ' εἰς ἰαμβικὸν δίμετρον καταληκτικόν. V.

778. *κλείουσα*] Celebrans. I. q. *κλῄζουσα.* Cf. Lys. 1299. *Μῶα μόλε Λάκαινα — κλέωα τὸν Ἀμύκλαις σιὸν* etc. Eur. Alc. 449. *ἐν ἀλύροις κλείοντες ὕμνοις.* Iph. A. 1047. *Θέτιν — ἰαχήμασι κλείουσαι.* Hesiod. Op. 1. *Μοῦσαι Πιερίηθεν ἀοιδῇσιν κλείουσαι.*

Schol. *κλείουσα θεῶν τε γάμους: Ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους. σημειοῦται δὲ ταῦτα ὁ μόχθος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν.*

Καρκίνος: Τραγῳδίας ποιητής, (ὃς εἶχε ταπεινούς τινας παῖδας). Καρκῖνος τραγῳδοποιός. ἐν δὲ τῷ ἀντιγράφῳ (παροξύτονον) εὗρον τὸ

Καρκίνος. ἴσως οὖν συνέστειλεν αὐτὸ, ὡς καὶ Ἄρατος. παῖδες δὲ Καρκίνου τρεῖς, Ξενοκλῆς, Ξενότιμος, Ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταὶ, οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο.

779. θαλίας μακάρων] Cf. Nub. 308. εὐστέφανοί τε θεῶν θυσίαι θαλίαι τε. Av. 733.

μακάρων] Cf. Nub. 853. πρόσοδοι μακάρων. Av. 222. 702. 899.

783. Καρκίνος — μετὰ τῶν παίδων] Carcino poëtae fuerunt tres filii, quorum duo saltatores, quos ridet etiam in Vespis. BE. Cf. Vesp. 1501—1537.

785. μήθ' ὑπάκουε μήτ' ἔλθῃς] Ita Lys. 734. μὴ διαπετάννυ μηδ' ἀπέλθῃς.

786. συνέριθος] Adjutrix. Semel legitur Homero, Od. ζ. 32. καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι. Etiam Platoni.

787. καὶ γὰρ —] Haec neque ad praecedentia μήθ' ὑπάκουε etc. Ad μηχανοδίφας refert Richter.

788. ὄρτυγας] Quia φιλεριστικοὶ, ut ait scholiastes, id est contentiosi. Est enim avis illa pugnax. BE. Carcini filios sic appellare videtur quod rixosi essent et parvo corpore ac cervice longa: unde eos mox dicit γυλιαύχενας, i. e. μακροτραχήλους, ut interpretatur scholiasta.

γυλιαύχενας] Quia colla eorum quale est cophini militaris γύλιος dicti, id est aut curta aut praelonga. Variant enim scholiastae. BE. Γύλιος legitur supra 527. Ach. 1097. 1137. Cf. Athen. I. 6 C. τῆς μακραύχενος ὄρνιθος.

ὀρχηστάς] Cf. Vesp. 1509. Pherecr. II. 258. τρεῖς τινες μικροὶ κομῆται καὶ φιλορχικοὶ —. B. ἀλλὰ μὰ Δί' οὐ τρεῖς ἐκεῖνοί γ' εἰσὶν, ἀλλὰ τέσσαρες.

Schol. (ὄρτυγας οἰκογενεῖς: Δέον ὄρνιθας οἰκογενεῖς εἰπεῖν ὄρτυγας εἶπε, πρᾶγμα τῆς φύσεως ἀλλότριον, πλὴν εἰ μὴ ὡς μαχίμους διαβάλλει τοὺς παῖδας τοῦ Καρκίνου· φιλεριστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. οἰκογενεῖς δὲ ἀντὶ τοῦ ἡμέρους, ἐν οἴκῳ τεθραμμένους. προείρηται δὲ περὶ τῶν Καρκίνου υἱῶν ὅτι μικροί. ἀεὶ μέντοι τὸ ὄρτυγας ἐκτείνεται, νῦν δὲ διὰ τὸ μέτρον συνέσταλται.)

γυλιαύχενας: (Αὐχένας οὐκ ἔχοντας, καθάπερ ὁ γύλιος. ὡς μικροὺς δὲ καὶ γογγυλώδεις σκώπτει. ἐχόρευον δὲ οὗτοι τῷ πατρί. Ἄλλως.) μακροτραχήλους· γύλιος γὰρ πλέγμα ἐστὶ στρατιωτικὸν ἐπίμηκες, τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα. καὶ μόνον τὸν τράχηλον μακρόν. (Ἄλλως. γύλιος πλεκτόν τι σκεῦος στρατιωτικὸν, στενόστομον, ἐν ᾧ τὰ σιτία ἐμβάλλουσι. διαβάλλει δὲ αὐτοὺς ὡς λεπροὺς καὶ λεπτοὺς καὶ μακροὺς τραχήλους ἔχοντας. ἐκ τοῖς ἐπιφερόμένοις δὲ ἐξηγήσεται ὅ τι ἐστὶ τὸ γυλιαύχενας. ὀρχηστὰς δὲ, εἰσέφερε γὰρ αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους.)

790. νανοφυεῖς] Nanos. Schol: νάννοι γὰρ λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων. Lucian. de Salt. 75. νανώδης τὴν φύσιν. Id. q. h. s. c. 23. νανώδει σώματι. Apost. XI, 97. Νάνος ὢν ὕπειχε. Arist. H. A. VI. 24. ὥσπερ οἱ νάνοι. Idem qui fiat ut gignantur nani exponere studet de Part. An. IV. 10. Probl. X. 12.

σφυράδων] Hesychius, *σφυράδες: τὰ διαχωρήματα τῶν αἰγῶν καὶ προβάτων· οἱ δὲ σπυράδας.* V. Pierson. ad Moer. p. 361. BR. Caprinorum stercorum. Schol: *ταπεινοὺς καὶ μικροὺς, οὐδὲ ὅλας σφυράδας.* Eupolis ap. schol. (II. 433.) *σφυράδων πολλῶν ἀναμέστη.* Idem ap. Bekk. Anecd. p. 433, 10. *τί γάρ ἐστ' ἐκεῖνος; ἀποπάτημ' ἀλώπεκος.* Aliae formae sunt *σπυρὰς, σπύραθος* (Hesych. in h. v.), *σπυραθία.* Sic *σφόγγος* et *σπόγγος*, etc. Similiter Eupolis II. 542. *τί γάρ ἐστ' ἐκεῖνος; B. ἀποπάτημ' ἀλώπεκος.*

ἀποκνίσματα] Ramenta. Plat. Hipp. maj. 304 A. *κνίσματά τοί ἐστι καὶ περιτμήματα τῶν λόγων κατὰ βραχὺ διῃρημένα. Ἀποκνίζειν* dixit Sotades comicus II. 585.

μηχανοδίφας] Machinarum inventores. Cf. v. *πραγματοδίφης* Av. 1424. *ἐρεβοδιφᾶν* Nub. 192. *δικοδίφης* (Lucian. Lex. 9. *Μεγαλόσμιός τε ὁ δικοδίφης*). Verbum *διφᾶν* habet Theophrastus Char. XI. 2. Xenoclem, Carcini filium, tangit, cujus in tragoediis multus fuerat machinarum scenicarum usus: de quo vide schol. Schol: *ἀπὸ μέρους τοῦτο· Ξενοκλῆς γὰρ ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασιν.* Plato comicus ap. schol: *Ξενοκλῆς δὲ δωδεκαμήχανος | ὁ Καρκίνου παῖς τοῦ θαλαττίου.* Ita autem dictus est Xenocles quod quum in tragoediis pari atque pater ipsius infortunio uteretur, famam labentem machinis alioque apparatu scenico resarcire studeret. Unde Thesm. 169. *ὁ δὲ Ξενοκλέης ὢν κακὸς κακῶς ποιεῖ.*

Schol. ναννοφυεῖς: Νάννοι λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων· οἱ δὲ κολοβοὶ τῶν ἵππων ἴννοι λέγονται.

σφυράδων ἀποκνίσματα: Ἀντὶ τοῦ ταπεινοὺς καὶ μικροὺς, οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. (Εὔπολις Αἰξὶ "σφυράδων πολλῶν ἀναμέστη." Ἄλλως. ἡ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος· ταύταις οὖν ἀπεικάζει αὐτούς. μᾶλλον δὲ οὐδὲ ταύταις, ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ ἀποτμήμασιν. εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ· ἡ γὰρ τοῦ μικροῦ μερὶς μικρὰ οὐδὲν ἂν εἴη.)

792. *Schol. μηχανοδίφας: Ἀπὸ μέρους τοῦτο· Ξενοκλῆς γὰρ ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. Πλάτων Σοφισταῖς "Ξενοκλῆς ὁ δωδεκαμήχανος, ὁ Καρκίνου παῖς τοῦ θαλαττίου." (Ἄλλως. μηχανοδίφας εἶπεν αὐτοὺς ἐπειδὴ πολλάκις ὡς τραγῳδοὶ μηχανὰς εἰσέφερον ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ ἢ ἄλλο τι τοιοῦτον.)*

793. Nam etiam pater eorum quod praeter spem (i. e. cum multo labore) peperisset drama felem vesperi suffocasse dixit. Fabulam sc. *τοὺς Μύας* scripsit Carcinus, quam quum in scenam cum multa jactatione demisisset, victus est. Hinc dixisse fingitur a mustela illam suffocatam esse.

794. *ὃ — εἶχε τὸ δρᾶμα*] Cf. ad 676. Sed mendosum videtur *εἶχε τὰ*.

Schol. ὃ παρ' ἐλπίδας: (Τοῦτο πρὸς τὰ ἄνω "μήτ' ἔλθῃς αὐτοῖς συνέριθος.") καὶ γὰρ εἶπεν ὁ πατὴρ γαλῆν τινὰ (τῆς) ἑσπέρας ἀπάγξαι τὸ δρᾶμα αὐτοῦ, ὅπερ εἶχε παρὰ προσδοκίαν, τουτέστιν ὃ μετὰ μόχθου

συνεγράψατο. διαβάλλει δὲ αὐτὸν ὡς νόθον περὶ τὰ κλέμματα (νωθρὸν περὶ τὰ σκέμματα conj. Mein. Fr. Com. I. 506. qu. νόθον περὶ τὰ δράματα). Ἄλλως. δρᾶμα ἐποίησε τοὺς Μύας· διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι.

795. τὸ δρᾶμα] In scholiis: δρᾶμα δὲ ἐποίησε τοὺς Μύας· διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι. Vult autem dicere victum esse Carcinum in commissione illius fabulae. BE. Hoc drama quominus doceretur accidisse videtur aliquid, quod hodie ignoramus. Similem Augusti de fabula sua Ajace nondum absoluta jocum componit Fritzch. (ad Ran. 94) ap. Sueton. Aug. c. 85. Nam tragoediam magno impetu exorsus non succedente stylo abolevit: quaerentibusque amicis quidnam Ajax ageret respondit Ajacem suum in spongiam incubuisse.

γαλῆν — ἀπάγξαι] Cf. 1151.

Schol. (γαλῆν τῆς ἑσπέρας: Ἀντὶ τοῦ ὑπὸ τῆς γαλῆς τὸ δρᾶμα ἀπαγχθῆναι. δρᾶμα γὰρ ποιήσας ὁ Καρκίνος ἢ ὁ Ξενοκλῆς παρῆλθε μέγα καυχώμενος ἐπ' αὐτῷ, καὶ παρελθὼν ἡττήθη. ὡς ἡττηθέντος οὖν εἶπεν ἐν ᾧ μεγάλας εἶχεν ἐλπίδας δρᾶμα. ἐπειδὴ δὲ αἱ γαλαῖ τοὺς μῦς νυκτὸς πνίγουσι, παρὰ τοῦτο παίζει.)

797. τοιάδε — καλλικόμων ὑμνεῖν] Ex Stesichoro, cujus verba apposuit scholiasta, τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων | ὑμνεῖν, Φρύγιον μέλος ἐξευρόνθ' ἁβρῶς | ἦρος ἐπερχομένου. V. Bergk. ad Stesich. Fr. 34.

Schol. (τοιάδε χρὴ Χαρίτων: Τῇ στροφῇ ἀποδέδωκε τὴν ἀντίστροφον· πάλιν γὰρ ἐπὶ τὸν οἰκεῖον ἐπανέδραμεν ἔπαινον, φάσκων ὅτι διὰ ταῦτα πάντα χρὴ τοὺς θεατὰς μετὰ πάσης εὐνοίας ἀποδέχεσθαι τὰ ὑπ' αὐτοῦ ποιήματα. ἴδωμεν οὖν τὴν στροφὴν τί ἐστι καὶ πῶς τὴν ἀντίστροφον ἐπήγαγε. κἂν ταῖς Νεφέλαις δὲ εἶπον ὅτι δεῖ πάντως ἀνταποδίδοσθαι τῇ στροφῇ τὴν ἀντίστροφον, εἶτα ἀμφοτέραις ἐπαγαγεῖν τὴν ἐπῳδόν· ἐκ τούτων γὰρ τὰ χορικὰ συνεστάναι, στροφῆς, ἀντιστρόφου, ἐπῳδοῦ. ἀντίστροφος δὲ εἴρηται παρὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τοῦ λόγου, μεταξὺ λεγομένων τῶν περιττῶν καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι, οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης. ἔχει δὲ οὕτως "ἀνδρῶν τε δαῖτας καὶ θαλίας μακάρων. σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει." εἶτα "τοιάδε χρὴ Χαρίτων." διὰ μέσου δὲ τὰ περὶ τῶν Καρκίνου παίδων. ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας "τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν, Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς ἦρος ἐπερχομένου." δαμώματα δὲ) τὰ δημοσίᾳ ᾀδόμενα.

798. Χαρίτων δαμώματα] Cf. Av. 1100. Χαρίτων τε κηπεύματα. Pind. N. IX. 27. ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον.

δαμώματα] Schol. τὰ δημοσίᾳ ᾀδόμενα. I. e. carmina publice cantanda. Pind. Isth. VII. 8. γλυκύ τι δαμωσόμεθα (i. e. in publicum proferemus jucundum aliquid). Plat. Theaet. p. 122 E. καὶ ταῦτα πῶς μὴ φῶμεν δημούμενον λέγειν τὸν Πρωταγόραν; Tim. Lex: Δημοῦσθαι. δημοκοπεῖν, παίζειν, εὐφραίνεσθαι. Hesych: Δαμώμενος. ἀγαλ-

λόμενος, οἱ δὲ παίζων. Idem δημώματα per παίγνια explicat. V. Suid. in h. v.

800. ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν — κελαδῇ] Haec quoque ex Stesichoro adumbrata sunt, cujus verba dat scholiasta, ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. V. Fr. 38. ed. Bergk. Cf. Ran. 679. ἐφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρῃκία χελιδὼν ἐπὶ βάρβαρον (?) ἑζομένη πέταλον (?) etc. Av. 683. ὦ καλλιβόαν κρέκουσ' αὐλὸν φθέγμασιν ἠρινοῖς. Haec Fritzschius (ad Ran. 94) ad illud ipsum ver quo Pax docta est (Ol. 89, 3. archonte Alcaeo) necessario spectare arbitratur; quo tempore Morsimo et Melanthio, pessimis tragoediae scriptoribus, chorum ab archonte negatum esse.

ἠρινά] Verno tempore. Neutrum plurale adverbialiter usurpatum. Cf. Av. 1099. ἠρινά τε βοσκόμεθα — μύρτα. Eur. Dan. Fr. 3. γῇ τ' ἠρινὸν θάλλουσα. Meleager Anthol. VII. 188. ὀρθρινὰ παίζων | ἀστραγάλοις. Sidonii Epigr. 26.

Schol. (ὅταν ἠρινή: Καὶ αὕτη πλοκὴ Στησιχόρειος. φησὶ γὰρ οὕτως "ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών.")

801. ἑζομένη] "The perching of the swallow was probably regarded as a mark of its settled return." (Pal.)

κελαδῇ] Theopomp. com. II. 808. τέττιξ κελαδεῖ.

χορὸν — 'χῃ] Archon dicebatur χορὸν διδόναι, poeta λαμβάνειν. Cf. Ran. 94. ἢν μόνον χορὸν λάβῃ. Cratinus ap. Athen. 638. ὃς οὐκ ἔδωκ' αἰτοῦντι Σοφοκλέει χορὸν etc. Arist. Poet. 5, 3. Suidas in Χορὸν δίδωμι: Παρὰ τοῖς Ἀθηναίοις χορῶν ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταί, οὐ πάντες, ἀλλὰ οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι.

803. Μόρσιμος] Malus poeta, de quo vide Ran. 152. Eq. 401.

Schol. Μόρσιμος μηδὲ Μελάνθιος: Τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ τραγικοῦ υἱός, πονηρὸς καὶ ἄμετρος. ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις αὐτὸν ὡς κίναιδον διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς (λευκὰς ἔχοντα καὶ) λεπρὸν Ἀριστοφάνης ἐν Ὄρνισιν [150] "ὃς οὐκ ἰδὼν βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου."

804. Μελάνθιος] Et hic poeta fuit tragicus. Inter helluones eum numerat v. 1009. In Av. 151. leprosum fuisse significat. BE. Philoclis filius, Morsimi frater fuit. Famosus fuit ob gulositatem, eoque nomine magnam comicis ridendi materiam praebuit. Vide de eo Bergk. Comm. p. 340. Notatur tragicus poeta Melanthius etiam infra 1009—1115. Idem etiam ab Eupolide et Leucone in fabulis Κόλακες et Φράτορες dictis, quae cum nostri Pace praemia eodem certamine Dionysiaco reportarunt, ab illo ut cinaedus et adulator, ab hoc (ut ab nostro in Pace, a Pherecrate in Πετάλῃ fabula, et Archippo in Ἰχθύσιν) ut ὀψοφάγος, traductus fuit. V. schol. ad h. l. et Athen. VIII. c. 30.

οὗ δὴ πικροτάτην —] I. e. οὗ πικροτάτην δὴ —. Anglice vertas, whose voice was truly the most shrill I ever heard.

805. *πικροτάτην ὄπα*] Soph. Phil. 189. *πικρᾶς οἰμωγᾶς*. Oed. C. 1610. *φθόγγον πικρόν*. Ant. 423. Eur. Phoen. 890. *πικροὺς γόους*. Tro. 1227. *πικρὸν ὄδυρμα*. 441. *πικρὰν Ὀδυσσεῖ γῆρυν*.

γηρύσαντος] Vox praecipue tragica. Sic Hipp. 213. *οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσει*.

807. *Schol.* (*ἀδελφός τε καὶ αὐτός*: *Ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ὄντος ἀσήμου. Εἰς τὸ αὐτό. δέχονταί τινες ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ποιητοῦ ὄντος, ἀσήμου δέ. οὐκ ἀνάγκη δὲ διαιρεῖν καὶ ποιεῖν πρὸς τὸ τὸν χορὸν εἶχε τὸ ἀδελφός τε καὶ αὐτός. ἀλλὰ τὰ μὲν πρῶτα ἴδια περὶ τοῦ Μελανθίου μέχρι τοῦ χορὸν εἶχεν, ἀπ' ἄλλης δὲ ἀρχῆς περί τε αὐτοῦ καὶ τοῦ ἀδελφοῦ τὰ εἰς ὀψοφαγίαν. ὅτι γὰρ ὁ Μελάνθιος ὀψοφάγος προείρηται. καὶ παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις.*)

808. *Schol.* (*ἄμφω*: *Στικτέον εἰς τὸ ἄμφω. ὅτι μὲν γὰρ τραγικοὶ ἀμφότεροι, Μελάνθιος καὶ ὁ τούτου ἀδελφός, δῆλον· τὸ δὲ Γοργόνες καὶ ὀψοφάγοι ἐπὶ Μελανθίου μόνου· τοιοῦτος γὰρ οὗτος διαβάλλεται. τινὲς δὲ εἰς τὸ εἶχον στίζουσιν, ἵνα Μελάνθιος μὲν ἔχῃ τὸν χορόν, ἀμφότεροι δὲ ὦσιν ὀψοφάγοι.*)

809. *ὀψοφάγοι* —] De Melanthio Athen. I. 6 C. *Μελάνθιος τῶν ἀπολαύσεων ἐρῶν εὔξατο τῆς μακραύχενος ὄρνιθος* (cycni?) *τὸν τράχηλον ἔχειν, ἵνα ὅ τι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ.*

810. *βατιδοσκόποι*] Raiarum observatores, i. e. cupidi. Similiter *θυννοσκοπεῖν τοὺς φόρους* dicitur Cleo in Eq. 313. Confer etiam v. *πυροπίπης* Eq. 407. Vesp. 510. *οὐδὲ χαίρω βατίσιν οὐδ' ἐγχέλεσιν*. Hor. Ep. I. 15. 31. pernicies et tempestas barathrumque macelli.

811. *Schol. βατιδοσκόποι*: *Βάτις εἶδος ἰχθύος. ἢ καθόλου οἱ ἰχθύες. ἅρπυιαι δὲ ἅρπαγες τῶν ἰχθύων· ἅρπυια γὰρ ἁρπακτικὸν ζῷον.*

812. *γραοσόβαι*] Schol: *ὡς γραοφίλους αὐτοὺς εἰσάγει καὶ περὶ γραῶν ἔρωτα ἐπτοημένους. ἀντὶ τοῦ γραῦς ὀχεύοντες. Σοβάδες* meretrices appellabantur (v. schol.). Confer Latinum subare. Simile fere compositum est *μυιοσόβη* Menand. Athen. 484 D. Cf. etiam v. *γραοτρεφής* (Eust. p. 971, 39.).

Schol. γραοσόβαι: *Ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν. ἢ γραΐσι συγκοιμώμενοι· σοβάδας γὰρ τὰς πόρνας λέγουσιν. Εὔπολις "παρὰ τῇδε* (*τηδεδὶ?*) *σὺ τῇ σοβάδι κατηγάγου."* (*ὡς γραοφίλους δὲ αὐτοὺς εἰσάγει καὶ περὶ γραῶν ἔρωτας ἐπτοημένους. ἀντὶ τοῦ γραῦς ὀχεύοντες.*)

813. *τραγομάσχαλοι*] Cf. Ach. 852. *ὄζων κακὸν τῶν μασχαλῶν, πατρὸς Τραγασαίου.*

814. *ἰχθυολῦμαι*] Piscium vorago sive pernicies. Phrynichus Bekkeri p. 43. 23. *ἰχθυολύμης ἄνθρωπος*: *ἐπί τινος λίχνου καὶ περὶ ἰχθύων ἐδωδὴν μεμηνότος.* Similiter formata vocabula sunt *παιδολύμης* Aesch. Cho. 605, et *δικολύμης* (i. e. sycophanta) ap. Phrynich. Bekk. p. 35, 28. (Fr. com. IV. 664.)

Schol. τραγομάσχαλοι: Ἀντὶ τοῦ δύσοσμοι· οἱ γὰρ ἄρρενες τῶν αἰγῶν τοιοῦτοι.

ἰχθυολῦμαι: Οἱ Ἀθηναῖοι τοὺς ἰχθῦς εἶχον ὡς μέγα ἔδεσμα.

815. ὧν καταχρεμψαμένη μέγα καὶ πλατύ] Schol: μέγα καταπτύσασα αὐτῶν. Ach. 1126. κατάγελως — πλατύς. Lucian. Cat. 12. πλατὺ χρεμψάμενος καὶ καταπτύσας μου. De Merc. cond. 14. ἄπεισί σοι πλατὺ ἐγχανών. Pseudol. 27. ὡς ἔνι πλατύτατον κεχηνώς. Philostr. V. Apoll. T. IV. 20, 157. τὸ μειράκιον κατεσκέδασε τοῦ λόγου πλατύν τε καὶ ἀσελγῆ γέλωτα. Vesp. 619. τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέπαρδεν. Th. 381. χρέμπτεται γὰρ ἤδη.

Schol. καταχρεμψαμένη: (Μέγα) καταπτύσασα (αὐτῶν, ὦ Μοῦσα, τῶν προειρημένων ποιητῶν καὶ τῶν παίδων τοῦ Καρκίνου).

816. *Schol.* ἀφῆκε τὸ ῥῆμα καὶ τὸ ἀντεπίρρημα. R.

818. ξύμπαιζε τὴν ἑορτήν] Cf. 874. ἣν (θεωρίαν) ἡμεῖς ποτε | ἐπαίζομεν etc. Av. 1093. Νύμφαις οὐρείαις ξυμπαίζων. Ran. 411. συμπαιστρίας. 443. χωρεῖτε — παίζοντες οἷς μετουσία θεοφιλοῦς ἑορτῆς.

819. Cf. Eq. 1170. ὡς μέγαν ἄρ' εἶχες, ὦ πότνια, τὸν δάκτυλον. Ach. 990. ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες. Pac. 22. οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον. 566. Vesp. 1299.

ὡς χαλεπὸν] Prodeunt de novo Personae, et Trygaeus descendit e coelo et ad Penates suos redit narrans quantum laboris hauserit in ascensu et descensu. FLORENS.

Schol. ὡς χαλεπὸν: (Κορωνίς· προΐασι γὰρ οἱ ὑποκριταί. καὶ τὰ πρῶτα ἰαμβικὰ τρίμετρα ἀκατάληκτα λ'ς. ἐπὶ τῷ τέλει κορωνίς.) ὁ Τρυγαῖός ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας, καὶ τὸν κόπον ὃν ὑπέστη διηγεῖται.

821. ἦστ'] Cf. Eccl. 1086. ἤστην est Eq. 982.

822. *Schol.* κακοήθεις πάνυ: Ἀνθυπήλλαξεν ἀντὶ τοῦ εἰπεῖν μικρότεροι, παρ' ὑπόνοιαν διαβάλλων Ἀθηναίους ὡς κακούργους. δοκεῖ δὲ καὶ τοῖς ἄνω τὰ κάτω μικρὰ φαίνεσθαι.

823. Subaudiendum praesens φαίνεσθε.

824. ὥς γ' ἐγὼ 'πυθόμην τινός] I. e. ὡς σὺ λέγεις. BE. Schol: ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω, ὡς περὶ ἄλλου φησί. Ridicule de suo ut de alius adventu loquitur nonnihil dubitans, tanquam de re incerta. Cf. Thesm. 596. εἰ μὴ 'πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων. Alex. ap. Athen. 164 F. τοῦ μαγείρου πυθόμενος | τὸν ἑστιῶντα. Dem. p. 541. ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην. p. 1221. ὡς ἐγώ, ἔφη, πέπυσμαι τῶν παίδων etc. Xen. An. IV. 6. 17. τούτων πυνθάνομαι ὅτι etc. Soph. Oed. R. 333. Dem. Phil. II. p. 23, 5. ὡς δ' ἐγὼ τινος ἤκουον, etc.

Schol. ἐπυθόμην τινός: Ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω ὡς περὶ ἄλλου φησί.

826. τὸ τί;] Cf. Pl. 902. καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι — ΣΥ. τὸ τί; et ad Nub. 748.

828. οὐκ, εἰ μή γέ που —] Vesp. 97. καὶ νὴ Δί' ἢν ἴδῃ γέ που —.

829. In Avibus introducit dithyramborum poetam Cinesiam alas petentem, ut sublime volans possit captare prooemia, v. 1383 sq. BE. Dithy-

rambicos poetas irridet ut *μετεώρους* et de aere ac nubibus in carminibus perpetuo loquentes.

Schol. *ψυχὰς δύ' ἢ τρεῖς: Διαβάλλει αὐτοὺς ὡς μετεώρους, ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά. (συνεχῶς δὲ κωμῳδοῦσι τοὺς διθυραμβοποιοὺς ὡς ἐκ τοῦ ἀέρος καὶ τῶν νεφελῶν σπῶντας τὰς λέξεις, διὰ τὸ συνθέτους εἶναι παρ' αὐτοῖς.)*

830. *ξυνελέγοντ' ἀναβολάς ποτώμεναι*] Cf. Av. 1383. *ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος | ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν | ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς. | ΠΕ. ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι; | ΚΙ. κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη. | τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται | ἀέρια καὶ σκότι' ἄττα καὶ κυαναυγέα | καὶ πτεροδόνητα.* Ach. 378. *ὁ νοῦς μὲν ἔξω ξυλλέγων ἐπύλλια.* Ran. 849. *Κρητικὰς — ξυλλέγων μονῳδίας.*

Schol. *ἀναβολὰς: Τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος* [Od. A, 155] "*ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.*"

831. *ἐνδιαεριανεριηχέτους*] Id est *ἀερονηχεῖς*, nisi quod habetur ibi *ἔνδιος* (i. e. serenus, lucidus) et *ἀνήρ*. Vox *ἀερονηχεῖς* occurrit in Nub. 336, ubi etiam ridet dithyrambos, *ἀερίας διερὰς γαμψοὺς οἰωνοὺς ἀερονηχεῖς*. BE. Cf. Av. 1384. *πτερωθεὶς βούλομαι — ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν | ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.* 1389. *τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται | ἀέρια καὶ σκότι' ἄττα καὶ κυαναυγέα | καὶ πτεροδόνητα.* Lucian. Icar. 1. *μετέωρα καὶ διαέρια δοκῶ σοι λέγειν.* Id. de Salt. 42. *τῶν Νεφέλης παίδων ἐπὶ τοῦ κριοῦ τὴν διαέριον φυγήν.* Id. de Dips. 3. *ἐναέριον καὶ πτηνὸν (γένος σκορπίων).* Plat. Locr. 101 C. *τῶν ἐναερίων ζῴων.* Cf. Eccl. 505. *ἀπαλλαχθέντα τῶν | ὀρθροφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων.*

Schol. *τὰς ἐνδιαεριανεριηχέτους: Κωμῳδεῖ τοὺς διθυραμβοποιοὺς ὡς ἀπὸ τοῦ ἀέρος ἀρχομένους, (καὶ λέξεις τινὰς αὐτῶν διαβάλλει τῶν διθυραμβοποιῶν ὡς τοιαῦτα λεγόντων. Δίδυμος δὲ πεπλάνηται λέγων αὐεριενηχέτους· οὐ γὰρ λέγουσιν αὐέρα οὗτοι (οἱ Ἀττικοί?). συνεχῶς δὲ αὐτοὺς κωμῳδοῦσιν ὡς ἀέρας (ἀέρα?) καὶ νεφέλας καὶ τὰ ἐκ τούτων σύνθετα ποιοῦντας. μήποτε δὲ οὐκ ἀορίστως μόνον, ἀλλὰ καί τινος τῶν διθυραμβοποιῶν λέξεις τινὰς χλευάζει. Ἄλλως.) τὰ προοίμια τῶν διθυραμβοποιῶν ὡς ἐπιτοπλεῖστον ἀπᾴδοντά ἐστι καὶ οὐδὲν πρὸς τὸ πρᾶγμα δηλοῖ. τὸ δὲ τοιοῦτον μετεώρων ἀνδρῶν.*

832. *οὐκ ἦν ἄρ' οὐδ'*] Haec spectant ad Trygaei responsionem v. 828. *οὐκ, εἰ μή γέ που* etc.

835. *Ἴων ὁ Χῖος*] De Ionis memoria optime meritus est Bentleius in epistola ad Millium p. 50. Fecerat Ion dithyrambum cujus initium ab scholiasta et Suida prolatum, *ἀοῖον ἀμεροφοίταν ἀστέρα μείναμεν, ἀελίου λευκοπτέρυγα πρόδρομον.* Inde comici jocus. BR. Ionis fragmentum ita dat Bergkius, *Ἀώϊον ἀεροφοίταν | ἀστέρα μείναμεν* etc. Ion tragicus fabulas docere coepit Ol. 82. A. C. 452—449.

ἐποίησεν — τὸν ἀοῖον] Cf. Nub. 555. *ἣν (γραῦν) Φρύνιχος πάλαι πεποίηχ'.*

πάλαι — ποθ'] Cf. Pl. 1004. *πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.* Sic etiam *πρίν ποτε* supra 592.

Schol. *Ἴων ὁ Χῖος: Διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδήν, ἧς ἡ ἀρχή "ἀοῖον ἀεροφοίταν* (*ἀμεροφοίταν* Bentl.) *ἀστέρα μείναμεν, ἀελίου λευκῇ πτέρυγι* (*λευκοπτέρυγα* Suidas in *διθυρ.* correxit primus Bentl.) *πρόδρομον." φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. παίζων οὖν ὁ Ἀριστοφάνης ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι. περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ καὶ κωμῳδίας* (*τραγῳδίας* Mein. Fr. Com. I. 524.) *καὶ ἐπίγραμματα* (*καὶ παιᾶνας καὶ ὕμνους καὶ σκολιὰ καὶ ἐγκώμια καὶ ἐλεγεῖα, καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον, ὃν νόθον ἀξιοῦσιν εἶναί τινες καὶ οὐχὶ αὐτοῦ. φέρεται δὲ αὐτοῦ καὶ κτίσις καὶ κοσμολογικὸς καὶ ὑπομνήματα καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. φασὶ δὲ αὐτὸν ὁμοῦ διθύραμβον καὶ τραγῳδίαν ἀγωνισάμενον ἐν τῇ Ἀττικῇ νικῆσαι, καὶ εὐνοίας χάριν προῖκα Χῖον οἶνον πέμψαι Ἀθηναίοις. Σωκράτους δὲ τοῦ φιλοσόφου ἔστιν εἰς αὐτὸν λόγος λεγόμενος Ἴων. μέμνηται αὐτοῦ καὶ Καλλίμαχος ἐν τοῖς Χωλιάμβοις, ὅτι πολλὰ ἔγραψεν.*) [[*ὡς δ' ἦλθεν ἐνθάδε, ἀντὶ τοῦ εἰς τὸν οὐρανὸν, ἀπέθανεν.*]] — *εἰς τὸν οὐρανόν. ἀπέθανε γάρ. ἀοῖον δὲ τὸν ἑῷον.* R.

837. *ἀοῖον — ἀστέρα*] Cf. Eurip. ap. schol. ad Eq. 783. *ἑῷος ἡνίχ' ἱππότας ἐξέλαμψεν ἀστήρ.* Sic Julius Caesar ut deus colebatur, quod in astrum, quod mortis ejus tempore apparuisset, migrasse putaretur (Suet. J. Caes. 88.). Cf. Virg. Ecl. IX. 47. Hor. Od. I. 12. 47. Forma *ἠῷος* est Hom. H. Merc. 17. Hesiod. Scut. 396.

Schol. (*Ἀοῖον αὐτὸν: Ὅτι ὁ μὲν Ἴων ἤδη τεθνήκει δῆλον. οὐκ ἄδηλον δέ ἐστι ὅτι πρὸς τὸ ὑπ' αὐτοῦ ἔν τινι τῶν διθυράμβων λελεγμένον τὸ ἀοῖος ἀστὴρ παίζει.*)

838. *διατρέχοντες ἀστέρες*] Qui *διάττοντες* ab Aristotele aliisque dicuntur. DIND. Plat. Rep. X. p. 621 B. *ἄλλον ἄλλῃ φέρεσθαι ἄνω εἰς τὴν γένεσιν ᾄττοντας ὥσπερ ἀστέρας.*

839. *καόμενοι θέουσιν*] Cf. Arist. Meteor. I. 4 sq.

Schol. *οἳ καόμενοι: Οἱ σπινθηρίζοντες, οἱ καλούμενοι διάττοντες,* (*οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες.*)

841. *ἰπνούς*] Laternas. Schol: *οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν.* Cf. ad Pl. 816.

Schol. *ἰπνούς: Οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν.* (*τοὺς νῦν φανοὺς καλουμένους τινάς φασι λέγειν τῶν παλαιῶν, τὰς δὲ λαμπάδας τοὺς τραγικοὺς φανοὺς ἢ πανοὺς διὰ τοῦ π.*).

842. *ταυτηνί*] Oporam. Vide supra v. 523. Jubet autem hic ut intus lavetur Opora. BE.

Schol. (*ταυτηνὶ λαβών: Ἐλέγετο ὅτι δύο πόρνας εἶχε τῇ Εἰρήνῃ συνοφθείσας, τήν τε Ὀπώραν καὶ τὴν Θεωρίαν, ὧν τὴν μὲν Ὀπώραν δίδωσι τοῖς γεωργοῖς, τῇ δὲ βουλῇ τὴν Θεωρίαν. τούτων οὖν τὴν μὲν Ὀπώραν τοῖς οἰκέταις ὁ Τρυγαῖος δίδωσιν ἀπαγαγεῖν εἰς τὴν οἰκίαν, ὡς αὐτὸς αὐτὴν γαμήσων, καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους αὐτῇ εὐτρεπίσαι. τὴν δὲ Θεωρίαν αὐτός φησιν ἀπομόσας δώσειν τῇ βουλῇ. ἴσως δὲ ἡ*

Εἰρήνη ἐν τῷ οὐρανῷ ἔμεινεν· οὐδαμοῦ γὰρ ποιεῖται αὐτῆς μνήμην ὡς κατελθούσης.)

843. *τὴν πύελον*] Cf. Eq. 1060. Thesm. 562. Scolion ap. Athen. 695 E. *ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.* Praeparari jubet *λουτρὸν νυμφικόν* (Lys. 378).

κατάκλυζε] Cf. Cratin. com. II. 119. *κατακλύσει.*

Schol. ἀντὶ τοῦ κατακλύζεσθαι ποίησον, ὅ ἐστι γέμισον ὕδατος. R. V.

844. *στόρνυ — λέχος*] Soph. Tr. 901. *καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια | στορνύνθ'.* Eur. Suppl. 766. *κἄστρωσέ γ' εὐνάς.* Incert. ap. Athen. 48 A. *στρώννυ τε κοίτας.* Herod. VII. 54. Hom. Il. *ω.* 648. *αἶψα δ' ἄρα στόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.*

στόρνυ] Sic *διαπετάννυ* Lys. 733.

κουρίδιον λέχος] Supra v. 706. dicit ad hunc Trygaeum Mercurius, *ἴθι νυν ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε | γυναῖκα σαυτῷ τήνδε.* BE.

Schol. προστακτικόν ἐστι τὸ στόρνυ καὶ ἔστιν ὅ τε (ἔστι τὸ τε?) σύνδεσμος. R. V.

845. *ἧκε δεῦρ' αὖθις πάλιν*] Cf. 275. *ἧκέ νυν ταχύ.* Lys. 924. *ἧκέ νυν ταχέως πάλιν.*

846. *τήνδε*] Sc. *τὴν Θεωρίαν.* Cf. 713. *τήνδε τὴν Θεωρίαν | ἀπαγαγε τῇ βουλῇ λαβών, ἧσπέρ ποτ' ἦν.*

Schol. τὴν Θεωρίαν. R.

847. *πόθεν;*] Pro *ὁπόθεν;* Cf. Nub. 664. Av. 1234. Eccl. 761. Nisi reponendum *ὁπόθεν.*

ἐκ τοὐρανοῦ] Hinc apparet *Θεωρίαν* et *Ὀπώραν* in postscenii muro primum in conspectum venisse ad latus utramque Pacis, postquam haec in altum sublata est, non cum ea simul ex caverna extractas esse.

848. Cf. 1217. *δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας.* 1214. *τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;* Alexis Athen. 117 F. *ἔδωκα ταύτης δύ' ὀβολώ.* Theocr. I. 57. *τοῦ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἰγά τ' ἔδωκα.* Lucian. Cyn. 17. *καίτοι τί ἂν δοίη τις ἀνδρὸς τὴν αὐτὴν τοῖς κιναίδοις ὀδμὴν ἔχοντος;* Aelian. V. H. II. 12. *τί δ' ἂν ἐμοὶ (ἐμοῦ* Cas.) *δοίητε, ὃς οὕτω φθονοῦμαι;* Plaut. Rud. V. 3. 11. m i h i t r i o b o l u m o b e a m (*αὐτῆς*) n e d u i s. In hujusmodi locutionibus subaudiri potest *ἀντί.*

849. *εἰ πορνοβοσκοῦσ' ὥσπερ ἡμεῖς οἱ βροτοί*] Nunc clarius indicat meretrices esse has duas. Euripides autem in hanc sententiam dixit in Ione v. 449. *οὐκέτ' ἀνθρώπους κακῶς | λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν κακὰ | μιμούμεθ', ἀλλὰ τοὺς διδάσκοντας τάδε.* BE.

πορνοβοσκοῦσ'] Plat. com. II. 667. *πορνοβοσκῆσαι.* Diph. IV. 415. *οὐκ ἔστιν οὐδὲν τεχνίον ἐξωλέστερον | τοῦ πορνοβοσκοῦ.* Cf. v. *γηροβοσκεῖν,* Ach. 678.

ὥσπερ ἡμεῖς οἱ βροτοί] Eadem verba Eq. 601.

Schol. πορνοβοσκοῦσι: Πιθανῶς ἐδήλωσεν ὅτι πόρναι ἦσαν ἡ Ὀπώρα καὶ ἡ Θεωρία.

πάλαι — ποθ'] Cf. Pl. 1004. *πάλαι ποτ'* … ιt: sunt ta-
etiam *πρίν ποτε* supra 592. … sibi victum
Schol. *Ἴων ὁ Χῖος: Διθυράμβων* … tudinem valere,
ἐποίησε δὲ ᾠδήν, ἧς ἡ ἀρχή "ἀοῖ … i parent. Nescio
ἀστέρα μείναμεν, ἀελίου λευκῇ πτ … id faciunt ipsi
correxit primus Bentl.) *πρόδρομ* … xercent. Utut hoc
παίζων οὖν ὁ Ἀριστοφάνης ἀ … ues, qui lenocinio clam
βόητος δὲ ἐγένετο. ἔγραψε … *σκεῖν* videri volebant. Quod
I. 524.) *καὶ ἐπίγραμματα* … cf. Ach. 1113. *ὤνθρωπε, βούλει*
μια καὶ ἐλεγεῖα, καὶ κα … *ἀλλ' ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι.*
ἀξιοῦσιν εἶναί τινες … *κόμην ἔχεις; | ΠΟ. οὐκ, ἀλλὰ πάντες*
κοσμολογικὸς καὶ ὑτ … p. 945. *ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι*
δὲ αὐτὸν ὁμοῦ δ … *νό μοι δοκεῖ πεπονθέναι | ὅπερ* etc. Eq. 176.
νικῆσαι, καὶ εὐ … 482. 498. Vesp. 77. 1143. 1372. etc.
κράτους δὲ τοῦ …] Cf. Herod. I. 216. *ἀπὸ κτηνέων ζώουσι καὶ ἰχθύων.*
ται αὐτοῦ κ … *ουσι?) ἀπὸ τῶν ἰχθύων μούνων.* IV. 22. *καὶ οὗτοι ἀπὸ*
[[*ὡς δ' ἦλθ* … Xen. An. VI. 1. 1. *ἀπὸ τῆς ἀγορᾶς ἔζων.* Dem. p. 96. *ἐφ'*
οὐρανόν. … *καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει.* de Cor. 198.

837. … *δὲ καὶ ἐξ ὧν ζῇς* etc. Agatharchides ap. Phot. p. 454 a. *τὸν μὲν*
ἱππότ… *ἀφ' αἵματος ζῶσιν.* Schol. ad Eccl. 77. *Λάμιός τις πένης καὶ*
in a … *ξυλοφορίας ζῶν.*
(Sr … *Schol.* *οὐκ, ἀλλά: Οὐχ ὡς ἐν ἀποφάσει, ἀλλ' ὡσεὶ εἶπεν, ἀλλ' αὐτοὶ*
… *ἐκεῖ τινές εἰσιν ἀπὸ τούτων; ἐπεὶ πῶς ἀπαρνησάμενος συντίθεται πάλιν.*

851. *ἄγε νυν ἴωμεν*] Haec servus ad *Ὀπώραν*, quam ad heriles aedes abducit. Cf. 842. Nisi Trygaei ipsius potius haec sunt.

Schol. *ἄγε νυν: Ὁ θεράπων λέγει ἄγε νυν ἴωμεν τῇ Ὀπώρᾳ, ἵνα ἐρωτᾷ τὸν δεσπότην περὶ τῆς Ὀπώρας.*

854. *ἀμβροσίαν λείχειν*] *Κακεμφάτως* dictum, ut monuit schol. Brunckius confert Martial. II. 50. Cf. Ran. 1308.

Schol. *λείχειν ἄνω: Τοῦτο καὶ τὸ ἑξῆς διὰ τὸ κακέμφατόν τινες παραιτοῦνται, (ὅτι ἐπαμφοτεριζόντως λέλεκται, καὶ πρὸς τὸ πρᾶγμα καὶ πρὸς τὸ ἀσελγές).*

855. "Ergo hic quoque parandus est cibus, quem lingat. *Σκευάζειν* est conficere, condire cibum." BENTL.

Schol. *εἰς τὸ κακέμφατον τῆς πόρνης λέγεται.* R. V.

856 sq. Respondent 909 sq. Cf. Ach. 1008 sq.

856. *εὐδαιμονικῶς — πράττει*] Ut *πράττειν καλῶς*, *κακῶς*, *ἄλλως*, etc.

Schol. *εὐδαιμονικῶς:* [[*Στροφὴ ἀμοιβαία κώλων ζ'. ἔχει δὲ καὶ ἀντιστροφὴν τὸ "ἡ χρηστὸς ἀνήρ." καὶ εἰσὶ τοῦ μὲν χοροῦ τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος, τὰ μὲν β' δίμετρα ἀκατάληκτα, τὸ δὲ γ' ἡμιόλιον· ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ αὖθις τὰ τοῦ χοροῦ τρία τοῖς ἄνω κάτισα κώλοις. ὑφ' ἃ παράγραφος καὶ ἡ ἔσω διπλῆ. ἑξῆς δ' ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν ε'. ὑφ' οὓς κορωνίς.*]] *διπλῆ· ἔστι γὰρ μέλος ἀμοιβαῖον τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ, οὗ ἔστι πρῶτον ἐν ἐκθέσει κῶλα*

…αὶ τὸ β' Ἰωνικὸν ἀπὸ μείζονος ἐφθημιμερῆ …ὶ αὐτὸ ἡμιόλιον. ὁ δὲ τοῦ ὑποκριτοῦ …υ. ταῦτα δύναται εἶναι στροφὴ καὶ …σὶ δὲ τοῦ χοροῦ στίχοι ὅμοιοι …ί. δύο δὲ ἐν ἐκθέσει στίχοι …νικῶς ὁ πρεσβύτης τὰ νῦν

… 25. ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ. … Eur. Her. 641. εὐτυχεῖς τὰ νῦν τάδε. …ς θεῶν τὰ νῦν τάδε. Herc. 246. οὐχ ὁ …οδ', ἀλλ' ἐγὼ, τὰ νῦν τάδε. Herod. VII. 104. …άδε ἐστοργὼς ἐκείνους. Alciphr. III. 58. III. 72. πρωτεύει τοῦ συνεδρίου. III. 58. Soph. Aj. 739. τὸ

…ν τάδε: Ἀττικοὶ οὕτως ἔλεγον ἀντὶ τοῦ νῦν. R. Ἀττικῶς … ἀντὶ τοῦ νῦν. V.

…ί δῆτ', ἐπειδὰν —;] Cf. 916. τί δῆτ', ἐπειδὰν ἐκπίῃς οἶνου νέου …στὴν; 863. Ach. 1011. τί δῆτ', ἐπειδὰν τὰς κίχλας | ὀπτωμένας ἴδητε; λαμπρόν] Cf. Soph. El. 685. 1130. Tr. 379.

861. Cf. Eur. Her. 796. νέος μεθέστηκ' ἐκ γέροντος αὖθις αὖ. BE. Schol. ἀντὶ τοῦ γενόμενος. R. οἷον πάλιν ἀνανεάζων. V.

862. μύρῳ κατάλειπτος] Cf. Eq. 1352. σμύρνῃ κατάλειπτος. Schol. μυραλοιφίαις ἀληλιμμένος. V.

863. τῶν τιτθίων ἔχωμαι] Cf. Pl. 1067. τῶν τιτθίων | ἐφάπτεταί σου. Schol. τῆς Ὀπώρας. οἶμαι, φησὶ, πάλιν νέος εἶναι, ὡς προεῖπον. V.

864. τῶν Καρκίνου στροβίλων] Ita vocat Carcini filios ludens in homonymia vocis στρόβιλος, quae et nucem pineam significat et saltationis genus quoddam, quia erant saltatores. Simili ratione eosdem istos vocat ὀρχίλους Vesp. 1513, ludens in vocibus ὀρχεῖσθαι saltare et ὀρχίλος orchilus, avicula quaedam. BE. Pro ὀρχηστῶν στροβουμένων. Anglice, whirlers. Cf. Vesp. 1529. στρόβει, παράβαινε κύκλῳ —. Ubi Carcini filii saltantes compellantur. Pherecrates ap. Plutarch. de Mus. (Mein. II. 327.) Φρῦνις δ' ἴδιον στρόβιλον ἐμβαλών τινα, | κάμπτων με καὶ στρέφων ὅλην διέφθορεν. Menand. IV. 231. στρόβιλος ἐν ὅσῳ συστρέφεται προσέρχεται. Στρόβιλος inter εἴδη ὀρχήσεων enumeratur Poll. IV. 101. Cf. Cic. in Pis. 10. cum illum suum saltatorium versaret orbem. Vesp. 1517. ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς. 1530. βέμβικες ἐγγενέσθων.

Schol. εὐδαιμονέστερος: Ἀντὶ τοῦ κακοδαιμονέστερος, ἐν εἰρωνείᾳ. στροβίλους δέ φησι τούτους ἢ διὰ τὸ τραχὺ τοῦ σώματος ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων· ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι καθάπερ καὶ οἱ στρόβιλοι, [[τουτέστιν οἱ κοχλίαι ἢ οἱ θαλάττιοι κήρυκες]]. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι, (ἐπειδὴ καὶ οἱ στρόβιλοι κώνου ἐπέχουσι δίκην). Ἄλλως. στρόβιλός ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθ' ὃ καὶ ἀλλαχοῦ [v. 789] γυλιαύχενας.

865. *Schol.* *παρατηρητέον ὅτι οὐκ ἐπὶ ἁρμάτων μόνον ἔλεγον ὄχημα.* R. V.

867. *βινεῖν τε καὶ καθεύδειν*] Cf. 341. *βινεῖν, καθεύδειν.*

Schol. *παραγραμμίσαι* (*παραγραμματίσαι?*) *μοι δοκεῖ τοῦ γελοίου χάριν, ἀντὶ τοῦ πίνειν τε καὶ καθεύδειν.* V.

868. *ἡ παῖς*] Sc. *ἡ Ὀπώρα.*

τὰ τῆς πυγῆς καλά] Pro *τὰ τῆς τύχης καλά*, opinor. "Omnia sacris divinis rite praeparata sunt" interpretatur Bergkius Comm. p. 171. Ut in Av. 1118. *τὰ μὲν ἱέρ' ἡμῖν ἐστιν, ὄρνιθες, καλά.* Cf. Phrynich. ap. schol. ad Av. 989. *ἀνὴρ χορεύει καὶ τὰ τοῦ θεοῦ καλά.* Menand. ap. Athen. p. 243. *τὸ* (*τὰ?*) *τῆς θεοῦ γὰρ πανταχῶς ἔχειν καλῶς.* Soph. Oed. R. 977. *τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης | κρατεῖ;* Eur. Iph. T. 467. *τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ* (l. *ἕξει καλῶς*) | *φροντιστέον μοι.* Iph. A. 1404. *τὸ τῆς τύχης δὲ καὶ τὸ τῆς θεοῦ νοσεῖ.* Phoen. 1202. *καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει.* Alc. 788. *τὸ* (*τὰ?*) *τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται.* Tro. 27. *νοσεῖ τὰ τῶν θεῶν.* Thuc. II. 60. *τὰ τῆς ὀργῆς ὑμῶν.* V. 102. *τὰ τῶν πολέμων.* VIII. 42. *τὰ τοῦ οὐρανοῦ.* Dem. p. 43. *εἰ — τὰ τῆς τύχης ἡμῖν ὑπάρξαι.* p. 49. *τὸ τῶν πνευμάτων ἀσφαλές.* p. 53. *τὸ τῶν θεῶν εὐμενὲς καὶ τὸ τῆς τύχης ἡμῖν συναγωνίζεται.* p. 1435. *τὰ τῆς αἰτίας.* Xen. Mem. IV. 8. 8. *τὰ τοῦ γήρως.* Xen. Anab. III. 2. 9. *ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς εἶχεν.* Plut. Caes. 12. *τὰ τοῦ πολέμου — τὰ τῆς εἰρήνης.*

Schol. ⟦*ἡ παῖς λέλουται: Κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν ἐξ ἰαμβείων μα'. ἐπὶ τῷ τέλει κορωνίς.*⟧

869. *πέπεπται*] A *πέττω.* Cf. Pl. 1126. *οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.* 1136. 1142. *ναστὸς εὖ πεπεμμένος.* Eccl. 223. *πέττουσι τοὺς πλακοῦντας ὥσπερ καὶ πρὸ τοῦ.* 843. *πόπανα πέττεται.* Philetaer. III. 297. *οὐδ' ἐν νεκροῖσι πέττεται γαμήλιος* (*πλακοῦς*). Herod. I. 161. *οὐδεὶς — πέμματα ἐπέσσετο καρποῦ* etc.

σησαμῆ] Tanquam ad sponsum; dabatur enim sponsis sesamum. In Avibus v. 159, cum Chorus Avium dixisset *νεμόμεσθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα | καὶ μύρτα καὶ μήκωνα καὶ σισύμβρια*, alter dicit *ὑμεῖς μὲν ἆρα ζῆτε νυμφίων βίον.* BE. Liba sesamina in nuptiis adhibebantur *διὰ τὸ πολύγονον*, ut monet schol. Etiam in rebus sacris mysteriorum adhibebantur *σησαμεῖ*, teste Clem. Alex. Protr. II. 22. Cf. ad Ach. 1092. Hesychius, *Σησαμοῦς: πέμμα ἐκ μέλιτος καὶ σησάμης.* Id. *Σησάμη* (Hippocr. 555, 7): *σησαμίς. καὶ πλακοῦς ἐκ σησάμης.* Distinguit autem scholiasta inter voces *σησαμοῦς* et *σησαμῆ* seu *σησαμίς.*

Schol. *σησαμῆ:* (*Παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι, ὅς ἐστι*) *πλακοῦς γαμικὸς ἀπὸ σησάμων πεποιημένος, διὰ τὸ πολύγονον, ὥς φησι Μένανδρος.* (*σησαμοῦς δὲ καὶ σησαμῆ διαφέρει· σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησαμῆ* (add. *δὲ?*) *ἣν φαμεν ἡμεῖς σησαμίδα.* [Av. 159.] "*σήσαμα δὲ καὶ μήκωνες καὶ σισύμβρια.*" *φύλλα οἷς στεφανοῦνται οἱ νυμφίοι. καὶ σησαμοῦντα πάσσεται.*)

870. *τοῦ πέους δὲ δεῖ*] Similiter fere Lys. 995. *ὀρσὰ Λακεδαίμων πᾶα καὶ τοὶ σύμμαχοι | ἅπαντες ἐστύκαντι, Πελλάνας δὲ δεῖ.*

872. *ἀνύσαντε ... τι*] Cf. Vesp. 1158. *ταςδὶ δ' ἀνύσας ὑποδοῦ τι* (*ὑπόδυθι* vulg.) *τὰς Λακωνικάς.*

Schol. πρὸς οὐδὲν τὸ τι. V.

874. *ἐπαίομεν*] Schol: *ἠλαύνομεν.* Cf. 898. *παίειν, ὀρύττειν.* et ad Lys. 852. *Παιονίδης.* Sed corrigendum videtur *ἐπέμπομεν.*

Βραυρῶνάδ' Herod. VII. 138. *οἱ δὲ Πελασγοὶ — ἐλόχησαν Ἀρτέμιδι ἐν Βραυρῶνι ἀγούσας ὀρτὴν τὰς τὸν Ἀθηναίων γυναῖκας.* Festum *Βραυρώνια* memoratur Lys. 645.

ὑποπεπωκότες] I. e. ante coenae tempus vino longiuscule potato. Cf. ad Av. 494. Lys. 394. Fr. 428.

Schol. ἐπαίσαμεν: Συνουσιάζομεν, ἠλαύνομεν. πόρνη γάρ ἐστιν. ἐν Βραυρῶνι δὲ δήμῳ τῆς Ἀττικῆς πολλαὶ πόρναι. ἐκεῖ δὲ καὶ τὰ Διονύσια ἤγετο, καὶ καθ' ἕκαστον δῆμον, ἐν οἷς ἐμέθυον. μεθύοντες δὲ πολλὰς πόρνας ἥρπαζον. R. V.

875. *Schol. καὶ μόλις ταύτης ἐγκρατεῖς γεγενήμεθα.* V.

876. *πρωκτοπεντετηρίδα*] Schol: *παρόσον διὰ πενταετηροῦς χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων.* Quatenus quinquennalia erant sacra illa Dionysiorum nempe in Braurone. BE. Cf. Herod. III. 97. *διὰ πεντετηρίδος* (*πενταετ.*?) *ἀγίνεον.* IV. 94. VI. 111. Pind. Ol. XI. 57. *πενταετηρίδ' — ἔστασεν ἑορτάν.* Virg. Aen. III. 301. "trieterica — orgia." Sensus hic videtur esse, Quantam culus iste quinto quoque anno voluptatem affert! Simile comica licentia fictum vocabulum est *καταπριακοντουτίζειν* Eq. 1391.

Schol. πρωκτοπεντετηρίδα: Παρόσον διὰ πενταετηροῦς χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων.

877. *ὑμῶν*] Ad spectatores.

879. *οὗτος, τί περιγράφεις;*] Cum audiret servus Trygaeum velle meretricem alicui servandam dare, statim cogitabat, O si mihi daretur! et oraturus erat; sed timebat repulsam, nec immerito, quis enim ovem lupo committat? Itaque gestus edebat quales solent meditabundi et solliciti. Scholiastes Eurip. Orest. 631. *ὡς τῷ ποδὶ τὸ ἔδαφος περιγράφοντος αὐτοῦ καὶ διστατικῶς ἔχοντος καὶ ἀναλογιζομένου εἰ δέον ταῦτα ποιεῖν· ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν τοῖς πράγμασι.* Suavissime Aristaenetus Lib. I. Epist. 15. de puella aliquid magni petitura: *ἀλλ' εἰς γῆν ἑώρα τὸ πρόσωπον ὥσπερ τι συννοουμένης· εἶτα ἔφης ἐπιχαρίτως πεφοινιγμένη τὰς παρειὰς καὶ τὸ πρόσωπον ἐξ αἰδοῦς ἀποκλίνασα, καὶ πῇ μὲν τῆς ἀμπεχόνης ἄκροις δακτύλοις ἐφαπτομένη τῶν κροσσῶν πῇ δὲ περιστρέφουσα τοῦ ζωνίου τὸ ἄκρον, ἔστι δὲ ὅτε καὶ τοὔδαφος περιχαράττουσα τῷ ποδί. ταῦτα δὴ τὰ τῶν αἰδουμένων ἐν διαπορήσει κινήματα· ἔφης οὖν μόλις ἠρεμαίᾳ φωνῇ, Ἐπίνευσον, ὦ βασιλεῦ* etc. BE. Cf. ad Ach. 31. *ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι.* Schol: *οἱ γὰρ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους.* Hoc ideo videtur servo dicere quia ille Theoriam immodeste tractat. V. schol. Cf. Eupol.

ap. Poll. IX. 102. (II. 525. Mein.) *οὔκουν περιγράψεις ὅσον ἐναριστὴν κύκλον;* Herod. VIII. 137. *περιγράφει τῇ μαχαίρῃ ἐς τὸ ἔδαφος τοῦ οἴκου τὸν ἥλιον.* VII. 60. *περιέγραψαν ἔξωθεν κύκλον.*

τὸ δεῖν'] Anglice, you know. Cf. ad Vesp. 524. Av. 648.

εἰς Ἴσθμια] Isthmiorum mentionem facit quia de meretrice sermo est; erant autem plurimae meretrices Corinthi, quae in Isthmo est sita. Quid autem revera per *Ἴσθμια* hic et *σκηνὴν τῷ πέει* intelligatur facile cogitabit qui consideraverit quid sit Isthmus: Aequora bina suis obtundunt fluctibus Isthmon. Obex, quo rupto Ionium Aegeo miscebitur. BE. *Κακεμφάτως* haec accipienda. Cf. Thesm. 647. *ἰσθμόν τιν' ἔχεις.*

Schol. εἰς Ἴσθμια: Οἱ γὰρ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους. εἰς Ἴσθμια δὲ εἴρηκεν ἅμα ὅτι καὶ ἀγὼν Ἰσθμιακός, καὶ διὰ τὴν στενότητα τοῦ αἰδοίου τῆς πόρνης. διὸ καὶ εἶπε "τῷ πέει σκηνὴν ποιῶ." στενὸς δὲ καὶ ὁ Ἴσθμος. πάσας δὲ τὰς πανηγύρεις θεωρίας ἐκάλουν. R. V.

(*στενοῦ γὰρ ὄντος τοῦ τόπου πάντες προλαβεῖν σπεύδουσιν, ἐπεὶ οὐχ εὑρίσκουσι ξενίαν. πιθανῶς δὲ οὔτε Ὀλύμπια οὔτε Πύθια εἶπεν. Ἄλλως.*) *εἷς τῶν θεατῶν τὰ ἰσχία τῆς Θεωρίας καταλαμβάνει καὶ ἐφάπτεται περιφέρων τὸν δάκτυλον. ἅμα οὖν πρὸς τὴν Θεωρίαν τὰ Ἴσθμια. ἐπιτιμᾷ δὲ ὁ δεσπότης ὡς ἁπτομένῳ τῶν ἰσχίων αὐτῆς. περιγράφειν γάρ ἐστι τὸ περιορίζειν ἁπτόμενον.* (*τῷ δακτύλῳ περιέγραφε τὰ ἰσχία. Ἄλλως. τὸ λεγόμενον τοιοῦτόν ἐστι. προκαταλαμβάνω θήκην ἐμαυτῷ ταῖς ἡδοναῖς. ἐπεὶ δ' ἐν Ἰσθμῷ διὰ τὴν τοῦ τόπου στενοχωρίαν οὐκ ἔστι ξενίας ἐπιτυχεῖν εὐχερῶς, ἔθος τῇ πανηγύρει τῶν Ἰσθμίων πρόπαλαι καταλαμβάνειν τὰς σκηνὰς τοῖς πανηγυρίζειν βουλομένοις.*) R. V.

διττὴ ἡ ἑρμηνεία. πρός τε τὴν Θεωρίαν καὶ πρὸς τὴν γυναῖκα. V.

παρεπιγραφή· ἁπτόμενος γὰρ αὐτῆς τῆς πυγῆς καὶ θαυμάζων καὶ τοῖς θεαταῖς ἐπιδεικνύμενος τὸ αἰδοῖον. πενταετηρίδα δὲ προσέθηκε τὸ ἔργον τῆς θεωρίας· διὰ πενταετοῦς γὰρ ἐπιτελοῦνται τὰ Διονύσια. ἢ ὅτι διὰ πέντε ἐτῶν εἶδον τὴν θεωρίαν. V.

880. *σκηνὴν — καταλαμβάνω*] Nostri fabulae titulus fuit *Σκηνὰς καταλαμβάνουσαι.* Heniochus ap. Stob. Flor. 43, 27. *τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ | Ὀλυμπία, τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ | σκηνὴν ὁρᾶν θεωρικὴν νομίζετε.* Dem. p. 572. *θέαν τινὸς καταλαμβάνοντος ἥψατο.* Lucian. Herm. 39. *Εὐανδρίδου — θέαν μοι προκαταλαβόντος ἐν τοῖς ἑαυτοῦ πολίταις.* Id. de Salt. 85. *καὶ ἐμοὶ παρὰ σεαυτῷ θέαν καταλαμβάνειν.* Arg. Dem. Or. I. *πάντων καταλαμβάνειν τόπον σπευδόντων* (sc. in theatro). Eccl. 21. *καταλαβεῖν — ἕδρας.* 86. Schol. Theocrit. XV. 16. *ἐν ταῖς πανηγύρεσι σκηνὰς ἐποίουν οἱ πωλοῦντες.*

881. *δεῦρο σύ*] Theoriam alloquitur. Eandem compellat 874. *ἄγε δὴ σὺ κατάθου* etc.

Schol. ὁ δυνάμενος φυλάξαι τὴν Θεωρίαν ἕως αὐτὴν παραδῷ τῇ βουλῇ. R.

882. *ἐς μέσους*] Eur. Hec. 531. *κἀγὼ παραστὰς εἶπον ἐν μέσοις τάδε.* Iph. A. 528. Iph. T. 45. Soph. Phil. 630. *δεῖξαι — Ἀργείοις μέσοις.*

Schol. τοὺς θεατὰς ἢ τὸ βουλευτήριον. R.

883. *Schol.* τεχνικῶς περὶ τῆς θεωρίας διαλεγόμενος ἐκείνου ἀνθάπτεται· ἅμα καὶ ὅτι ἐν ταῖς θεωρίαις ζωμοὶ γίνονται ἀπὸ τῶν βοῶν τῶν θυομένων, ἅμα δὲ ὅτι λείχτης διεβάλλετο ὁ Ἀριφράδης καὶ μεμηνὼς ἐπὶ γυναιξίν. ὡς φοινικιστὴς γὰρ λοιδορεῖται, ὅπερ καὶ ἐκ τοῦ προσπεσὼν δηλοῖ. R. V.

ἔφην ὅτι ὡς ἀρρητοποιὸν αὐτὸν διαβάλλει. ὁρᾷς οὖν ὡς ἐπαμφοτεριζούσαις χρῆται ταῖς λέξεσιν, ὡς καὶ ἐπὶ τῆς θεωρίας διαλεγόμενος κἀκείνου καθαπτόμενος. ἐκλάψεται δὲ ἐκπίεται καὶ ἐκροφήσει. καὶ τὸ σχῆμα δὲ τῆς αἰσχρουργίας διὰ τοῦ προσπεσὼν δείκνυσιν. V.

885. τὸν ζωμὸν αὐτῆς — ἐκλάψεται] Quatenus Theoria est, festorum et sacrificiorum celebratio per ζωμὸν intelligitur, jus culinarium; sed quatenus meretrix, intelligitur ἡ ἀπόπτυστος δρόσος, quam solebat Ariphrades ἐν τοῖς κασαυρίοισι λείχειν, ut de eo loquitur in Equitibus v. 1285. Sequentia etiam, quae dicit de Theoria, duplicem habent sensum. BE. Cf. Eccl. 847. Σμοῖος τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια. Erat autem iste Smoeus αἰσχροποιός, teste schol.

ἐκλάψεται] Cf. Ach. 1229. ἄμυστιν ἐξέλαψα.

886. Idem versus Eq. 155. Ad Theoriam et haec dicta. Jubet eam omnia ornamenta sua et supellectilem scenicam humi deponere, ne mox ad spectatores abitura meretrix ornamenta scenica secum auferat. Ad servum haec dicta censet Richter. Vide schol.

Schol. τὰ σκεύη: Ἀντὶ τοῦ τὰ μαγειρεῖα, διὰ τὸ θύειν ἐν ταῖς πανηγύρεσιν. ἢ πρὸς τὴν Θεωρίαν λέγει φέρουσάν τινα εἰρήνης καὶ γεωργίας σύμβολα. R. V.

887. *Schol.* πρυτάνεις: (Τῆς γὰρ βουλῆς ἐπρυτάνευον δέκα, ἄλλοι δέ φασιν ὀκτώ.) τὸν λόγον ἀπέτεινε λοιπὸν πρὸς τὴν βουλὴν ὡς παραδιδοὺς τὴν Θεωρίαν. R. V.

889. ἄραντας — τὼ σκέλη] Eccl. 265. εἰθισμέναι γάρ ἐσμεν αἴρειν τὼ σκέλη. Martial. Epigr. XI. 71. 8. tolluntur que pedes.

890. ἀνάρρυσις vocabatur secundus Apaturiorum dies. Sed obscena in his est allusio ad τὴν τοῦ σπέρματος ῥύσιν. BR. Suidas, Ἀναρρύει: ἀντὶ τοῦ θύει καὶ σφάττει. Εὔπολις. καὶ ἡ Θυσία δὲ ἀνάρρυσις. Hesychius, Ἀνάρρυσιν: τὴν τελετήν. Id. Ἀναρρύει: σφάζει, θύει. Eupol. II. 576. ἀναρρύει.

Schol. ἀνάρρυσις: Ἀνάρρυσις μία τῶν Ἀπατουρίων ἡμέρα. Ἀπατούρια δὲ ἑορτὴ παρ' Ἀθηναίοις (τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ ἀναρρύειν τὸ ἐπιθύειν, ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν Ἀπατουρίων, δόρπεια, κουρεῶτις, ἀνάρρυσις. τὴν δ' αἰτίαν καίπερ ἐν ἄλλοις [ad Eq. 146] ῥηθεῖσαν ἡμῖν οὐ χεῖρον κἀνταῦθα θεῖναι. Ἀθηναίων γὰρ περὶ Κελαινῶν πρὸς Βοιωτοὺς πόλεμον ἀραμένων Ξάνθος Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. καὶ οὗτος μὲν οὐκ ἐδέξατο, Μελάνθιος δέ τις Ἀρκὰς τὸ γένος ἐν Ἀττικῇ ὢν καὶ οἰκῶν ὑπέστη τὸ μονομάχιον καὶ κατελθόντων αὐτῶν εἰς τὸ ἀφωρισμένον πεδίον ἐπὶ τὸ μονομαχῆσαι ὁ Μελάνθιος δόλῳ ἀναιρεῖ τὸν Ξάνθον. προσ-

ιόντι γὰρ αὐτῷ ἔφη "ἀδικεῖς, ὦ Ξάνθε, μόνος φήσας παραγενέσθαι καὶ δεύτερος παραγενόμενος." ἐφ' ᾧ στραφεὶς ὁ Ξάνθος ὡς θεασόμενος τὸν ἥκοντα ἐτρώθη παρὰ Μελανθίου καὶ ἀπώλετο. ἀφ' οὗ καὶ τὴν ἑορτὴν Ἀθηναῖοι ταύτην ἄγουσιν, ἀπὸ τῆς ἀπάτης Μελανθίου Ἀπατούρια προσαγορεύσαντες. τινὲς δέ φασι τὸν Διόνυσον παραστῆναι τῷ Ξάνθῳ σὺν ἀγροικικῷ σχήματι, ὃν θεασάμενος Μελάνθιος τὰ εἰρημένα διεπράξατο· ὅθεν καὶ αὐτῷ ἦγον τὴν ἑορτὴν ταύτην.)

(πόλεμος γὰρ τοῖς Ἀθηναίοις) συνέστη πρὸς Βοιωτούς. ἡγεῖτο δὲ τῶν μὲν Βοιωτῶν Ξάνθος, ἐβασίλευε δὲ τῶν Ἀθηναίων Θυμοίτης κατ' ἐκεῖνο καιροῦ τῇ ἡλικίᾳ ἤδη γέρων. ὁ οὖν Ξάνθος ὁ τῶν Βοιωτῶν προεκαλέσατο εἰς μονομαχίαν τὸν Θυμοίτην, ἐφ' ᾧ, εἰ μὲν αὐτὸς νικήσει, κρατήσει (κρατῆσαι?) καὶ τῆς τῶν Ἀθηναίων ἀρχῆς, εἰ δὲ ὁ Θυμοίτης, καὶ τῆς τῶν Βοιωτῶν. (ὁ οὖν Θυμοίτης οὐ βουλόμενος διὰ τὸ γῆρας, ἵνα μὴ διὰ τὴν αὐτοῦ ἀσθένειαν ἡ πατρὶς ἄλλῳ δουλεύσῃ, ἀνεκήρυξε τῷ μονομαχοῦντι τὴν ἀρχήν.) R. V.

891. *τουτὶ δ', ὁρᾶτ', ὀπτάνιον* —] Hic autem culina, eccam, vobis est quam bella!

τοὐπτάνιον] Quatenus Theoria est festorum celebratio, *ὀπτάνιον* est culina, ubi post sacrificium carnes coquuntur; quatenus meretrix, *τὸ αἰδοῖον*, quod monstrat. BE. Cf. ad Vesp. 1372—1375. Attici *ὀπτάνιον* dicebant. V. Phrynich. p. 120. Etym. p. 629, 12. Cf. Eq. 1033. Alex. ap. Athen. p. 386 A. *ὀπτάνιον ἔστιν; Β. ἔστι. Α. καὶ κάπνην ἔχει:* | *Β. δηλονότι.*

Schol. *(τοὐπτάνιον: Τὸ μαγειρεῖον, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα, ὅπερ καὶ μᾶλλον. Ἄλλως. τὸ αἰδοῖον αὐτῆς δείκνυσι. τὸ κεκάπνικε δὲ, ἐπειδὴ μέλαν ἐστὶ διὰ τὰς τρίχας. καὶ αὕτη διαφέρει ἡ ἐξήγησις τοῦ λέγοντος αὐτὴν ἀποπνευματίσαι, ἣν καὶ ἐπλάσαντο τὴν ἄλλην μὴ νοήσαντες.)*

892. *διὰ ταῦτα καὶ κεκάπνικ' ἄρ'*] Propterea (sc. quia *ὀπτάνιον* est) fuligine nigra est. Recte schol: *τὸ αἰδοῖον αὐτῆς δείκνυσι. τὸ κεκάπνικε δὲ ἐπειδὴ μέλαν ἐστὶ διὰ τὰς τρίχας.* Similis locus est Vesp. 1374. *τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς (αὐτῇ?) τοὐν μέσῳ;* | *ΦΙ. ἡ πίττα δήπου καομένης ἐξέρχεται.*

Schol. *καὶ κεκάπνικ': Ὡς ἀποπνευματισάσης. τὸ δὲ κεκάπνικεν ὡς ἐπὶ ὀπτανίου.*

893. *λάσανα*] Forica, sella portabilis, unde servus *λασανοφόρος* Plut. Apoph. Reg. I. Phot. p. 209, 9. *λάσανα. — καὶ ἐφ' ὧν ἀπεπάτουν ἔλεγον.* Poll. X. 44. 45. Cf. Fr. 80. *πόθεν ἂν λάσανα γένοιτό μοι;* Eupolis II. 519. *ἐμοὶ γὰρ οὐκ ἔστ' οὐδὲ λάσαν' ὅπου χέσω.* Pherecr. II. 281. *λάσανα καταθεὶς πέρδεται.* Plat. com. II. 655. *Χυτρόποδας* ollas intelligit Richter. "Ita culinarias res enumerat *πρὸς τὸ κακέμφατον* omnes. Diocles ap. Poll. X. 99. *ἀπὸ λασάνων θερμὴν ἀφαιρήσω χύτραν.* Unde colligas Comicum ventrem mulieris cum *χύτρᾳ* comparasse vel potuisse comparare."

Schol. τὰ λάσανα: Ὅτι οὕτως οἱ χυτρόποδες. ἐπεὶ δὲ εἶπε τὸ ὀπτάνιον, ἐπήγαγε. καὶ τὰ λάσανα. δηλοῖ δὲ τοὺς δασεῖς αὐτῆς μηρούς. δηλοῖ δὲ καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

894. *Schol.* (ἐξέσται ποιεῖν: Οὐδὲν εὐφυέστερον τῆς παρενθέσεως, ἵνα ἐπὶ πλέον χρήσασθαι δυνηθῇ τοῖς μέσοις ῥήμασιν.)

896—902. Nihil est in superioribus quod facile non intelligatur e notis in praecedentes fabulas. *Τετραποδηδὸν ἑστάναι* schema innuit, de quo ad Lys. 231. et ad Eq. 1386. *Κέλης* in re venerea quid sit declaratum in nota ad Lys. 60. Faceta in metaphora pergens *ἅρματα* v. 901. dicit pro *σώματα*. Explicatur *προσκινήσεται* e Lys. v. 227. *κακῶς παρέξω κοὐχὶ προσκινήσομαι*. Denique languentis penis post rem peractam imago postremis versibus depingitur. BR.

Schol. ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας.

896. *ἐπὶ γῆς παλαίειν*] Athletarum *τοὺς χαμαὶ τρόπους*, ut vocabantur, dicit.

Schol. ἐπὶ γῆς παλαίειν: (Ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας.) — ὡς ἐπὶ συνουσίᾳ λέγει. R.

τετραποδηδὸν ἑστάναι] Schol. Av. 1553. *τετραποδηδὸν βαδίζοντας*.

896 b. *πλαγίαν*] Ovid. A. A. III. 788. c u m j a c e t i n d e x t r u m s e m i s u p i n a l a t u s.

καταβάλλειν] Sc. *χαμᾶζε*. Anglice to t h r o w. Cf. Eq. 496. *μέμνησό νυν | δάκνειν, καταβάλλειν*.

ἐς γόνατα κύβδ᾽ ἑστάναι] Cf. Lys. 231. *οὐ στήσομαι λέαιν᾽ ἐπὶ τυροκνήστιδος*. Th. 490. *ἠρειδόμην — κύβδ᾽ ἐχομένη τῆς δάφνης*. Eq. 365.

897. *παγκράτιον*] Additurus videbatur *μάχεσθαι* ut in Vesp. 1191, aut *ἀγωνίζεσθαι* ut in Xen. An. IV. 8. 27. *πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον ἕτεροι* (*ἠγωνίζοντο*), sed pro eo infert verba *παίειν*, *ὀρύττειν* etc., quae modum pugnandi describunt. Cf. ad Ran. 1368. *εἴπερ γε δεῖ καὶ τοῦτό με* (sc. *ποιεῖν*), | *ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τέχνην*.

ὑπαλειψαμένοις] Plat. Lach. 185. *ὑπαλείφεσθαι* (*φάρμακον*).

898. *νεανικῶς παίειν*] Cf. Vesp. 1307. *κἄτυπτον ἐμὲ νεανικῶς*.

παίειν —] Schol: *παρὰ τὸ λεγόμενον* "*πὺξ ὁμοῦ καὶ τῷ σκέλει.*" *Κακεμφάτως*. Cf. ad 874. et ad Lys. 852. *Παιονίδης Κινησίας*. Dem. p. 1150. *εἰσιόντος δέ μου παίει πὺξ ὁ Θεόφημος τὸ στόμα*. p. 1252, 8. *παίει με πύξ*. Xen. An. V. 8. 16. *ἔπαισα πύξ*. Plut. Cat. maj. 20. *τῇ χειρὶ πὺξ παίειν*, Simonid. Fr. 155. *νικῶ πύξ*. Hesiod. Scut. 302. *οἱ δ᾽ ἐμάχοντο | πύξ τε καὶ ἑλκηδόν*.

ὀρύττειν] F o d i c a r e, obsceno sensu, ut in Av. 442. Eodem sensu *διορύττειν* legitur Nub. 714. *καὶ τὸν πρωκτὸν διορύττουσιν*, et *κατορύττειν* ap. Pherecratem Plutarch. de Mus. p. 1146. *ὁ δὲ Τιμόθεός μ᾽, ὦ φιλτάτη, κατορώρυχεν | καὶ διακέκναικ᾽ αἴσχιστα*.

τῷ πέει] Pro *τῷ σκέλει*. Cf. ad Eq. 272.

Schol. πὺξ ὁμοῦ: Παρὰ τὸ λεγόμενον "πὺξ ὁμοῦ καὶ τῷ σκέλει." παρὰ προσδοκίαν οὖν ἀντὶ τοῦ τῷ σκέλει, δεικνύς τε τὰ μὲν ὡς ἐπὶ παλαισμάτων, τὰ δὲ ὡς ἐπὶ γυναικείων σχημάτων.

899. *Schol.* *ἱπποδρομίαν*: *Τὸ γὰρ παλαιὸν ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν τοῖς ἀγῶσι.*

900. *ἵνα δή*] Sic *οὗ δὴ* Th. 1150. *ἔνθεν δὴ* Ran. 826. *ἔνθι δή*, etc.

κέλης κέλητα —] Cf. Hor. Serm. II. 7. 50. Clunibus aut agitavit equum lasciva supinum. In Vesp. 500. *κἀμέ γ' ἡ πόρνη — ὅτι κελητίσαι 'κέλευον, — ἤρετ' εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα.* BR. Cf. ad Lys. 60. Herod. VII. 86. *ἤλαυνον δὲ κέλητας καὶ ἅρματα.* Plat. Lys. 205. *νίκας Πυθοῖ — τεθρίπποις τε καὶ κέλησι.* Hinc *κελητίζειν* Vesp. 501. Th. 153.

παρακελητιεῖ] *Κακεμφάτως*. Cf. ad Vesp. 501. Th. 153. *οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποιῇς;*

Schol. *κέλης κέλητα*: *Παρὰ τὴν συνουσίαν καὶ τοὺς κέλητας ἵππους, οἵ εἰσι μονάτορες.*

901. *ἅρματα*] Pro *σώματα*.

ἀνατετραμμένα] Cf. Ran. 543. *ἐν στρώμασιν Μιλησίοις ἀνατετραμμένος κυνῶν ὀρχηστρίδα.*

Schol. *ἅρματα*: *Ἀντὶ τοῦ εἰπεῖν σώματα ἅρματα εἶπε. τῇ δὲ τρίτῃ τῶν Ἀπατουρίων ἱπποδρομία ἤγετο. — ἀνατετραμμένα ἀντὶ τοῦ περικείμενα ἀλλήλοις τὰ σώματα.* R.

902. *προσκινήσεται*] *Κακεμφάτως* et hoc. Cf. Lys. 227. *κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.* Eccl. 256. Martial. XI. 105. 11. nec motu dignabor opus.

Schol. (*προσκινήσεται*: *Ὅρα τὸ ἀστεῖον οἷον· δῆλον γάρ ἐστιν ὃ διὰ τῆς τροπῆς λέγει.*)

903. *ἀπεψωλημένοι*] Pl. 295. Ach. 592.

904. In flectendis metis saepe flebat ut aurigae curribus evolverentur. Cf. Soph. El. 720. 744.

Schol. (*καμπαῖς*: *Συστροφαῖς. καὶ κάμπιος δρόμος ὁ οὐκ εὐθὺς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων.*)

905. Senatum et Prytanes alloquitur, qui locum certum in theatro (*τὸ βουλευτικὸν*) occupabant. Vide Av. 794. Theoria hic, meretricula aliqua conducta, ad spectatores se abripit, ut ille in Nub. 1102, qui Justitiae personam sustinet.

Schol. (*ἀλλ' ὦ πρυτάνεις*: *Τοῖς πρυτάνεσιν ἔθος ἦν προσαγαγεῖν τοὺς δεομένους εἰς τὴν βουλήν. καὶ δῆλον ὅτι ἐδωροδοκοῦντο παρὰ τῶν χρῃζόντων προσελθεῖν, καὶ εἰ μέν τις αὐτοὺς ἐχρημάτιζε, προθύμως συνεπελαμβάνοντο, τοὺς δὲ προῖκα προσιέναι θέλοντας οὐκέτι μετ' ἴσης σπουδῆς προσῆγον. σκώπτει γοῦν αὐτοὺς ὡς ἥττους ὄντας λήμματος.*)

906. *ὁ πρύτανις*] "Prytanum avaritiam carpit, ut qui gratis petitorem nullum in Senatum admitterent, induciarum forensium nomen praetexentes. Vulgo enim dicebant: *ἐκεχειρία ἐστὶν, οὐ δυνάμεθα εἰσάγειν.* Etsi non tam amarent *ἐκεχειρίαν* quam *τοὺς ἔχοντάς τι ἐν ταῖς χερσίν.*" Verba sunt Sam. Petiti ad Leg. Att. p. 273. Alludit etiam ad *ὑπέχειν τὴν χεῖρα*, quod *προτείνειν* dixit Thesm. 936. *ὦ πρύτανι, πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς | κοίλην προτείνειν, ἀργύριον ἤν τις διδῷ.* BR.

Quasi *ὑπέχοντα τὴν χεῖρα* (*κοίλην*). Cf. 431. *ὕπεχε τὴν φιάλην*. Ach. 1063. Diogen. III. 12. *Ἀττικὸς ὑπέχει τὴν χεῖρα ἀποθνήσκων*: *ἐπὶ τῶν φιλαργύρων. Φιλοκερδεῖς γὰρ οἱ Ἀθηναῖοι*. Lysias c. Ergocl. § 9. *ὁρῶ δ' αὐτοὺς — ὠνουμένους τὰς αὐτῶν ψυχὰς καὶ παρὰ τῶν λεγόντων — καὶ παρὰ τῶν πρυτάνεων, καὶ πολλοὺς Ἀθηναίων ἀργυρίῳ διαφθείρειν.*

907. *ἀλλ' οὐκ ἄν,* —] Cf. Nub. 5. *ἀλλ' οὐκ ἂν πρὸ τοῦ.*

εἴ τι προῖκα —] Si quid tibi gratis introducendum esset, sc. ad senatum. "Prytanes introducebant eos qui senatum vellent convenire, sed id aegre faciebant gratis. Ex scholiis." BE.

Schol. ἀλλ' οὐκ ἂν εἴ τι προῖκα: *Τοῖς πρυτάνεσιν ἔθος ἦν προσάγειν τοὺς δεομένους προσόδου ἐν τῇ βουλῇ. ἐδωροδοκοῦντο δὲ παρὰ τῶν δεομένων. τὴν δὲ ἐκεχειρίαν ἅμα μὲν ὡς προφασιζομένων "ὅτι ἐκεχειρία ἐστὶν, οὐ δυνάμεθα σήμερον προσαγαγεῖν" καὶ μὴ προσαγόντων τῇ βουλῇ τοὺς μὴ δεδωκότας αὐτοῖς τῶν δεομένων, ἅμα δὲ πρὸς τὸ ὑπέχειν τὴν χεῖρα ἐπὶ τῷ λαβεῖν. (ἀναβάλλονται γὰρ ἐπὶ τῶν μηδὲν διδόντων οὕτως. ἐκεχειρία δὲ ἡ ἀνοχὴ τοῦ πολέμου, παρὰ τὸ ἀπέχειν τὰς χεῖρας· νῦν δὲ παίζει τὸ ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων.)*

908. *ὑπέχοντα τὴν ἐκεχειρίαν*] Justitium praetendentem vel caussantem. Anglice, submitting that it is a holiday, that there is no sitting, cum allusione ad phrasin *ὑπέχειν τὴν χεῖρα*, sc. ad munus accipiendum, et *ἔχειν τι ἐν τῇ χειρί*, sc. ab iis qui introduci ad senatum cupiunt. Cf. Eq. 1083. Menand. ap. Stob. Fl. 10. 20. *ὅστις ὑπέχει χρυσίῳ | τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται.* Dem. p. 421. *προτείνας καὶ ὑποσχὼν* (*τὴν χεῖρα*). De verbo *ὑπέχειν* (to hold under) cf. 431. Ach. 1063. Lys. 841. Th. 756. Eccl. 820. Sic alibi *προφάσεις παρέχειν*. Av. 581. *οὐκ ἐθελήσει μὰ Δί', ἀλλ' ὄψει προφάσεις αὐτὴν παρέχουσαν.* "*Ἐκεχειρία* sunt induciae et metaphorice feriae et vocationes quaevis. Nunc alludit etiam ad *ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων*, ut dicit schol., i. e. habere aliquid (scil. munusculi) in manibus ab iis qui volunt introduci in senatum." BE.

Schol. ἀλλ' εὗρον ἄν σ' ὑπέχοντα: *Ἀλλὰ κατέλαβόν σε ὑπέχοντα τὴν χεῖρα ἑτοίμην πρὸς τὸ λῆμμα. ἐπειδὴ ἐκεχειρίαι τότε πρὸς τοὺς Λάκωνας ἦσαν αὐτοῖς, πρὸς τοῦτο ἔπαιξεν, ἅμα καὶ σκώπτων αὐτοὺς ὡς ἥττους λήμματος.*

(τὴν ἐκεχειρίαν: Ἐκεχειρία ἡ ἀνοχὴ, ὅτι δεῖ τὰς χεῖρας ἀπέχειν τῶν ἔργων. νῦν δὲ παίζει πρὸς τὸ ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων. παρὰ τὴν χεῖρα δὲ παίζει, ἐπεὶ εἰώθασι λέγειν "ἐκεχειρία ἐστὶν, οὐ δυνάμεθα σήμερον εἰσάγειν.")

909. *χρηστός*] Utilis. Cf. Thesm. 832. *ἄνδρα χρηστὸν τῇ πόλει*. Eq. 1304. *ἄνδρα μοχθηρὸν πολίτην*. 944. *ἀγαθὸς πολίτης*. Ran. 1041. *ἄνδρα πολίτην*. Ach. 595. *πολίτης χρηστός*. Lys. 351. *χρηστοὶ — ἄνδρες*. Plat. Prot. 319 A. *ἄνδρας ἀγαθοὺς πολίτας*. Aesch. Ag. 855. *ἄνδρες πολῖται.*

Schol. [[*χρηστὸς ἀνήρ*: *Ἰδοὺ ἡ ἀντιστροφὴ τῆς "εὐδαιμονικῶς" στροφῆς, ἄλλα τε ὅσα ἐκείνη καὶ τὸ κατὰ περικοπὴν ἔχουσα σύστημα. ἐπὶ*

τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ τῆς ἀντιστροφῆς· τὰ γὰρ τετράμετρα τῶν ἰαμβείων παραγράφῳ περατοῦται.]]

(πολίτης ἐστίν: Οὔτε συμπολίτην οὔτε συνδημότην λέγουσιν. ὁ μέντοι Εὐριπίδης που [Heraclid. 826] λέγει "ὦ συμπολῖται τῇ τε βοσκούσῃ χθονὶ | καὶ τῇ τεκούσῃ νῦν τιν' ἀρκέσαι χρεών.")

916. λεπαστήν] Poculi quoddam genus sic dictum a λεπὰς mytilus, ut ἐχῖνος a cognomine vocábulo, quod echinum maritimum significat: haud dubie utrumque propter formae similitudinem. De voce λεπαστὴ seu λεπάστη (de accentu enim ambigitur) exponit Athenaeus p. 484 F. Poculum satis magnum fuit λεπαστή. Fr. 209. λεπαστὴν — σφόδρα κυανοβενθῆ. Pher. II. 294. λεπαστὴν — μεστὴν ἐκχαριβδίσαι. Teleclid. II. 368. οἶνον ἕλκειν ἐξ ἡδύπνου λεπαστῆς. Hermipp. II. 400. τήνδε τὴν λεπαστὴν ἐκπιών. Theopomp. II. 808. λεπαστὴ — ἣν ἐκπιοῦσ' ἄκρατον etc. II. 802. κώθωνα — λεπαστήν. Philyll. II. 858. γρᾴδι' ἣν μεγάλαισιν οἴνου χαίροντα λεπασταῖς. Antiph. III. 23. γεννικῇ τὸ μέγεθος κοίλῃ λεπαστῇ. Anaxandr. com. III. 183. (26) φίαλην τε λεπαστήν. Apolloph. com. II. 881.

Schol. λεπαστὴν: Εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ. οὕτως ὁ Σύμμαχος· ὁ δὲ Παλαμήδης τὸ πιθάριον ἐκδέχεται.

918. πολλοῦ γὰρ ὑμῖν ἄξιος —] Cf. Pl. 877. πολλοῦ γ' ἄξιος ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς οὗτος, εἰ —. Ach. 633. φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητὴς | παύσας ὑμᾶς — ἐξαπατᾶσθαι. 8. ἄξιον γὰρ Ἑλλάδι. Trag. inc. Fr. 169. πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ. Hom. Od. θ'. 405. πολέος δέ οἱ ἄξιον ἔσται. Thuc. IV. 81. ἄνδρα — πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. Plat. Symp. 185. πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις. Crit. p. 46 B. Xen. An. II. 1. 14. ὡς — βασιλεῖ ἂν πολλοῦ ἄξιοι γένοιντο. Mem. I. 1. 1. ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Dem. p. 503. εἰ πολλοῦ τῇ πόλει Δεινίας ἄξιον αὑτὸν παρέσχηκεν. Lysias XII. 21. οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει. XXXII. 28. ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς. Aristid. Or. pro Quat. ὡς οὔ τινος ἄξιος γένοιτο — τῇ πόλει. Lucian. VII. 73. ἀντὶ ἀνδραπόδου κόσμιον ἄνδρα καὶ σώφρονα καὶ πολλοῦ ἄξιον τοῖς Ἕλλησιν ἀπέδειξα.

919. Τρυγαῖος ἀθμονεύς] Cf. 190.

920. δημότην] I. q. δημοτικόν. Xen. Mem. I. 2. 59. τοὺς δημότας (plebeios) καὶ πένητας.

Schol. δημότην: Ἀντὶ τοῦ δημοτικόν.

921. τὸν — γεωργικὸν λεών] Cf. Ach. 162. ὁ θρανίτης λεώς. Aesch. Eum. 997. ἀστικὸς λεώς. Pers. 383. ναυτικὸν λεών. Soph. Fr. 759. πᾶς ὁ χειρῶναξ λεώς. Eur. Iph. A. 295. ναυβάταν — λεών.

Ὑπέρβολόν τε παύσας] Cf. 1319. καὶ Ὑπέρβολον ἐξελάσαντας. Eq. 330 ὅς σε παύσει. Eq. 877. ἔπαυσα τοὺς βινουμένους. Pl. 505.

922. *Schol.* [[ἄγε δὴ τί νῷν: Κορωνὶς ἑτέρα ὁμοία τῇ ῥηθείσῃ, ἧς αἱ μὲν ιζ' στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ὁ ιη' ὅμοιος τετράμετρος καταληκτικός. τὰ ἑξῆς δύο κῶλα ἀναπαιστικὰ δίμετρα. ὧν τὸ μὲν ἀκατα-

ληκτον, τὸ δ' οὔ. ὁ τελευταῖος ἰαμβικὸς τετράμετρος ἀκατάληκτος. ὑφ' ὃν κορωνίς.]]

διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ιζ'. V.

923. *τί δ' ἄλλο γ' ἢ —;*] Cf. ad Nub. 1495. *ἄνθρωπε, τί ποιεῖς; ΣΤ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ | διαλεπτολογοῦμαι —;*

ταύτην] Pacem, tanquam deam. Cf. 1091.

χύτραις ἱδρυτέον] Subintellige *ἀθάρης* aut *φακῆς* aut *ὀσπρίων*, aut simile. Solebant enim pultem coquere aut legumina, cum erigerent statuam aliquam aut aram, et id dicebatur *ἱδρύειν χύτραις*. Sic Plut. 1198. *τὰς χύτρας, αἷς τὸν θεὸν | ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε*. BE. Mos erat antiquis, quoties dei aut herois alicujus statuam dedicarent, leguminum ollas apponere, (*χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης*) aut victimam aliquam opimam sacrificare. Hinc deus ille *χύτραις* aut *βοΐ* aut *αἰγὶ* aut *προβάτῳ ἱδρύεσθαι* dicebatur, juxta sacrificii genus et naturam. Noster ap. schol: *μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, | μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.* Vide etiam Pl. 1153. 1191. (cum schol.) 1193.

Schol. χύτραις ἱδρυτέον: (*Ὁτὲ μὲν ταῖς χύτραις ὄσπρια ἧψον, ὁτὲ δὲ ἄλλο τι πολυτελὲς ἱερεῖον, καὶ οὕτως ἵδρυον, καὶ πρὸς τὸ θυόμενον ἔλεγον βοΐ ἱδρύεσθαι ἢ αἰγὶ ἢ προβάτῳ ἢ οἷον ἂν ᾖ τὸ ἱερεῖον, ὥσπερ ἐν Πλούτῳ. Ἄλλως. ἔθος εἶχον Ἑρμᾶς ἱδρύοντες πρὸ τῶν θυρῶν καὶ ἄλλα τινὰ ἀγάλματα θεοῦ ὑπὲρ τοῦ μὴ βραδύνειν παρὰ τὴν ἀνάστασιν χύτραις ἀθάρας ἱδρύεσθαι καὶ ἄλλοις τισίν. Ἄλλως.*) *ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἄγαλμα θεοῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων, τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης, ὡς οὗτος εἶπεν ἐν Δαναΐσι "μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, | μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ." ποτὲ δὲ καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο· φησὶ δὲ καὶ ἐν τοῖς ἑξῆς* [1000] *"εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ."* (*μεμφόμενοι δὲ ὡς πολυτίμητον οὖσαν ἄλλαις ἱερωσύναις αὐτὴν ἱδρύσαντο· "ὡς οἱ μὲν νέφος ὀξὺ ἀπωσάμενοι πολέμοιο | εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ."*) *ἐν δὲ τῷ Πλούτῳ* [1198] *"τὰς χύτρας, αἷς τὸν θεὸν | ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε."*

924. *μεμφόμενον Ἑρμίδιον*] Hermula, quae queritur se coli vili ritu. BECK. Schol: *ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυμένου ἐπὶ πολύ, ὡς μέμφεσθαι αὐτόν.* Sensus est: Ollisne leguminum adhibitis eam consecremus? Hinc tenuem hunc dedicandi seu sacrificandi modum fuisse constat. Schol: *ὡς εὐτελοῦς οὔσης τῆς θυσίας ἐκ τῶν ἄλλων* (i. e. prae caeteris).

Ἑρμείδιον] Cf. Lucian. Cont. 1. *ὦ φίλτατον Ἑρμίδιον* (scr. *Ἑρμείδιον*). Diminutivum ut *Εὐριπίδιον, Φειδιππίδιον, Σωκρατίδιον*, etc. Cf. 382. Contractum ex *Ἑρμε-ίδιον* (ab *Ἑρμέας*, unde *Ἑρμῆς*). Cum formis *Ἑρμείδιον* et *Ἑρμεΐσκος* confer *κρεάδιον* et *κρεΐσκος*.

Schol. χύτραισιν ὥσπερ μεμφόμενοι: *Ἠγανάκτησαν ἀκούσαντες ἐν χύτραις ἱδρύεσθαι τὴν Εἰρήνην, ὡς εὐτελοῦς οὔσης τῆς θυσίας ἐκ τῶν ἄλλων. διὸ φασὶν ἄλλαις ἱερωσύναις αὐτὴν ὡς πολυτίμητον θεραπεύσω-*

μεν. ἐν δὲ τοῖς ἑξῆς ἱερείῳ φησὶ ἱδρύσασθαι αὐτὴν οὕτως· "ὡς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο | εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ."

Ἑρμίδιον: Ἀντὶ τοῦ εὐτελές. ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυμένου ἐπὶ πολὺ, ὡς μέμφεσθαι αὐτόν.

925. *λαρινῷ βοΐ*] Pingui bove. Maximi et praepingues erant boves Epirotici ob pascua eximia. Aelian. N. A. XII. 11. *μέγιστος δὲ ἦν ἄρα βοῶν οὗτος καὶ ὑπὲρ τοὺς Χάονας, οὕσπερ καὶ λαρινοὺς καλοῦσι Θεσπρωτοί τε καὶ Ἠπειρῶται.* Oppian. Cyn. II. 109. Arist. H. A. III. 16. 7. ibique Schneider. Varr. R. R. II. 5. 10. Müller. Dor. I. 424. Apost. X. 45 *Λαρινοὶ βόες: ἐπὶ τῶν εὐτραφῶν. ἀπὸ Λαρίνου βουκόλου —. Ἀπολλόδωρος* [p. 450. Heyn.] *δὲ αὖ τοὺς εὐτραφεῖς λαρινοὺς καλεῖ· λαρινεύειν γὰρ τὸ σιτεύειν.* Cf. schol. Pind. N. IV. 82. Aliter Eust. ad Il. φ'. 392. *καὶ ὅτι ἀπὸ τοῦ ῥινοῦ καὶ βόες λαρινοὶ καὶ ταῦροι οἱ μέγα καὶ παχὺ δέρμα ἔχοντες.* Cf. Av. 465. *μέγα καὶ λαρινὸν ἔπος.* Sophron. ap. Athen. 376 B. *βόες δὲ λαρινεύονται.* Xenophanes Athen. 368 E. *σκέλος ἥραο πίον ταύρου λαρινοῦ.* Compositum hoc vocabulum mihi videtur ex *λα* et *ῥινός*, having a good thick hide. Cf. *λακαταπύγων, λακατάρατος, λάμαχος,* etc. Ceterum *λαρινὸς* in ultima acuendum monet scholiasta ex Herodiani auctoritate.

Schol. λαρινῷ βοΐ: (Ἐπειδὴ ἑώρα αὐτοὺς πρὸς τὴν διὰ τῶν χυτρῶν καθίδρυσιν ἀχθεσθέντας, ἄλλον τρόπον τῆς καθιερώσεως ὑποτίθεται, καὶ φησὶν "βούλεσθε λαρινῷ βοΐ;" περὶ δὲ τῶν λαρινῶν βοῶν Λύκος μὲν ὁ Ῥηγῖνος ἐπὶ ταῖς πρὸς Ἀλέξανδρόν φησιν ἀπὸ Λαρίνου τινὸς βουκόλου ταύτην αὐτοὺς τὴν προσηγορίαν ἐσχηκέναι. εἰσὶ δέ τινες οἳ παρὰ τὸν λάρον ἀξιοῦσιν αὐτοὺς οὕτω καλεῖσθαι. οἱ δὲ τὴν ρι συλλαβὴν δασύνουσιν, ἵν' ᾖ λαρινοὺς τοὺς μεγαλορίνους. ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιούτους εἶναι βοῦς, οὓς καὶ Κεστρίνους καλοῦσιν. Ἄλλως.) ἀντὶ τοῦ μεγάλῳ καὶ εὐτραφεῖ. τοὺς δὲ ἠπειρωτικοὺς βοῦς οὕτω λέγουσιν ἀπό τινος Λαρίνου βουκόλου παραλαβόντος παρὰ Ἡρακλέους τὰς Γηρυόνου βοῦς, (καὶ θρέψαντος εἰς εὐεξίαν. τοῦτο δὲ Ἡρωδιανὸς ὀξύνει ἐν τῷ ζ' τῆς καθόλου. λαρινός ὡς ἀληθινός, ὥστε περισπαστέον τὴν δοτικὴν λαρινῷ).

926. Verbum mali ominis *βοΐ* respuit Chorus propter similitudinem cum verbo bellico *βοηθεῖν*. Sic ludit etiam in sequentibus. Similiter supra 454. *ἄφελε τὸ παίειν, ἀλλ' ἰὴ μόνον λέγε.*

Schol. βοηθεῖν: Ἐπὶ μάχην δραμεῖν. — πρὸς τὴν ἀρχὴν τῶν ὀνομάτων τοῦ βοΐ καὶ βοηθεῖν ἔπαιξεν. R.

927. *μὴ μή*] Cf. 457.

παχείᾳ καὶ μεγάλῃ] Cf. 1349. *τοῦ μὲν μέγα καὶ παχύ.* Ach. 787. *ἐξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.* 791. Lys. 23. *μέγα (πρᾶγμα). ΚΛ. μῶν καὶ παχύ;* Eccl. 1048.

τιή;] Cf. Eq. 126. 731. Eccl. 796. 1086.

928. *Θεογένους ὑηνία*] Iste videtur fuisse aliquis immundus ut amica luto sus. Hinc etiam in Vespis v. 1183. dicit eum cum stercorario collocutum esse, *ὦ σκαιὲ κἀπαίδευτε, Θεογένης ἔφη | τῷ κοπρολόγῳ. καὶ*

ταῦτα λοιδορούμενος. BE. Cf. Eq. 986. *ἀλλὰ καὶ τόδ' ἔγωγε θαυμάζω τῆς ὑομουσίας αὐτοῦ.* (Ubi vide schol.) Plat. Legg. VII. 819 D. *ὑηνῶν τινῶν — θρεμμάτων.* Theaet. 166 C. *αὐτὸς ὑηνεῖς.* Pherecr. II. 344. Calliam com. II. 742. (Ubi v. Mein.). Etym. M. p. 733, 30. *Συηνία καὶ ὑηνία, ἀμαθία, σκαιότης, παρὰ Φερεκράτει.* Phot. p. 616, 17. *ὑηνία: σκαιότης καὶ ἀμαθία. Οὕτως Καλλίας.*

Schol. Θεαγένους ὑηνία: Ἀντὶ τοῦ μωρία, ἀμαθία. διεβάλλετο γὰρ ὁ Θεαγένης εἰς μαλακίαν καὶ ὡς ὑώδης καὶ δύσοσμος καὶ πένης. (ἦν δὲ ἐκ Πειραιῶς. ἐδόκει δὲ καὶ πένης εἶναι, θρύπτεσθαι δὲ ἐπὶ πλούτῳ. ἦν δὲ τὸ σῶμα παχὺς καὶ χοιρώδης. τὴν δὲ ὑηνίαν τὴν δυσωδίαν, ἐκ τῶν ὑῶν, οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι, καὶ εἰς βορβόρους δὲ κυλίονται. ἔστι δὲ καὶ ἄλλος Θεαγένης, ὁ εἰς Ὅμηρον γράψας, ὃς καὶ ἐπὶ μαλακίᾳ διεβάλλετο, καὶ ἄλλοι πολλοί.)

929. *ὀΐ*] Anglice, w i t h a n e w e. Dubium enim non est quin ab eadem stirpe veniant *ὄϊς* o v i s et nostrum e w e. Ceterum contractum *ὀΐ* ex *ὀΐῒ;* nam genitivus est non *ὀὸς*, sed *ὀϊός*. V. Eur. Andr. 696. Sic *οἶδα* contractum ex *οἴιδα* (Theocr. I. 9). Accusativus *ὄϊν* legitur Homer. Od. *κ'*. 572. *ἀρνειὸν κατέδησαν ὄϊν.* Theocr. I. 11. *τὰν ὄϊν.*

930. *Ἰωνικόν*] Attici enim dicunt *οἶς*, Iones *ὄϊς*. BE.

Schol. Ἰωνικὸν: Οἱ γὰρ Ἴωνες δισυλλάβως λέγουσιν ὄϊς, οἱ δὲ Ἀττικοὶ μονοσυλλάβως καὶ τὰς οἶς καὶ πολλὰ τοῦ αὐτοῦ γένους. οἱ Ἀττικοὶ συναιροῦντες τὸν ὄϊν οἶν. οἱ γὰρ Ἴωνες πολλὰ διῃρημένως φασίν.

932. *Schol. οἱ καθήμενοι ὑπὸ τοῦ δέους: Ἵνα ἐπιστένωσι τῷ εἰσηγουμένῳ πόλεμον. τὸ γὰρ ὀΐ ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων. (Δίδυμος δὲ ἐν ἐκτάσει. οἱ γὰρ φοβούμενοι οὕτω λέγουσιν.)*

933. *ὀΐ*] Hic jam est particula exclamantis et abhorrentis. Vult autem dicere: ut abhorreant a bello nec assentiantur in concione bellum suadentibus. BE. Schol: *ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων.* Sic infra 1277 verba *ἀνδρῶν οἰμωγὴ* pro malo omine habentur ab Trygaeo.

935. *ἀμνοὶ τοὺς τρόπους*] Cf. Eq. 261. *ἀμνοκῶν.*

Schol. ἀμνοὶ τοὺς τρόπους: Εὐήθεις, δειλοὶ ὡς οἱ κριοί. ἢ πραεῖς καὶ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον, ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν.

939 sq. De hoc sacrificio, cujus partes sunt tres, praeparatio, sacrificatio, epulae sacrificales, disserit Richterus Praef. p. 58—78., qui confert Hom. Il. *α'*. 458 sq. Od. *γ'*. 439 sq. *ξ'*. 414 sq. Apoll. Rhod. *α'*. 402 sq. Nonn. Dionys. V. 3 sq. Eur. Iph. A. 1563 sq. El. 791 sq. Herc. 922 sq. Herod. I. 132. Straton. ap. Athen. IX. 382 C. Ad praeparationem sacrificii apud nostrum pertinent haec, *βωμὸς, κανοῦν, ὀλαὶ, στέμμα, μάχαιρα, πῦρ, χέρνιψ, σχίζα* (*θαλίον*). Homerus habet Il. *ά*. l. l. *βωμὸν, χέρνιβα, οὐλοχύτας, πῦρ, σχίζας, οἶνον πεμπώβολα, ὀβελοὺς*, etc. Od. *γ'*. l. l. *χέρνιβα, οὐλὰς, κανοῦν, πέλεκυν, ἀμνίον, σχίζας, πῦρ, οἶνον, ὀβελοὺς, πεμπώβολα.* Od. *ξ'*. l. l. *ἐσχάρην, ξύλα* (*σχίζας*), *πῦρ, ἀλφίτου ἀκτὴν* (*οὐλὰς*), *ὀβελούς.* Euripides El. l. l. *βωμὸν, χέρνιβα, σφαγεῖον, κανᾶ,*

πῦρ, προχύτας (i. q. *οὐλὰς, οὐλοχύτας*), *σφαγίδα, Δωρίδα* (*κοπίδα*), *Φθιάδα κοπίδα.*

937. *ἴθι νυν* —] Famulum alloquitur.

939. Cf. Av. 544. *σὺ δέ που κατὰ δαίμονα καί τινα συντυχίαν ἀγαθὴν ἥκεις.* De metro vide ad Vesp. 248.

ὅσ' ἂν θεὸς θέλῃ] Cf. 1187. *ἣν θεὸς θέλῃ.*

κατορθοῖ] Conjunctivus ut *ὑμεναιοῖ* v. 1076.

Schol. *ὡς πάνθ' ὅσ' ἂν θεὸς θέλῃ*: (Ὁ χορὸς ταῦτα θαυμάζων ὅτι ηὐτύχησεν ὁ γέρων καθ' ἑαυτόν. εἶτα πρὸς τὸν πρεσβύτην φησὶ τὸ χωρεῖ κατὰ νοῦν, εἶτα τὰ ἑξῆς πάλιν ἰδίᾳ.) τινὲς δὲ οὕτως "ὁπόσ' ἂν θέλωσιν οἱ θεοί, καὶ ἡ τύχη κατορθοῖ."

διπλῆ· ἕπεται γὰρ μέλος, ὃ ὑπονοῶ μὲν ἔχειν τὸ ἀντίστροφον ἐν διεχείᾳ, φέρεται δὲ ὡς διάφορον. διόπερ πρότερον παραθήσομαι ὡς φέρεται. καὶ ἔοικεν ἐνταῦθα τὸ κατορθοῖ περιττεύειν καὶ ὁ τέ σύνδεσμος πρὸς τὸ "σέ τοι θύρασι χρὴ μένειν ὄντας τινάς." καὶ τοῦτο δὲ ἁμάρτημά ἐστιν, ὅτι πρῶτα γ' κῶλά ἐστι καὶ μετ ς. ἀλλὰ ταῦτα μὲν ἐατέον. ὡς δὲ ἔχει ἐξηγητέον. τὸ τοίνυν πρῶτον τῶν τριῶν κώλων τοῦ ὑποκριτοῦ ἴαμβος τετράμετρος καταληκτικὸς καὶ ἀναπαιστικὰ δύο δίμετρα ἀκατάληκτόν τε καὶ καταληκτικόν. εἶτα ἐν ἐκθέσει στίχος ἰαμβικὸς τετράμετρος καταληκτικὸς τοῦ ὑποκριτοῦ καὶ ἐν εἰσθέσει τοῦ χοροῦ, οὗ τὸ πρῶτον προσοδιακὸν ἐνδεκάσημον, τὸ β' ἀναπαιστικὸν τρίπουν, τὸ δὲ γ' ἰαμβικὸν ἑφθημιμερὲς, τὸ δὲ δ' σύζυγον ἰαμβικὸν ἢ ἀναπαιστικὸν, τὸ δὲ ε' ἰαμβικὸν ἑφθημιμερές. εἶτα ἐν ἐκθέσει τοῦ ὑποκριτοῦ δίστιχοι ἴαμβοι δίμετροι καταληκτικοί. καὶ ἐν εἰσθέσει τοῦ χοροῦ ἓξ κῶλα, ὧν τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τὸ β' ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ς' Ἰωνικὸν ἡμιόλιον. V.

940. *χωρεῖ κατὰ νοῦν*] Procedunt ex sententia.

ἕτερον δ' —] Aliaque aliis istorum opportuno tempore se offerunt. I. e. omnia quasi ex composito inter se ad felicem exitum tendunt. Cf. S. Paul. Epist. Rom. VIII. 28. *τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.*

Schol. *ἄλλως ἄλλῳ κατὰ τύχην ἀποβαίνει τὰ πράγματα.* V.

941. *Schol.* *τούτων*: Ἤγουν τῶν εὐτυχιῶν ἢ τῶν ἀνθρώπων. Vict.

942. *βωμός*] Ara enim semper erat in theatro. Nisi ara potius portabilis intelligenda est, cujusmodi sacra faciendi causa habebant antiqui, ut docet Dorvill. ad Charit. III. 2.

θύρασι] Sc. *ἐστί*, ideoque ad manum. Schol: *ἀντὶ τοῦ ἐξ ἑτοίμου.*

καὶ δή] Eccam (aram.). Cf. ad Vesp. 1324.

Schol. *ὡς ταῦτα δῆλά γ' ἔστιν*: Ἀπὸ τούτων γὰρ κατάδηλόν ἐστιν. εἴ γε χρὴ τεκμήρασθαι τοῖς παροῦσιν. τὸ δὲ θύρασιν ἀντὶ τοῦ ἐξ ἑτοίμου.

943. *ἐπείγετε*] Festinate. Cf. Thesm. 783. *βάσκετ', ἐπείγετε.* Eccl. 294. *ἕπου κατεπείγων.* Usitatius est *ἐπείγεσθαι.*

Schol. *ἐπείγετε*: [Τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς κῶλα ἀναπαιστικὰ δέκα ἐπιμεμιγμένα προσ-

λευσματικοῖς, τούτων δ' ἃ μὲν δίμετρά εἰσιν ἀκατάληκτα, ἃ δ' ἐφθημιμερῆ καὶ βάσεις, μετὰ δὲ ταῦτα ἰαμβεῖα ζ. τῆς δὲ δευτέρας στροφῆς τὰ κῶλα τρία, ὧν τὸ μὲν πρῶτον ἰαμβεῖον, τὰ δ' ἄλλα ἀναπαιστικὰ, δίμετρα μὲν ἄμφω, τὸ δέ τοι δεύτερον καταληκτικόν. ὁ ἑξῆς τοῦ ὑποκριτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. τῆς τρίτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ τέσσαρα πλὴν τοῦ τελευταίου ἀκατάληκτα. οἱ ἑξῆς αὖθις τοῦ ὑποκριτοῦ ἰαμβικοὶ τετράμετροι καταληκτικοί. τῆς δὲ τετάρτης στροφῆς τὰ κῶλα Ἰωνικὰ ἀπὸ μείζονος ϛ', ἐπιμεμιγμένα παίωσι καὶ κρητικοῖς, ἀκατάληκτα πλὴν τοῦ πέμπτου καταληκτικοῦ καὶ τοῦ ϛ' ἡμιολίου. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. τιθέσθωσαν δὲ κἀν ταῖς ἀποθέσεσιν αἱ παράγραφοι.]] ἐν ὅσῳ, φησὶν, ἐκ τῶν θεῶν τὰ κατὰ τὸν πόλεμον ἐκπέπνευκε καὶ λελώφηκεν, σπουδάσωμεν ἱδρύσασθαι τὴν Θεωρίαν, τῶν τῆς εἰρήνης ἀγαθῶν ἀντεισαχθέντων. σοβαρὰ δὲ σεσοβημένη, εὐκίνητος. μετάτροπος δὲ ἀντὶ τοῦ εὔκρατος μεταβληθεῖσα.

944. *σοβαρὰ — αὔρα*] Vehemens aura.

κατέχει] Obtinet. Anglice prevails. Cf. Av. 1316. *κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.*

Schol. *κατέχει τὰ ἡμέτερα πράγματα.* R. V.

945. *πολέμου μετάτροπος αὔρα*] Cf. Th. 723. *τάχα δὲ μεταβαλοῦσ' ἐπὶ κακὸν ἑτερότροπον* (-*πος*?) *ἐπέχει* (?) *τις τύχη.* Nub. 812. *φιλεῖ γάρ πως τὰ τοιαῦθ' ἑτέρᾳ τρέπεσθαι.* Aesch. Sept. 705. *νῦν ὅτε σοι παρέστηκεν· ἐπεὶ δαίμων λήματος ἐν τροπαίᾳ* (sc. *αὔρᾳ*) *χρονίᾳ μεταλλακτὸς, ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι. νῦν δ' ἔτι ζεῖ.* Pers. 936. *δαίμων γὰρ ὅδ' αὖ | μετάτροπος ἐπ' ἐμοί.* Eur. El. 1147. *ἀμοιβαὶ κακῶν· μετάτροποι πνέουσιν αὖραι δόμων.* Herc. F. 884. *ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων. | ταχὺ δὲ πρὸς πατρὸς, τέκν', ἐκπνεύσεται.*

946. *Schol.* *ἀντὶ τοῦ ἡ Εἰρήνη.* R.

948—949. Lectori in memoriam haec haud dubie revocabunt Isaaci verba Genes. XXII. 7. *εἶπε δὲ, ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν;*

948. *ὀλάς*] Molam salsam. I. q. *οὐλὰς* vel *οὐλοχύτας* Homeri, et Euripidis Apolloniique *προχύτας*. Cf. 960. Eq. 1167. *μαζίσκην — ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.* Diphil. IV. 417. *σπονδὴν, ὀλὰς, ἔλαιον.* Hom. Od. γ'. 440. *χέρνιβα δέ σφ' Ἄρητος — ἤλυθεν ἐκ θαλάμοιο φέρων, ἑτέρῃ δ' ἔχεν οὐλὰς | ἐν κανέῳ.* Theophr. Char. 10. *μήτε οὐλὰς μήτε στέμματα μήτε θυλήματα* (1040). Paus. I. 41 9. *θύουσιν ἀνὰ πᾶν ἔτος, ψηφῖσιν* (*ψαμμῷ* Richt. Praef. p. 65.) *ἐν τῇ θυσίᾳ ἀντὶ ὀλῶν χρώμενοι.* Horat. Od. III. 23. Mollivit aversos Penates | farre pio et saliente mica. Virg. Aen. XII. 173. Dant fruges manibus salsas. Eodem sensu *οὐλοχύται* in Strat. ap. Athen. IX. 382 C. Schol: *ὀλαὶ αἱ πρὸς θυσίαν κριθαί.* Schol. ad Eq. 1167. *κριθαὶ μετὰ ἁλῶν.* Etym. M. p. 641, 29. *ὀλαὶ αἱ μεθ' ἁλῶν μεμιγμέναι κριθαὶ καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι.* Schol. Il. ά. 449. *κριθὰς μετὰ ἁλῶν μεμιγμένας ἐπέχεον τοῖς ἱερουργουμένοις ζῴοις πρὸ τοῦ θύεσθαι.* Schol. Apoll. Rh. I. 409. Meinek. Fr. Com. IV. 559. Falluntur qui (ut schol. ad Il. ά. 449. Suid. v. *οὐλοθυτεῖν*,

etc.) vocem *ὀλαὶ* ab *ὅλος* deducunt. Derivatur, ni fallor, a verbo *ἀλεῖν* molere, unde etiam *ἄλευρον*, *ἄλφιτον*. Apprime huc facit Herod. I. 132 *οὔτε βωμοὺς* (942) *ποιεῦνται οὔτε πῦρ* (949) *ἀνακαίοντες μέλλοντες θύειν. οὐ σπονδῇ* (1059), *χρέωνται, οὐκὶ αὐλῷ* (952). *οὐ στέμμασι* (948), *οὐκὶ οὐλῇσι*. I. 160. *οὐλὰς κριθέων πρόχυσιν ἐποιέετο θεῶν οὐδενὶ*, etc.

στέμμα] Coronam. Av. 893. Herod. I. 132. Av. 43. *κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυρρίνας | πλανώμεθα* (ut hic *πῦρ* et *στέμμα*). Vesp. 860. *ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω | καὶ μυρρίνας* etc. Th. 37. *ἐξέρχεται θεράπων τις αὐτοῦ πῦρ ἔχων καὶ μυρρίνας*. Hanc coronam ideo allatam Trygaeo censet Richterus, ut ea ipse se ornet aut ut victimam ea coronet.

μάχαιραν] Eur. Iph. A. 1565. *Κάλχας δ' ὁ μάντις ἐς κανοῦν χρυσήλατον | ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας*.

Schol. *ὀλάς*: *Ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι. καὶ ἐντεῦθεν κανοῦν, ἀπὸ τοῦ καίνειν. Πλάτων Παιδαρίῳ* "*φέρε τοῦτ' ἐμοὶ δεῖξον τὸ κανοῦν μοι δεῦρο· μὴ μάχαιρ' ἔνι;*" — *Ἄλλως· εἰώθασι γὰρ ἐπὶ τὸ κανοῦν τὴν μάχαιραν φέρειν κατακρύπτοντες αὐτὴν ταῖς ὀλαῖς καὶ τοῖς στέμμασιν.* Ven.

949. *καὶ πῦρ γε τουτί*] Anglice, yes, and here is the fire. Cf. Vesp. 811. *καὶ πῦρ γε τουτὶ, καὶ προσέστηκεν φακῆ* etc.

πῦρ] Sc. in olla, *ἐν χύτρᾳ*. Cf. ad Av. 43.

κοὐδὲν ἴσχει — ἡμᾶς] Cf. Eq. 724. *μηδὲν ἡμᾶς ἰσχέτω*.

πλὴν τὸ πρόβατον] Quasi dicas: et ephippium et frenum habeo, tantum equum non habeo. Neque hodie certe mactabitur illa ovis, etsi omnia ad sacrificandum parata sunt, *ἀλλ' ὄψει προφάσεις αὐτὸν παρέχοντα* infra 1019. BE. Cf. Av. 956.

950. *ἁμιλλήσεσθον*] Certabimini, contendetis. Vox nusquam alibi apud comicos exstat. Trygaeum et famulum adloquitur.

951. *Χαῖρις*] Cf. Av. 858. *ξυναυλείτω δὲ Χαῖρις ᾠδάν*. V. ad Ach. 16.

Schol. *Χαῖρις*: *Τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. ἦν δὲ καὶ ἕτερος κιθαρῳδός*.

953. Cf. 1302. *εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς | ὅτι ταῦθ' — οὐ μὴ 'πιλάθῃ ποτ'*.

954. *φυσῶντα*] Cf. ad Av. 861. Vesp. 582. Soph. Fr. 753. *φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι, | ἀλλ' ἀγρίαις φῦσαισι φορβειᾶς ἄτερ*.

955. *προσδώσετε*] I. e. victimae portionem dabitis, devicti ejus querimoniis et precibus. *Προσδιδόναι* enim valet mendicanti dare. Confer v. *προσαιτεῖν*. Cf. 1111—1112. Eq. 1222. *σοὶ μὲν προσεδίδου μικρὸν ὧν ἐλάμβανεν*. Soph. Phil. 308. *καί πού τι καὶ βορᾶς μέρος | προσέδοσαν οἰκτείραντες*.

956. *τὸ κανοῦν λαβὼν — καὶ τὴν χέρνιβα*] Cf. Av. 850. *παῖ παῖ, τὸ κανοῦν αἴρεσθε* (*αἶρ' αἶρε* aut *αἶρ' ὧδε*?) *καὶ τὴν χέρνιβα*. 958. *αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα*. 863. Eur. Iph. A. 1569. *λαβὼν κανοῦν ἔθρεξε χέρνιβάς θ' ὁμοῦ*. Eur. Herc. 926. *ἐν κύκλῳ δ' ἤδη κανοῦν | εἵλικτο βωμοῦ*. Straton. ap. Athen. IX. 382 C. (v. 39.) Dem. p. 618. *τὸν εἰς ἱερὰ εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἁψόμενον*.

τὴν χέρνιβα] χέρνιψ sive χερνὶψ juxta Athenaeum p. 409 B. fuit ὕδωρ εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν.

Schol. οὕτω τὴν χέρνιβα μᾶλλον προπαροξυντέον κατὰ τὴν ἀναλογίαν. οἱ δὲ Ἀττικοὶ παροξύνουσιν ὡς ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ. δύο διπλαῖ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ'. V.

957. περίιθι τὸν βωμόν] Schol: τοῦτο πρῶτον ἐποίουν καθαίροντες τὸν βωμόν. Eur. Iph. A. 1563. ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς | λαβὼν κανοῦν ἔθρεξε χέρνιβάς θ' ὁμοῦ. 1471. κανᾶ δ' ἐναρχέσθω τις, αἰθέσθω (ἀπτέσθω?) δὲ πῦρ | προχύταις καθαρσίοισι, καὶ πατὴρ ἐμὸς | ἐνδεξιούσθω βωμόν. Herc. 926. ἐν κύκλῳ δ' ἤδη κανοῦν | εἵλικτο βωμοῦ, φθέγμα δ' ὅσιον εἴχομεν.

ἐπιδέξια] Hom. Od. φ'. 141. ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι. Plat. Symp p. 177 D. δοκεῖ μοι ἕκαστον ἡμῶν λόγον εἰπεῖν ἔπαινον Ἔρωτος ἐπιδέξια. Nicomach. ap. Athen. VII. 290 C. Ἐπιδέξια seu δεξιὰ omnia fausti ominis fuisse constat, ut docet Richterus Praef. p. 71.

Schol. περίιθι: Τοῦτο πρῶτον ἐποίουν καθαίροντες τὸν βωμόν.

959 τὸ δαλίον τόδ' ἐμβάψω] Schol: τὸ ὕδωρ ἐδόκουν καθαίρειν ἀποβάπτοντές τι τοῦ πυρός. Athen. IX. 409 B. ἔστι δὲ ὕδωρ εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν, καὶ τούτῳ περιρραίνοντες τοὺς παρόντας ἥγνιζον. Hesych. et Suid. s. v. δαλίον. Hesych. Δαλίον: δαλόν. ἐν ταῖς ἱεροποιίαις εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χέρνιβα καὶ περιρραίνειν τὸν βωμόν. Cf. Lys. 1129. οἳ μιᾶς ἐκ χέρνιβος | βωμοὺς περιρραίνοντες etc. Eur. Herc. 928. μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν, | εἰς χέρνιβ' ὡς βάψειεν, Ἀλκμήνης τόκος | ἔστη σιωπῇ.

Schol. οὕτω διὰ τοῦ λ ὁ τὴν κωμικὴν γράψας λέξιν ἀναγινώσκει. V. τὸ δαλίον: Τὸ ὕδωρ ἐδόκουν καθαίρειν ἀποβάπτοντές τι τοῦ πυρός· καθαρτικὸν γὰρ πάντων τὸ πῦρ, ὡς Εὐριπίδης Ἡρακλεῖ [928] "μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν, | ἐπὶ χέρνιβ' (ὡς βάψειεν) Ἀλκμήνης τόκος." διὸ καὶ οὐ γραπτέον, ὥς τινες, δᾳδίον· ἱκανὸν γὰρ τὸ Εὐριπίδου εἰς πίστιν.

960. σὺ — σὺ] Alterum ex famulis torrem, quem in aquam ipse immerserat, quassare jubet et aram eo conspergere; alterum molae salsae partem porrigere et, ut facilius id facere possit, aquam lustralem (τὴν χέρνιβα) sibi tradere, postquam ipse lustratus fuerit. Ergo duo adsunt servi praeter ipsum Trygaeum. Sed locus, ni fallor, vitio laborat. Unus tantum famulus, ni fallor, adest.

πρότεινε τῶν ὀλῶν] Cf. Hom. Od. γ'. 445. Νέστωρ | χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο, πολλὰ δ' Ἀθήνῃ | εὔχετ' ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.

Schol. πρὸς τὸ ἱερεῖον λέγει. ἐσπούδαζον γὰρ ἐπισπένδοντες ἵνα σείσῃ τὴν κεφαλὴν καὶ ἐπινεύειν τοῖς ἱεροῖς δοκῇ. R. V.

961. ταύτην] Sc. τὴν χέρνιβα, ut videtur. Alii minus probabiliter τὴν δᾷδα (ex praecedenti δαλίον) intelligunt.

962. *τῶν κριθῶν*] Videtur facere Comicus quod alias indecorum esse ait, nempe sparsionibus risum captare, scilicet in Plut. 797. *οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ | ἰσχάδια καὶ τραγάλια τοῖς θεωμένοις | προβαλόντ' ἐπὶ τούτοισιν ἐπαναγκάζειν* [*τούτοις εἶτ' ἀναγκάζειν* aut *ἐξαναγκάζειν*?] *γελᾶν.* Sed hoc loco admodum scite id facit, ludens in homonymia vocis *κριθή*, quae et hordei granum significat et membrum virile. BE. Cf. Vesp. 58. *ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος | δούλω διαρριπτοῦντε τοῖς θεωμένοις*, etc. Nub. 540—552.

Schol. *δέον εἰπεῖν "ῥῖπτε τῶν ὅλων κριθῶν," νῦν εἶπε γενικῶς. ὅλαι γὰρ αἱ πρὸς θυσίαν κριθαί.* V.

965. *κριθήν*] Schol: *παίζει, ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον κριθὴν ἔλεγον*

Schol. *πρὸς τὴν κριθὴν παίζει, ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον κριθὴν ἔλεγον, τὸ δὲ γυναικεῖον βύρσον* [*μύρτον* Suid. s. v. *κριθή*. prob. Dind.]. — *κακεμφάτως τὸ πέος.* R.

966. *οὐχ αἱ γυναῖκές γ' ἔλαβον*] Tragoediis agendis adfuisse feminas satis constat ex Plat. Gorg. § 57. et Legg. II. 658 D. ubi inter spectatores tragicorum certaminum enumerantur *αἱ πεπαιδευμέναι τῶν γυναικῶν* Porro ludis scenicis interfuisse videntur meretrices et mulieres peregrinae (Alciphr. II. 3. 10. Alexis ap. Poll. IX. 44). De comoedia minus certa res est: quamquam ex Aristophanis aliorumque comicorum de feminarum in his certaminibus praesentia silentio magnum in contrariam opinionem argumentum jure adstrui videtur posse. Ejusdem sententiae est Donaldson Greek Theatre etc. p. 121. Hoc certe loco *αἱ γυναῖκες* nihil amplius significare potest quam choreutarum uxores, quas his sacris peragendis res postulabat una cum maritis adesse; quae quum ut in fabula agenda adesse nequeant, non absurde absentiam earum notat Trygaeus, idque risus tantum causa movendi. Ergo ex hoc loco non adfuisse mulieres comoediis agendis potius colligas quam contrarium. V. Boeckh. de Gr. Trag. princ. p. 38.

εἰς ἑσπέραν] Cf. 366. Eccl. 1047. *εἰς ἑσπέραν | μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.* Fr. 6. *ἐγὼ δ' ἰὼν πέμψω πλακοῦντ' εἰς ἑσπέραν χαρίσιον.* Pl. 998. 1201. Amphis Athen. p. 100 A. *εἰς τὴν ἑσπέραν | χορταζόμεσθα πᾶσιν ἀγαθοῖς.* Sic *πρὸς ἑσπέραν* Vesp. 1085. Lys. 412.

968. Adludit ad sacrificiorum ritum, in quibus praeco clamabat *τίς τῇδε;* Respondebat vero sacris operantium turba *πολλοὶ κἀγαθοί.* BR. V. schol. et App. Prov. IV. 90. *Τίς τῇδε;*

Schol. *τῇδε: Σπένδοντες γὰρ ἔλεγον, τίς τῇδε, ἀντὶ τοῦ, τίς πάρεστιν. εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον "πολλοὶ κἀγαθοί." τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα οἱ συνειδότες τι ἑαυτοῖς ἄτοπον ἐκχωροῖεν τῶν σπονδῶν.* R. V. *τὸ δὲ ποῦ ποτὲ ἔστι λέγει ἐν ἤθει. ποῦ εἰσὶν οἱ ἐπιφωνοῦντες, ἵνα αὐτῷ ἐπιλέγοιεν πιθανῶς. ἢ ὡς μηδενὸς ὄντος καλοῦ κἀγαθοῦ.* V.

969. *τοισδί*] Sc. choreutis. Sic *ταισδί* de Choro Eccl. 1138. Schol: *τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν ὕδωρ ἐπὶ γέλωτι.* Aqua sc. lustrali

conspergit chorum precaturum deam Pacem. Noli spectatores intelligere; hi enim non stabant (972), sed sedebant.

Schol. τοισδί: Τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν τὸ ὕδωρ ἐπὶ γέλωτι καὶ οὐδενὶ ἑτέρῳ.

970. Trygaeus κακοηθεστάτους spectatores dicit supra.

971. καταχεόντων] Sc. ab scena in orchestram.

972. In eundem hunc locum venientes consistunt, nec fugientes huc illuc cursitant. Atqui id facere debebat Chorus; sed jocatur servulus. Cf. Lys. 1240. αὖθις ἔρχονται πάλιν | ἐς ταὐτόν.

974. *Schol.* διπλῆ καὶ εἴσθεσις εἰς ἀνάπαιστον, περίοδοι δύο, τὴν μὲν πεντεκαιτριακοντάμετρον ιθ' κώλων, ὅτι ἔχει μονόμετρα γ', τό τε β' καὶ ιά καὶ ιϛ', τὴν δὲ ἑξκαιτεσσαρακοντάμετρον κγ' κώλων, ὅτι ἔχει μονόμετρα τρία. V.

975. Εἰρήνη] Similiter persona fingitur Γεωργία a nostro in Fr. II. 1065. ed. Bergk.

978. πολυτιμήτη] Sed Thesm. 286. πολυτίμητε Δήμητερ.

980. μοιχευόμεναι] μοιχεύεσθαι usurpari videtur de mulieribus, μοιχεύειν de viris.

981. παρακλίνασαι τῆς αὐλείας] Cf. 30. σκέψομαι | τηδὶ παροίξας τῆς θύρας. Herod. III. 156. ὀλίγον τι παρακλίναντες τὴν ἑτέρην πύλην. Eur. Iph. A. 857. πύλας παροίξας Lucian. Bis accus. 31. παρανοίγουσα τὰς θύρας. Similis fere locus est Thesm. 797. κἢν ἐκ θυρίδος παρακύπτωμεν, etc.

τῆς αὐλείας] Harp. p. 40, 7. αὔλειος ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. Menand. Stob. Fl. 74, 11. αὔλιος (scr. αὔλειος) θύρα. At Moeris p. 192, 5. αὐλία (scr. αὐλεία) θύρα, Ἀττικοί.

Schol. παρακλίνασαι: Παρανοίξασαι. Ὅμηρος [Il. Θ. 395] "ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι."

984. ἀναχωροῦσιν] Cf. Th. 798. κἢν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, etc.

986. *Schol.* ποίει μηδὲν: Μὴ κατὰ ταυτοῦ (ταύτας?) ὀλίγον χρόνον ποιήσῃς ἡμᾶς ἀπολαῦσαί σου, ἀλλ' εἰς τέλεον φανερὰν ἡμῖν σαυτὴν ποίησον.

989. σου τρυχόμεθ'] Desiderio tui maceramur. Τρύχεσθαί τινος dicitur, ut ἐπιθυμεῖν τινος, ἐρᾶν, aliaque similia. Similiter κνίζεσθαί τινος (Theocr. IV. 59. τήναν — τᾶς ποκ' ἐκνίσθη. Lucian. D. Mer. X. 4. κέκνισται γὰρ κἀκεῖνος τῆς Νεβρίδος), κάεσθαι (Hermesianax, Athen. 598 B. καίετο μὲν Ναννοῦς), ἀλγεῖν, ὀδύρεσθαι (Eur. Hec. 1256. ἡμᾶς παιδὸς οὐκ ἀλγεῖν δοκεῖς; Hom. Il. χ'. 424. τῶν πάντων οὐ τόσσον ὀδύρομαι etc.). Similiter fere ἐκτήκεσθαί τινα (Cratin. II. 118. τὸν ἴσον ἴσῳ φέροντ' — ἐκτήκομαι) et Latine deperire aliquem. V. ad Lys. 221. Schaef. ad δαίεσθαι (Oppian. Cyn. II.). Bos. Ellips. p. 750. Verbum τρύχεσθαι legitur Ach. 68. ἐτρυχόμεσθα — ὁδοιπλανοῦντες. Τρυχοῦσθαι Thuc. I. 126. IV. 60. VII. 28. ἤδη τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι. Sed omnino reponendum suspicor σου γλιχόμεσθ'. V. annot. crit.

990. *τρία καὶ δέκ' ἔτη*] Sc. annos 434—421 A. C. Anno quidem 431 revera exarsit bellum Peloponnesiacum (Thuc. I. 23. *ἤρξαντο αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδάς*), sed per tres annos antea rerum status bellicus fuerat inter Athenienses et Corcyraeos, Potidaeos, et Corinthios. Cf. Thuc. I. 66. *ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο* (Athenienses et Corinthii), *οὐ μέντοι ὅ γε πόλεμός πω ξυνερρώγει, ἀλλ' ἔτι ἀνοκωχὴ ἦν· ἰδίᾳ γὰρ ταῦτα οἱ Κορίνθιοι ἔπραξαν.* Ut dicit idem I. fin., tempus istud *σπονδῶν ξύγχυσις καὶ πρόφασις τοῦ πολεμεῖν* fuit. Cf. schol. ad 353. "Equidem, nisi Comicus primam Corinthiorum et Corcyraeorum pugnam navalem belli initium esse statuerit, erroris eum vel potius Trygaeum negligentiaeque arguere malim aut etiam simulationis prope jocosae, quum bene spectatores belli longitudinem noverint [nossent?], et grandiloquentiae insimularim." RICHT.

Schol. Τὸ χ ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις ἃ λέγει. καὶ ἐν τοῖς Ἀχαρνεῦσι [266] *φησὶ "ἕκτῳ σ' ἔτει προσεῖδον εἰς τὰ χωρία." ἀλλὰ καὶ ὁ Φιλόχορος ἀπὸ Πυθοδώρου, ἀφ' οὗ ἡ ἀρχὴ τοῦ πολέμου δοκεῖ γεγενῆσθαι, μέχρι Ἰσάρχου καταριθμούμενος εἰς τὰ ιγ' ἔτη συνάγει τοὺς χρόνους. πάλιν Θουκυδίδης, κατὰ τὰς τῶν χειμώνων καὶ θερέων εἰσβολὰς τὸν πόλεμον γεγενῆσθαι λέγων, οὐδὲ αὐτὸς εἰς τοῦτον τὸν ἀριθμὸν ἔρχεται, ἀλλ' ἀπολείπεται παρὰ τὰ θ' ἔτη. λεκτέον τοίνυν ὅτι αὐτὸς αὐτοῦ ὁ Ἀριστοφάνης τὸ ἐνδόσιμον δεδωκὼς πῇ μὲν ἀνάπαυλαν πῇ δὲ πόλεμον γενέσθαι, ὡς μηδὲ τὴν ἀρχὴν βεβαίαν εἶναι μήτε τοῦ πολέμου μήτε τῆς εἰρήνης. ὥστε αἱ διαφωνίαι τῶν πραγμάτων εἰσὶν ἀνόμοιαι. Ἄλλως. τὸ χ ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις. ἀπὸ γὰρ Πυθοδώρου μέχρι Ἀλκαίου θ' ἔτη. καὶ ἐν Ἀχαρνεῦσι δὲ εἶπεν ὅτι ϛ' ἔτη εἰσὶν ἀφ' οὗ ὁ πόλεμος. ἀπὸ δὲ τῆς τῶν Ἀχαρνέων διδασκαλίας γ' ἔτη εἰσίν. οἱ δὲ ποιηταὶ πολλάκις ἀποσχεδιάζουσιν* (*αὐτοσχεδιάζουσιν* Richt.) *εἰς τοὺς χρόνους. τοῦτο πάλιν τὸ μονόμετρον βέλτιον κατὰ παράθεσιν ἀναγινώσκειν τριακαίδεκ' ἔτη.* V.

991. *κορκορυγάς*] Tumultus. Lys. 491. *ἀεί τινα κορκορυγὴν ἐκύκων.* Aesch. Sept. 345. *κορκορυγαὶ δ' ἀν' ἄστυ.* Unde *διακορκορυγεῖν* Nub. 387.

Schol. κορκορυγάς: Τὰς βοάς, τὰς ταραχάς, τοὺς θορύβους.

992. *Λυσιμάχην*] Nempe ut ex re nomen habeat. Sic in Lys. 554. *οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι.* BE.

Schol. ἀστείως συνέθηκε τὴν λέξιν παρὰ τὸ λῦσαι τὴν μάχην. R. V.

993. *τὰς ὑπονοίας τὰς περικόμψους*] Cf. Av. 195. *μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω.* ibique schol.

Schol. ὑπονοίας: Ἵνα μὴ ὑπονοῶσι τὰς ἀλλήλων σπονδάς.

994. *περικόμψους*] Anglice too clever, too fanciful. Confer v. *περίσεμνος* Vesp. 604.

995. *αἷς*] Propter quas. Nisi reponendum *ἅς*.

Schol. ἀντὶ τοῦ φλυαροῦμεν. R.

996. *μῖξον δ' ἡμᾶς —*] Cf. Lys. 579. *εἶτα ξαίνειν ἐς καλαθίσκον κοινὴν εὔνοιαν ἅπαντας | καταμιγνύντας τούς τε μετοίκους κεἴ τις ξένος ἢ φίλος ὑμῖν, καὶ τούτους ἐγκαταμῖξαι.* Similis metaphora Vesp. 877. *παῦσόν τ' αὐτοῦ τοῦτο τὸ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος | ἀντὶ σιραίου μέλιτος*

μικρὸν τῷ θυμιδίῳ παραμίξας. Eur. Hipp. 253. *χρῆν γὰρ μετρίας εἰς ἀλλήλους φιλίας θνητοὺς ἀνακίρνασθαι.*

Schol. μῖξον δ' ἡμᾶς: Εἰς φιλίαν ἄγε.

997. *φιλίας χυλῷ*] Succo amicitiae. Metaphorice, ut in Ran. 943. *χυλὸν διδοὺς στωμυλμάτων.* Vox medicorum est *χυλός.* V. schol. Vesp. 810. Similiter fere nos dicimus the milk of kindness.

Schol. φιλίας χυλῷ: Ὡς ἐπὶ κακουμένων. χυλῷ οὖν τῷ ῥοφήματι.

συγγνώμῃ] Anglice fellow-feeling, consideration, indulgence. De qua virtute v. Arist. Ethic. Nicom. VI.

999 sq. *καὶ τὴν ἀγορὰν* —] Hic tacite rescindi oportere innuit decretum Periclis de Megarensibus: nam merces Megaricae sunt quas hic enumerat, quibus forum Atticum abundaturum esse auguratur, si pax restituta fuerit.

Schol. ἡμῖν ἀγαθῶν: Τουτέστιν ἀφθονίαν τῶν ὠνίων ἡμῖν παράσχες. ἁρμόδιον δὲ τοῦτο τῇ εἰρήνῃ.

1000. *Schol. ὅτι τὰ σκόροδα ἐκ τῆς Μεγαρίδος ἔφη καὶ ἐν τοῖς προειρημένοις* [502] *λέγων "πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε."* V.

1001. *σικύων πρῴων*] Cucumeribus praecocibus, quae non nisi pacis tempore *δι' ἐπιμέλειαν* (*δι' ἐπιμελείας?*) parari possunt. V. schol.

μήλων, ῥοιῶν] Cf. Vesp. 1268. *μήλου καὶ ῥοᾶς* (al. *ῥοιᾶς*).

Schol. σικύων πρῴων: Ἐν εἰρήνῃ πολλὰ δι' ἐπιμέλειαν (*ἐπιμελείας?*) *καὶ πρῷα εἶχον. ὅτι δὲ καλοὶ οἱ πρωΐμοι σικύαι* (*σίκυοι?*) *καὶ ἡ παροιμία δηλοῖ "ἀρχομένων σικύων καὶ ληγουσῶν κολοκυντῶν."*

τὸ πρῴων πρὸς τὸ σικύων· ἐν δύο δὲ συλλαβαῖς. ὡς καὶ τῶν σικύων δὲ πολλῶν ὄντων ἐν Μεγαρίδι καὶ φερομένων ἐκεῖθεν εἰς τὴν Ἀττικήν, ὡς καὶ αὐτὸς ἐν Ἀχαρνεῦσι [520] *φησίν. οἱ δὲ πρωΐμοι σικύαι* (*σίκυοι?*) *καλοὶ καὶ ἀβλαβεῖς. ἢ ὅτι οἱ ἐν εἰρήνῃ ὄντες πολλὰ δι' ἐπιμελείας καὶ πρῷα εἶχον.* V.

πρῴων: Τῶν πρὸ καιροῦ φαινομένων. διὰ δὲ τὸ ἀηδὲς (*φαινομένων διὰ τὸ ἐπιμελὲς?*) *τῆς ἐργασίας.* V.

1002. *χλανισκιδίων*] De laenis Megaricis servorum cf. Ach. 519. *ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια.*

χλανισκιδίων μικρῶν] Noli offendere in *μικρῶν* post diminutivum illato. Cf. Vesp. 511. *δικίδιον σμικρόν.* Lys. 1205. *σμικρὰ — παιδία.* Vesp. 803. *δικαστηρίδιον σμικρὸν πάνυ.* Lys. 278. *σμικρὸν — πάνυ χιτώνιον.* Pl. 240. *σμικρὸν — ἀργυρίδιον.* Mosch. Id. I. 13. *μικκύλα χερύδρια.* Cic. N. D. II. 48. Pisciculi parvi. Tusc. III. 1. Parvuli igniculi. Plura suppeditabit Fischerus ad Welleri Gr. Gr. p. II. 36—37.

1003—1005. Cf. Ach. 872—880.

κὰκ Βοιωτῶν] Cf. Ach. 900. *ὅ τι γ' ἔστ' Ἀθάνασ'* (*ἐν Ἀθάνης?*), *ἐν Βοιωτοῖσιν δὲ μή.* 873. Nub. 413. *ἐν Ἀθηναίοις.* In Acharnensibus v. 873. Boeotius homo interrogatus quid venum tulerit ad forum Atticum dicit, *ὅσ' ἔστιν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς.* Deinde varia recenset, quae inter magnus est avium numerus." BE. Cf. Ach. 860—894.

νήττας - τροχίλους] Cf. Ach. 875. 876.

νῆττας, φάττας] Cf. Pl. 1010. *νηττάριον ἢ φαττάριον.*

Schol. *κὰκ Βοιωτῶν γε*: *Ὅτι ὀρνιθοτρόφος ἡ Βοιωτία, καὶ ἐν Ἀχαρνεῦσι* [876] *φησὶν "ὥσπερεὶ χειμὼν ἦλθες ὀρνιθίας εἰς τὴν ἀγορὰν φέρων," ὅτε ἐπὶ τοῦ Βοιωτοῦ λέγει.*

1005. *Schol.* *Κωπαῒς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται. ὡς καὶ ἐν Ἀχαρνεῦσι* [883] *φησὶ "πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν."*

1007. *τυρβάζεσθαι Μορύχῳ*] Ut alibi *ὠστίζεσθαί τινι* dicitur, Ach. 24. *ὠστιοῦνται — ἀλλήλοισι — ἀθρόοι καταρρέοντες.* 844. *οὐδ' ὠστιεῖ Κλεωνύμῳ* (ubi item de turba in foro obsonantium agitur). Activum *τυρβάζειν* legitur Vesp. 257. Alex. com. III. 395. Adverbium *τύρβα* Aesch. Fr. 309. *δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.*

Schol. *εὐκαίρως τὸ ὀψωνοῦντας προσέθηκε πρὸς ἀντιδιαστολὴν τοῦ πολέμου, ἐν ᾧ δυσχερῶς ὠψώνουν ἀπησχολημένοι ἐν τοῖς θορύβοις αὐτοῦ καὶ τοῖς κακοῖς.* R. V. *Ἄλλως. τὸ ὀψωνοῦντας προσέθηκε πρὸς ἀντιδιαστολὴν τοῦ πολέμου. καὶ γὰρ τότε ἀνάγκη ἦν εἰς τὸ συνιέναι αὐτούς, εἴ ποτέ τις ταραχὴ γένοιτο, κατὰ εἴλας, τουτέστι κατὰ συστήματα, συστρέφεσθαι. καὶ ἐν Ἀχαρνεῦσι* [893] *φησὶ "μηδὲ γὰρ θανὼν σου χωρὶς εἴην ποτέ."* V.

1008. Morychi et Glaucetae helluonum simul meminit Plato comicus ap. schol. ad Nub. 109. [II. 652.] *ὦ θεῖε Μόρυχε, νῦν* [*σύ τε?*] *γὰρ εὐδαίμων ἔφυς | καὶ Γλαυκέτης ἡ ψῆττα καὶ Λεωγόρας, | οἳ ζῆτε τερπνόν.* Caeterum observandum, ut in eodem isto loco Glaucetes vocatur *ψῆττα*, quod est piscis genus, ita eumdem vocari *κῆτος* in Thesm. 1062. *κήτει Γλαυκέτῃ βορὰ πρόκειμαι*, quia est helluo piscium. Morychi etiam tanquam helluonis piscium noster meminit Acharn. 887, ubi anguillam dicit *φίλην Μορύχῳ.* De Telea cf. ad Av. 169. BE.

ἄλλοις πολλοῖς τένθαις] I. e. *καὶ ἄλλοις* —. Cf. ad Eccl. 453. Similiter Latini dicunt, "Cicero, Pompejus, Cassius, alii."

Schol. *Μορύχῳ Τελέᾳ*: *Καὶ τούτους ἀεὶ ἀπεῖναι βούλεται τῶν ὄψων, διὰ τούτου αὐτοὺς κολάζων ὡς γαστριμάργους, ὥς φησιν ἐν τοῖς Ἀχαρνεῦσιν* [887]. *νῦν δ' οὐκ οἶδα ὅπως τὸ ἐναντίον φησίν. ἴσως οὖν τῇ παρουσίᾳ τούτων Μελάνθιον λυπῆσαι βούλεται ὄντα καὶ αὐτὸν λίχνον. ἦν δὲ τραγῳδίας ποιητής, ὡς προείρηται.* R. V.

1009. *τένθαις*] Helluonibus. Cf. 1120. Nub. 1198. *οἱ προτένθαι.* A verbo *τένθειν.* Tim. Lex: *Τένθης. ὁ γαστρίμαργος.* (Ubi v. Ruhnk.) Hesych: *Τένθει. ἐσθίει ἢ λιχνεύει. τένθαι γὰρ οἱ λίχνοι.* Hinc *τενθεία* Av. 1691.

Μελάνθιον] Supra ille ejusque frater Morsimus vocantur *Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι — ἰχθυολῦμαι.*

Schol. *ἀντὶ τοῦ λίχνοις. τένθειν γὰρ τὸ ἐσθίειν· "ὅτ' ἀνόστεος ὃν πόδα τένδει."* *Ἡσίοδος* [Op. 522]. R. V. *Ἄλλως. οὓς ἡμεῖς σιναμώρους. καὶ παρ' Ἡσιόδῳ τινὲς ὀρθῶς δοκοῦσι γράφειν "ὅτ' ἀνόστεος ὃν πόδα τένθει" διὰ τοῦ θ.* V.

1011. *ὀτοτύζειν*] Lamentari. Ab *ὀτοτοῖ*, ut *οἰμώζειν* ab *οἴμοι*, *ἰύζειν* ab *ἰώ*, *φεύζειν* a *φεῦ*, *ὤζειν* ab *ὦ*, etc. Cf. Av. 1043.

Schol. *θρηνεῖν*. R. V.

1012. *Μηδείας*] Haec ex Melanthii ipsius Medea, quam scripserit, esse oportet. Scholiasta affert locum ex Euripidis Medea: *ὦ δύστηνος κ. τ. λ.* Exstat similior locus Iph. Taur. 153. *ὀλόμαν ὀλόμαν* [*ὀλόμαν ὀλόμαν*]· *οὐκ εἴσ' οἶκοι πατρῷοι· οἴμοι φροῦδος γέννα*. BE. Verba quae *παρῳδεῖ* Comicus Jasonis fuisse videri monet Elmsleius ad Med. 96.

Schol. *ἐκ Μηδείας*: *Μήποτε ἐκ τῆς Εὐριπίδου Μηδείας* [96] *παραγράφει ἐκεῖνα "ὦ δύστηνος ἐγὼ μελέα τε πόνων, πῶς ἂν ὀλοίμαν."* (*οἱ δὲ αὐτοῦ τοῦ Μελανθίου φασὶν εἶναι Μήδειαν, ἐξ ἧς ταῦτα.*)

1013—1014. *ὀλόμαν — λοχευομένας*] Haec scholiasta alios ex Euripidis Medea (v. 96), alios ex ipsius Melanthii Medea *παρατραγῳδεῖσθαι* tradit. Posterior sententia vera est. Perit enim loci venustas ac lepor, nisi ipse suis Melanthius versibus loqui fingatur. Quae a comico paullum ad ridiculum detorta esse per se patet. Jasonis verba haud dubie sunt. Quae sequuntur *τᾶς* — non constat unde detorta sint. "In Euripidis Medea non invenitur. Schol: *οἱ δὲ αὐτοῦ τοῦ Μελανθίου φασὶν εἶναι Μηδείαν*. Rem perspexit Fritzschius ad Ran. 151, conjiciens Morsimum drama Medeam scripsisse, in quo Jasonis partes egerit Melanthius. Cf. 801 sq. Nauck. p. 652." (Bakh.).

1014. *τᾶς ἐν τεύτλοισι λοχευομένας*] I. e. betis involuta. Ita enim coqui solebant anguillae. Cf. Ach. 894. *μηδὲ γὰρ θανών ποτε | σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης* (*-ιωμένης*?). (Ubi scholiasta hunc locum citat.) Eubul. III. 236. *τεῦτλ' ἀμπεχομένης παρθένου Βοιωτίας | Κωπᾴδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν*.

λοχευομένας] Anglice imbedded. Proprie *λοχεύεσθαι* dicuntur mulieres, Anglice, to be brought to bed, to be confined.

Schol. (*λοχευομένας*: *Καὶ ἐν τοῖς Ἀχαρνεῦσιν* [894] *ἔφαμεν τοὺς μαγείρους μετὰ τεύτλων ἕψειν τὰς ἐγχέλεις. ἔπαιξε δὲ εἰπὼν λοχευομένας ἀντὶ τοῦ ἑψομένας. ἡδίστη δὲ ἡ ἔγχελυς ἐν τεύτλοις ἐστίν.*)

1015. *Schol.* *τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν*: *Τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι.*

1016. *Schol.* *διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ζ'*. V.

ὅτι ἐξεβλήθη τὸ η. V.

1017. *μαγειρικῶς*] Cf. Ach. 1015. Eq. 376. Iidem autem saepe lanii et coqui.

1018. *τὸν οἶν*] Cf. 930. Eur. El. 513. *οἶν μελάγχιμον*.

ἀλλ' οὐ θέμις] Causas nunc fingit Trygaeus cur non mactetur ovis. Cf. ad 949. et ad Nub. 755.

τιὴ τί δή;] Cf. Vesp. 1155. Th. 84. Pl. 136. Ran. 1155. et ad Nub. 755.

1019. *δήπουθεν*] Scilicet.

Schol. *οὐχ ἥδεται*: *Ταῦτα πρὸς τὸ ἔθος· φασὶ γὰρ τῇ τῶν συνοικεσίων ἑορτῇ θυσίαν τελεῖσθαι Εἰρήνῃ, τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι, Ἑκατομβαιῶνος μηνὸς* (*ἕκτῃ ἐπὶ δέκα. τινὲς δέ φασιν ἐκ τῆς παρ-*

ούσης αἰτίας οὕτως αὐτῇ θύειν, αἵματος αὐτοὺς ἀπαλλάξασαν. Ἄλλως. πρὸς σύγκρισιν τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς· μόνοι γὰρ οἱ πολέμιοι αἵματι καὶ φόνοις χαίρουσι.)

1020. *ἀλλ' εἴσω φέρων*] Sic. in Av. 1056. sacerdos, qui hircum mactaturus erat, dicit *ἀπίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενὶ | θύσοντες εἴσω τοῖς θεοῖσι τὸν τράγον*. BE.

βωμός] Ara ejus. Cf. Th. 694. *πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας | καθαιματώσει βωμόν.*

Schol. καὶ τοῦτο πρὸς σύγκρισιν τοῦ πολέμου, ὃς αἵμασι χαίρει.

(*οὐδ' αἱματοῦται: Ἐν γὰρ τῇ τῶν συνοικεσίων ἑορτῇ οἱ μὲν φασιν Εἰρήνῃ θυσίαν τελεῖσθαι, ἧς ὁ βωμὸς οὐχ αἱματοῦται· οἱ δὲ ἑστιῶσιν, ὡς ἄρα τότε σώζεται. καὶ ἰδίως ἀναιμωτὶ Εἰρήνῃ θύουσι.*)

1021. *τὰ μηρί'*] Hom. Il. *θ'*. 240. *ἀλλ' ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί' ἔκηα.*

ἐξελών] Anglice, having selected, having reserved.

1022. *τὸ πρόβατον*] Cf. Av. 855. 1057. Ovem a chorago suppeditatam servandam eidem indicat.

τῷ χορηγῷ] Praeter expectationem dicit pro *τῷ ἱερεῖ*. Schol: *τῶν γὰρ ἐντοσθίων αἱρουμένων παρὰ τῶν θυόντων τὸ λοιπὸν σῶμα σώζεται τῷ ἱερεῖ, ἐπὰν θύσωσιν.* Nunc autem chorago dicitur servari ovis quia revera non mactanda est; alioqui enim pretium ejus ab eo solvendum foret.

Schol. χοὔτω τὸ πρόβατον: Διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ. ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα (*ἀποκερδαίνειν*?) *τὸ θῦμα. τῶν γὰρ ἐντοσθίων αἱρομένων παρὰ τῶν θυόντων τὸ λοιπὸν σῶμα σωθήσεται* (*σώζεται*?) *τῷ ἱερεῖ, ἐπὰν θύσωσιν.*

(*τῷ χορηγῷ σώζεται: Ἤτοι ὅτι τῶν σπλάγχνων καὶ τῶν ἐντοσθίων ὑφαιρουμένων δοκοῦσι μέρος τι τοῦ ἱερείου κερδαίνειν οἱ θύοντες.*)

1023. Supplendum videtur *μένοντ' ἐνθάδε ξὺν ἡμῖν.*

1024. *σχίζας*] Hom. Il. *α'*. 462. *καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον | λεῖβε.* Od. *γ'*. 459. Il. *β'*. 425. *σχίζῃσιν ἀφύλλοισιν.* Alciphr. Fr. 6. *σχιζία — ἐπ' αὐτῷ* (*τῷ βωμῷ*) *θέμεναι.* Singulare *σχίζα* est 1032.

Schol. σχίζας: Σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος [Od. *Γ*, 459] "*καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων.*"

1026. *μαντικῶς*] V. schol. Sic *μαγειρικῶς* 1017.

τίθεσθαι] Disponere. Anglice, to arrange. Sensu medio. Cf. 1039. *τίθεσο τὼ μηρὼ λαβών.* Sed legendum suspicor *τὰ φρύγαν' εὖ τίθεσθαι* aut *τὰ φρύγαν' ὑποτίθεσθαι.* Vide annot. crit.

Schol. (*μαντικῶς τὸ φρύγανον: Οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατὰ τὴν ἐπιστήμην τὴν ἑαυτῶν.*)

1027. *Schol. πῶς δ' οὐχί: Τοῦτό φησιν ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι ὡς οἱ μάντεις. αὐτοὶ γὰρ ἑαυτοῖς καὶ τὰ φρύγανα τιθέασι πρὸς ἐπιστήμην ἑαυτῶν.*

ὅσα χρή: Τί γὰρ οὐ ποιεῖς ὅσα χρὴ τοὺς ἐπιστήμονας;

1028. *ὅσα χρὴ σοφὸν ἄνδρα*] Sub. *εἰδέναι.*

1029. *τὸν σοφῇ δόκιμον φρενὶ*] Cf. Thesm. 125. *κιθαρίν τε — ἄρσενι βοᾷ δόκιμον.*

Schol. *ἀντὶ τοῦ ὁπόσα χρή.* R.

1030. *πορίμῳ*] Provido. Anglice, contriving, fertile in resources. Cf. Th. 777. Ran. 1422. Aesch. Prom. 908.

Schol. *εὐπόρῳ πρὸς τὸ ἐπινοεῖν.* R.

1031. *τὸν Στιλβίδην πιέζει*] Stilbides fuit hariolus celebris. Ludit autem in hujus nomine et verbo *στίλβειν* lucere: apposite, quia ignis lucet, et ex igne vaticinabatur Stilbides. BE. Fuit Stilbides haruspex celebris, quem Athenienses ad expeditionem Siculam secum duxerunt. Illius meminit etiam Eupolis in versibus a scholiasta allatis, *τίν' οὖν μετέλθω δῆτά σοι τῶν μάντεων; | πότερος ἀμείνων ἀμφοτέρων; ἢ Στιλβίδης* (—; *Ἀμφιάρεως ἢ Στιλβίδης;*?). *Στιλβίδης* hic, Niciae familiaris, commemoratur Plut. Nic. 93. Nomen *Στιλβωνίδης* legitur Av. 139. Dixerat paulo ante Trygaeus: Nonne tibi videor ut peritus haruspex cremia ponere? Nunc vero in eodem persistens joco ait: Incensi ligni fumus haruspicem laedit. Sed pro haruspice Stilbidem nominat. Nulla hic allusio ad *στίλβειν* splendere, quod esset perpol quam frigidum. BR.

πιέζει] Angit. Cf. Lys. 311. *ἐμπιμπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν* (*αὐτάς*). Plat. Crat. § 56. *τοῦτο δὲ τὸ ὄνομα φαίνεται τὸν Ἀναξαγόραν πιέζειν.* Plut. Per. 31. *ἡ δὲ δόξα τῶν ἔργων ἐπίεζε φθόνῳ τὸν Φειδίαν.* Simili lusu Vesp. 459. *Αἰσχίνην ἔντυφε τὸν Σελαρτίου.*

Schol. (*Στιλβίδην*: *Ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις τῶν τοὺς παλαιοὺς χρησμοὺς ἐξηγουμένων. ἀστειότατα δὲ τοῦτο παρέπλεξε. Ἄλλως τὴν φλόγα, παρὰ τὸ στίλβειν, ἅμα δὲ καὶ παρὰ τὸν μάντιν Στιλβίδην, ὅν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ ἡνίκα ἐπολέμουν Ἀθηναῖοι καὶ εἰς Σικελίαν ἐστράτευον. μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν* "*ὡς οὖν τίν' ἔλθω δῆτά σοι τῶν μάντεων; πότερος ἀμείνων ἀμφοτέρων* [*ἀμφότερος* V. qu *Ἀμφιάρεως*], *ἢ Στιλβίδης;*")

πιέζει: *Ἀντὶ τοῦ λυπεῖ. ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι.*

1032. *Schol.* *καὶ παιδὸς οὐδὲν δεήσει*: *Ἐμαυτῷ, φησίν, ὑπηρετῶ, καὶ χρεία οὐκ ἔσται παιδός. φιλοτιμεῖται δὲ περὶ τὰς ὑπηρεσίας κατὰ πάντα τὸν Στιλβίδην πλεονεκτῶν καὶ θύων καὶ ὑπηρετῶν.* [Hic desinunt scholia Ravenn.] *Ἄλλως. φιλοτιμεῖται περὶ τὰς ὑπηρεσίας, ἵνα κατὰ πάντα τὸν Στιλβίδην πλεονεκτεῖν δοκῇ καὶ θύων καὶ ὑπηρετῶν. ἐγὼ οὖν, φησίν, οἴσω καὶ τράπεζαν ὡς μὴ δεῖσθαι παιδός.*

1033. *οἴσομαι*] Mihi feram, ipse in meum usum. Usus futuri rarior. Cf. Hom. Il. *χ'*. 217. "Frequentior forma futuri media pro passiva, Herod. VIII. 49. 76. Eur. Or. 440. Xen. Oecon. 15, 6." RICHT.

παιδός] Puerorum opera in sacris peragendis mos erat uti, ut satis notum est.

1035. *ἀνατλάς*] Cf. Soph. Oed. C. 239. Eur. Phoen. 90.

1036. *τὴν ἱερὰν πόλιν*] Cf. Eq. 582. Sic Homerus *Τροίης ἱερὸν πτολίεθρον* habet Od. *α'*. 2.

1037. *οὐχὶ μὴ παύσῃ* —] Cf. 1226. 1304. Lys. 704. *χοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων τούτων* etc. Soph. Oed. C. 408. *οὐ τἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε.* Haec Chorus ad Trygaeum conversus dicit.

1039. *τίθεσο*] Sc. *ἐπὶ τῆς σχίζης.* Vox media, ut in 1016. *μαντικῶς τὸ φρύγανον τίθεσθαι.* Redit famulus in scenam femora afferens (vide 1021), quae igni imponere Trygaeum jubet.

Schol. *ταυτὶ δέδραται*: [*Κορωνὶς εἰσιόντων ἑτέρων ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶ πζ', ὧν οἱ μὲν κδ' ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, οἱ ἑξῆς μα' δακτυλικοὶ ἑξάμετροι. ἑξῆς τούτων κῶλον ὅμοιον ἐκ σπονδείων. οἱ ἑξῆς δέκα δακτυλικοὶ ἑξάμετροι. μεθ' οὓς ἰαμβεῖα ιβ', ὧν τελευταῖον "οὔκ ἀποπετήσει θᾶττον εἰς 'Ελύμνιον." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς.*] *διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους κδ'.* V. *δέδραται δὲ ἀντὶ τοῦ δέδαρται. καὶ Ὅμηρος* [Il. Ψ. 169] "*περὶ δὲ δρατὰ σώματα νήει.*" *ὁ δὲ λόγος, ταῦτα πάντα παρεσκεύασται καὶ πέπρακται.*

1040. *θυλήματα*] Schol: *τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἄλφιτα. ἐπιρραίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ.* Hesychius explicat *βεβρεγμένα μέλιτι ἄλφιτα ἢ θυμιάματα ἐπὶ βωμῶν.* Timaeus (Lex. Hom.) *θυμιάματα. ἄλφιτα δέ ἐστι ταῦτα οἴνῳ καὶ μέλιτι δεδευμένα.* Cf. Phot. et Suid. s. h. v. Homero *ἀλφίτου ἀκτήν* (Od. *γ'*. 439.). Teleclides ap. schol: *ὦ δέσποθ' Ἑρμῆ, κάπτε τῶν θυλημάτων.* Pherecrates II. 261. *θυλήμασι κρύπτετε πολλοῖς.* Plato com. II. 675. *Κέλητι δέρμα καὶ θυλήματα.* Theophr. Char. 10. *μήτε οὐλὰς* (948) *μήτε στέμματα μήτε θυλήματα.* Medium *θυλεῖσθαι* legitur Poll. I. 27. (ubi *θυλήσασθαι*). Porphyr. de Abstin. II. 6. Cf. ad Pl. 660.

Schol. *θυλήματα*: *Τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἄλφιτα. ἐπιρραίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. Τηλεκλείδης Στερροῖς "ὦ δέσποθ' Ἑρμῆ, κάπτε τῶν θυλημάτων."*

1041. *ἥκειν ἐχρῆν*] Rediisse (reducem esse) te oportebat. Anglice, you ought to have been back by this. Tarditatem ejus reprehendit. Scribendum videtur *ἥκειν σ' ἐχρῆν.*

1042. *ἐπισχεῖν*] Moratus esse.

1044. *δάφνῃ — ἐστεφανωμένος*] Lauream sc. coronam gestabant vates et haruspices. V. schol. Soph. Oed. R. 83. *ἀλλ' εἰκάσαι μὲν ἡδύς· οὐ γὰρ ἂν κάρα | πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.*

Schol. *δάφνῃ τις ἐστεφανωμένος*: *Οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο εἰς γνώρισμα τῆς τέχνης.*

1045. *ὡς ἀλαζὼν* —] Aristoxenus ap. Hephaest. *τίς ἀλαζονείαν πλείσταν παρέχει τῶν ἀνθρώπων; οἱ μάντεις.* Plurimos arte vaticinandi id temporis quaestum fecisse constat. Cf. Av. 904—1055. Plat. Rep. p. 364 B. C. Isocr. Aeg. § 5—7. Soph. Ant. 1055.

Schol. *ὡς ἀλαζὼν*: *Ὡς ἀπὸ τῆς ὄψεως ἀλαζὼν φαίνεται.*

1046. *οὐ μὰ Δί' ἀλλ' Ἱεροκλέης*] Imo ipse Hierocles. Proprie sensus est: imo hercle non modo vates aliquis est (*μάντις τις*), sed ipse Hierocles. Cf. 6. Lys. 55. Minus recte locum accipit Berglerus: "Erat quidem Hierocles hariolus, sed nullius pretii; propterea

dicit eum tantum Hieroclem esse, quamvis gerat lauream Apollinarem ut ceteri vates."

Schol. Ἱεροκλῆς: Ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον ἤπερ ἀπὸ τῆς τέχνης. Ἄλλως οὗτος μάντις ἦν καὶ χρησμολόγος, τοὺς προγεγενημένους χρόνους (χρησμοὺς?) ἐξηγούμενος. ὡς ἀφυῆ δὲ καὶ [οὐκ] ἀκριβῆ μάντιν αὐτὸν κωμῳδεῖν βούλεται. καὶ ὅρα πῶς καθαρῶς· ἐκείνου γὰρ εἰπόντος ὅτι μάντις τις πρόεισιν ὁ ἕτερος οὐ συγκατέθετο, ἀλλ' ἔφησεν οὐ μὰ Δί' ἀλλ' Ἱεροκλῆς ἐστιν. ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον ἢ τῆς τέχνης. καὶ Εὔπολις Πόλεσιν "Ἱερόκλεες, βέλτιστε χρησμῳδῶν ἄναξ."

1047. οὑξ Ὠρεοῦ] Schol: διαβάλλει αὐτὸν ὡς οὐ πολίτην, ἀλλ' Εὐβοέα· διὸ δηλοῖ ὡς ξένος οὐκ εὐνοεῖ τῇ εἰρήνῃ. Euboea ab initio belli defecerat ab Atheniensibus, et mox a Pericle subacta erat, et duris conditionibus in deditionem recepta. Hierocles igitur ex Oreo oriundus paci adversaturus haud immerito videbatur. Euboeae autem oppidum fuit Ὠρεός. V. Strab. X. 1. 3. etc. Cf. 1125. ὁ κόραξ οἷος ἦλθ' ἐξ Ὠρεοῦ. Archipp. com. II. 719. Βάτραχον τὸν πάρεδρον τὸν ἐξ Ὠρεοῦ. Thuc. VIII. 95. Εὔβοιαν ἅπασαν ἀποστήσαντες πλὴν Ὠρεοῦ (ταύτην δὲ αὐτοὶ Ἀθηναῖοι εἶχον) etc. Incolae ejus Ὠρεῖται. Χαρίδημος ὁ Ὠρείτης commemoratur Aelian. V. H. II. 41. Confer Elidis oppidi nomen Λέπρεος Av. 149.

Schol. οὑξ Ὠρεοῦ: Διαβάλλει αὐτὸν ὡς οὐ πολίτην ἀλλ' Εὐβοέα. διὸ δηλοῖ ὅτι ὡς ξένος οὐκ εὐνοεῖ τῇ Εἰρήνῃ, Ὠρεὸς δὲ Εὐβοίας πόλις, ἣν Ὅμηρος Ἱστιαίαν φησίν.

1048. Cf. Pl. 333. δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος | ἀκήκοέν τι τῇ βαδίσει etc. Th. 1013.

Schol. δῆλός ἐσθ' οὗτός γ' ὅτι: Προείπομεν γὰρ περὶ Εὐβοέων ὡς ἂν ἧσσον προθυμουμένων τῇ εἰρήνῃ.

1050. κατὰ τὴν κνῖσαν εἰσελήλυθεν] Ἦλθεν ὁ κνισοκόλαξ, inquit Asius apud Athen. III. p. 125. BE. Cf. v. ταγηνοκνισοθήρας (incert. ap. Suid. v. Ἰούνιος).

εἰσελήλυθεν] Sc. in scenam. Nam sacrificium in propatulo ante aedes peragitur.

Schol. κατὰ τὴν κνῖσαν: Ὡς διὰ προφάσεως τοῦ σχήματος (qu. καὶ προσχήματος) τῆς μαντείας ἐπεισπηδῶντος τοῦ Ἱεροκλέους καὶ μετέχοντος τῶν εὐωχιῶν.

1051. μή νυν ὁρᾶν δοκῶμεν αὐτόν] Recte vertunt: a d s i m u l e m u s i g i t u r q u a s i n o n v i d e a m u s e u m. Cf. Pl. 837. οἱ δ' ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι. Eq. 1146. οὐδὲ δοκῶν ὁρᾶν.

Schol. μὴ νῦν ὁρᾶν δοκῶμεν: Μὴ προσποιησώμεθα αὐτὸν ἑωρακέναι μηδ' αὐτῷ προσλαλήσωμεν, ἵνα ἀπορηθεὶς παρέλθῃ μηδὲν ἐνοχλήσας ἡμῖν.

1052. *Schol.* τίς ἡ θυσία: Ἱεροκλῆς ἐπιστὰς ἄκλητος, καὶ ταῦτα περιεργαζόμενος, τίνι οὖν (θύεις?), φησί, τῶν θεῶν;

1053. σιγῇ] Sic σιωπῇ Av. 1217. Th. 660. κόσμῳ, δρόμῳ, βοῇ, ὀργῇ, etc. κἄπαγ' ἀπὸ τῆς ὀσφύος] Schol: λέγει οὖν, ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε. οἷον πρόσεχε μὴ ἅψῃ αὐτῆς· ταύτῃ γὰρ μαντεύονται.

Cf. Ran. 852. ἀπὸ τῶν χαλαζῶν δ' — ἄναγε σεαυτὸν ἐκποδών. Th. 239. ἐπίσχετε· τὴν κέρκον φυλάττου νυν (τὴν?) ἄκραν. Eubul. com. III. 270. τὴν κέρκον μόνην καὶ μηρὸν — θύετε. Subaudiendum videtur σεαυτόν. Legendum forsan κἄπεχ' (καὶ ἄπεχε). Quod ad vocem ὀσφύς, cf. Menand. Athen. 146 E. οἱ δὲ τὴν ὀσφὺν ἄκραν | καὶ τὴν χολὴν ὀστᾶ τ' ἄβρωτα τοῖς θεοῖς | ἐπιθέντες etc. Idem IV. 161. οὐκ εἴασα τὴν | ὀσφὺν ἂν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναι. Aesch. Prom. 504. κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν (κἄτ' ἄκραν vel χἄμ' ἄκραν?) | ὀσφὺν πυρώσας. Herod. II. 40. τὴν ὀσφὺν ἄκρην. Poll. II. 178. τὸ δὲ ἀπὸ τῆς ῥάχεως ὀσφύς, τὸ ἄχρι γλουτῶν.

Schol. ὄπτα σὺ σιγῇ: Ἀπαλλαγῆναι αὐτὸν ποιεῖ μὴ προσέχων μηδὲ ἀποκρίνεσθαι προσποιούμενος. οἷον μηδὲν ἀποκρίνῃ πρὸς τὸ ἐρωτηθέν.

ἀπὸ τῆς ὀσφύος: Ἐπὶ τοῦ βωμοῦ τὰ σπλάγχνα ὄπτα ἐν σιγῇ. λέγει οὖν, ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε. οἷον πρόσεχε μὴ ἅψῃ αὐτῆς· ταύτῃ γὰρ μαντεύονται. Εἰς τὸ αὐτό. ἀναχώρει ἀπὸ τῶν ἱερείων καὶ ἀφίστασο, φησίν.

1054. ἡ κέρκος —] Cf. ad Ach. 785. πᾶ δ' οὐχὶ θύσιμός ἐστι; ΔΙ. κέρκον οὐκ ἔχει. Th. 239.

ποιεῖ καλῶς] Anglice, is doing well, augurs well. Schol: ἡ οὐρὰ καλὰ σημαίνει. Cf. ad Ach. 1064.

Schol. ἡ κέρκος ποιεῖ: Ἡ οὐρὰ καλὰ σημαίνει. ἔθος γὰρ εἶχον τὴν ὀσφὺν καὶ τὴν κέρκον ἐπιτιθέναι τῷ πυρί, καὶ ἐξ αὐτῶν σημείοις τισὶ κατανοεῖν εἰ εὐπρόσδεκτος ἡ θυσία, καὶ ἄλλα τινὰ πρὸς τὰ νεύματα σημεῖα λαμβάνειν περὶ ὧν τὴν θυσίαν ἐποίουν.

1056. τἀπάργματα] Primitias. V. schol. Eodem sensu simplex ἄργματα Hom. Od. ξ. 446.

Schol. τἀπάργματα: Τὰς ἀπαρχάς, ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. ὁ Ἱεροκλῆς ταῦτα σημαίνει.

1058. πολλὰ πράττεις] Nimis curiosus es. Uno verbo πολυπραγμονεῖς. Cf. Ran. 228. ὦ πολλὰ πράττων. Herod. V. 33. τί πολλὰ πρήσσεις; Eur. Suppl. 576. Herc. 265. Hipp. 785. Eur. Antiop. Fr. 193. Simili fere sensu περισσὰ πράσσειν Soph. Ant. 68.

ὅστις εἶ] Quicunque es. Cf. Nub. 113.

Schol. πολλὰ πράττεις: Οἷον πολλὰ περιεργάζῃ καὶ πολυπραγμονεῖς.

1059. τὴν σπονδὴν φέρε] I. e. τὸν οἶνον, quo ἡ σπονδὴ fit.

1060. ἡ γλῶττα χωρὶς τέμνεται] Ad hunc morem sacrificiorum alludit in Av. 1702. κἀπὸ τῶν ἐγγλωττογαστόρων ἐκείνων — πανταχοῦ τῆς Ἀττικῆς ἡ γλῶττα χωρὶς τέμνεται. Item in Plut. 1110. ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται. BE. Hom. Od. γ'. 332. ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας. 341. Athen. p. 16 B. προσνέμονται δ' αὐτῷ (Mercurio) αἱ γλῶσσαι διὰ τὴν ἑρμηνείαν. Cf. ad Pl. 1110.

Schol. γλῶττα χωρὶς τέμνεται: Καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ὁμήρου [Od. Γ. 332] "ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας," ὥς φησι Καλλίστρατος. καὶ τοῦτο δὲ Ἱεροκλέους πρὸς τὸ ἔθος. προειρήκαμεν δὲ ὅτι χρησμολόγος Ἱεροκλῆς· διόπερ νῦν χρησμοῦ τινὸς αὐτὸν προσάγει μνημονεύοντα.

1061. ἀλλ' οἶσθ' ὃ δρᾶσον;] Eadem verba in Av. 54. Cf. Ach. 1064. οἶσθ' ὡς ποιεῖτε τοῦτο; Eq. 1158. οἶσθ' οὖν ὃ δρᾶσον; Soph. Oed. Tyr. 543. οἶσθ' ὡς ποίησον; Eurip. Iph. T. 1204. οἶσθά νυν ἅ μοι γενέσθω.

ἣν φράσῃς] Cf. Eq. 1158. οἶσθ' οὖν ὃ δρᾶσον; ΔΗ. εἴσομ'. ἣν φράσῃς γε σύ. Alex. com. III. 442. ἐπίστασαι τὸν σαῦρον ὡς δεῖ σκευάσαι; | Β. ἀλλ' ἂν (ἐὰν aut ἐπὰν?) διδάξῃς. Plat. Rep. 408 D. ἀλλ' οἶσθα οὓς ἡγοῦμαι τοιούτους; — Ἂν εἴπῃς, ἔφη. Soph. Oed. R. 1517. οἶσθ' ἐφ' οἷς οὖν εἶμι; Κρ. λέξεις, καὶ τότ' εἴσομαι κλύων. Nicomachus ap. Athen. 291 A. (IV. 583.) εἴσομαι δέ γ', ἣν λέγῃς (εἴσομαί γ', ἐὰν λέγῃς?).

μὴ διαλέγου νῷν —] Cf. Pl. 1082. οὐδ' ἂν διαλεχθείην διεσπλεκωμένῃ etc. Nub. 425. etc.

1063. ὦ μέλεοι] Ita incipit oraculum Atheniensibus datum apud Herodot. VII. 140. BE. Vaticinari hic incipit Hierocles, ut qui χρησμολόγος sit. "Colloquium Hieroclis, quem ridens servus θυηπόλον vocat v. 1124, et Trygaei, usque ad v. 1114, continua est parodia sermonis epici quo confecta erant oracula. Cf. Eq. 197, Av. 967 sqq." (Bakh.)

ἐς κεφαλὴν σοί] In tuum ipsius caput vertat malum quod nobis auguraris. Cf. Pl. 526. ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν. ΧΡ. ἐς κεφαλὴν σοί.

Schol. ἐς κεφαλήν σοι: Ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημήσαντος φησὶν, εἰς τὴν κεφαλὴν ἔλθοι τὸ δεινὸν, τουτέστι σεαυτῷ μάντευσαι ὅπερ εἶπας δυσχερές. Ἄλλως. μιμεῖται τοὺς χρησμολόγους· ἔστι γὰρ καὶ ὁ Ἱεροκλῆς χρησμολόγος. διόπερ νῦν χρησμοῦ τινος μνημονεύει.

1064. *Schol.* οὐκ ἀΐοντες: Οὐ νοοῦντες. οἵτινες διὰ τὴν ἀβουλίαν τὴν ἑαυτῶν τῆς (τὰς?) τῶν θεῶν οὐ συνίενται προνοίας.

1065. πεποίησθ'] Sensu medio. Cf. 1079. Ach. 145. Eq. 63.

χαροποῖσι] Constans epithetum leonum. Hom. Od. XI. 610. H. Merc. 569. H. Ven. 70. Hesiod. Theog. 321. Scut. 177.

πιθήκοις] Lacedaemoniis. Cf. ad 623.

Schol. χαροποῖσι: Φοβεροῖς. πιθήκοις δὲ τοῖς Λακεδαιμονίοις. ἀντὶ τοῦ εἰπεῖν λέουσιν.

1066. αἰβοιβοῖ] Cf. οἰμοιμοῖ (ita Dind.) v. 257.

ἥσθην χαροποῖσι πιθήκοις] Quia epitheton leonum simiis imposuit. BE. Cf. ad Nub. 174. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους. Av. 570. 880.

Schol. αἰβοῖ αἰβοῖ: Παρεπιγραφή· ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. γέλωτος γάρ ἐστι τοῦτο τὸ μίμημα.

1067. κέπφοι] Proverbialiter de stolidis, quia talis est avis illa. Plut. 912. ὦ κέπφε. BE. Vide schol. Κέπφος, αἴθυια, λάρος et χαραδριὸς una commemorantur Arist. H. A. VIII. 3. 14.

τρήρωνες] Timidae, abs τρέω. Hom. Il. ε. 778. τρήρωσι πελειάσι. χ'. 140. τρήρωνα πέλειαν. Av. 575.

ἀλωπεκιδεῦσι] Vulpeculis. Similia diminutiva sunt γαλιδεὺς λυκιδεὺς παρδαλιδεὺς περδικιδεὺς κορωνιδεὺς ἱερακιδεὺς περιστεριδεὺς ἀηδονιδεὺς ἐρωτιδεὺς πελαργιδεὺς ἀλεκτοριδεύς. V. Valck. ad Theocr. XV. 121. De re cf. Lys. 1267. νᾶν αἱμυλᾶν ἀλωπέκων.

πέπεισθε] Persuasi fuistis, credidistis. Cf. 218. Th. 1170.

Schol. *καὶ κέπφοι*: *Εὔηθες ζῷον ὁ κέπφος, οὗ μέμνηται καὶ Νίκανδρος* [Alexiph. 170] *καὶ Ἄρατος* [184] *περὶ τῶν διοσημιῶν διαλεγόμενος, καὶ Καλλίμαχος ἐν τοῖς ἰάμβοις* [fr. 81]. *ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὸν λέγουσιν ἐσθίοντα τὸν ἀφρόν. εἶναι δὲ αὐτὸν πολὺν μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κεκραγέναι ὠδίνοντα· ὅθεν γενέσθαι τὴν παροιμίαν "κέπφος ὠδίνει" ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων.*

τρήρωνες: *Οὐκ ἐπὶ τοῦ κέπφου, ἀλλὰ καθ' αὑτό. κέπφοι γὰρ οἱ κοῦφοι* [*ἀπὸ τῶν ὀρνέων*], *ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ κέπφους καλοῦμεν.*

1068. *ὧν δόλιαι ψυχαί*] Lacedaemonii intelliguntur, quorum pacem semper suspectam habebant Athenienses. Vide supra v. 216 sq. et Lys. 629. BE. Cf. Ach. 307. *πῶς δ' ἔτ' ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπείσω γ' ἅπαξ | οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένει;* Lys. 628. Eur. Andr. 447. *Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια.*

Schol. *ὧν δόλιαι ψυχαί*: *Ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσιν. καὶ Εὐριπίδης* [Androm. 447] "*Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια.*"

1069. *οὑτωσὶ θερμός*] Nempe ut caro ista, quae assatur. BE. Cf. Vesp. 918, ubi senex Philocleo lentem sorbens, *θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.*

Schol. *θερμὸς ὁ πλεύμων*: *Κεκαυμένος. ἐσθίοντες γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα τοῦτό φασι πρὸς Ἱεροκλέα. Ἀττικῶς δὲ διὰ τοῦ λ ὁ πλεύμων.*

1070. *Βάκιν*] Bacidis oraculorum meminit in Eq. 123. 998. Av. 963. BE. Oracula ejus exstant apud Herod. VIII. 20. 77. IX. 43.

ἐξαπάτασκον] Forma producta, ut *ῥιπτάσκω, φωνάσκω, φάσκω, βάσκω.*

Schol. *νύμφαι*: *Αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. οὕτω δὲ εἶπεν ὡσεὶ ἔλεγεν ἐξεπαίδευον.*

1071. *Schol.* *Βάκις*: *Χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς, ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ δεύτερος Ἀττικός, τρίτος δὲ ὁ Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης, ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ θ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου.*

1072. *ἐξώλης ἀπόλοι'*] Menand. IV. 114. *ἐξώλης ἀπόλοιθ' ὅστις ποτὲ* —. IV. 263. Aristomen. com. II. 733. *ἀλίπαστα ταῦτα παρατίθημί σοι κρέα.* Dem. p. 395, 7. *ἐξώλης ἀπολοίμην καὶ προώλης* (*πανώλης?*), *εἰ* etc. Alciphr. Fr. 2. *ἐξώλεις ἀπόλοιντο.* Eur. Med. 279. *πανώλης ἀπόλλυμαι.* Aesch. Ag. 1058. Suppl. 932. 948. Soph. Aj. 1175. Phil. 524.

εἰ μὴ παύσαιο] De constructione cf. Ach. 476. *κάκιστ' ἀπολοίμην, εἴ τί σ' αἰτήσαιμ' ἔτι.* Eq. 694. *εἰ μή σ' ἀπολέσαιμ' — διαπέσοιμι πανταχῇ.* Lys. 235. *εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ' ἡ κύλιξ.* Soph. Aj. 1175.

βακίζων] Bacin memorans. Cf. ad Vesp. 652.

Schol. *βακίζων*: *Εἰ μὴ παύσαιο μεμνημένος Βάκιδος, Βάκιδος μνημονεύων.*

1074. *ἀλλὰ τόδε πρότερον*] Cf. 1107. *ἀλλὰ τόδε πρότερον* —. Oraculum ap. Diodor. Excerpt. Vatican. p. 8. ab Dindorfio allatum, *τόδε δὲ πρότερόν σε κελεύει.*

τοῖς ἅλσι γε παστέα ταυτί] Crates Athen. 267 E. *οὔκουν μεταστρέψας σεαυτὸν ἁλσὶ πάσεις ἀλείφων;* Theophr. Char. 9. *αὐτὸς μὲν δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας.* Bekk. Anecd. p. 383, 12. *Ἁλίπαστα: οἴονται οἱ πολλοὶ ἁλίπαστα τὰ ταριχηρὰ* (salsamenta), *οὐ χρῶνται δὲ οὕτως Ἀττικοί, ἀλλ' ἐπὶ τῶν ἁλσὶ πεπασμένων κρεῶν ὀπτῶν προσφάτων.*

ταυτί] Sc. *τὰ κρέα.* Ridicule interrumpit gravem orationem vatis.

Schol. *τοῖς ἁλσί γε*: *Ἐπίτηδες ἀποκεκοφὼς τὸν λόγον λέγει. φησὶ δὲ τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὀπτηθέντα.*

1075. Cf. Aesch. Prom. 509. *οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος | κρᾶναι πέπρωται.* Huc facit Thuc. VIII. 1. *ὠργίζοντο δὲ* (post cladem Siculam) *καὶ τοῖς χρησμολόγοις τε καὶ μάντεσι καὶ ὁπόσοι τι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν.*

1076. *λύκος οἶν ὑμεναιοῖ*] Ante lupus sibi junget ovem. De his inter quos insanabile dissidium. Consimili figura dixit Horatius Od. I. 33. 7. sed prius Appulis jungentur capreae lupis. BE. Cf. Hom. Il. *χ'*. 263. *οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσι, | ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν.* Herod. IV. 149. *τοιγαροῦν ἔφη αὐτὸν καταλείπειν ὄϊν ἐν λύκοισιν.* (Ubi v. Wess.) Hor. Epod. IV. 1. Lupis et agnis quanta sortito obtigit | tecum mihi discordia est. Cic. Phil. III. 11. o praeclarum custodem ovium, ut aiunt, lupum! Plaut. Pseud. I. 2. 8. Ter. Eun. I. 5. 16. Diogen. V. 96. *Λύκος καὶ ὄϊν ποιμαίνει.* VII. 63. *Πρίν κε* (*κεν* VB) *λύκος ὄϊν ποιμαίνῃ* (*ποιμαίνοι* Leutsch.). Apost. XIV. 96. *Πρίν κεν λύκος ὄϊν ποιμαίνῃ* (*ποιμαίνοι* Leutsch.): *ἐπὶ τοῦ ἀδυνάτου.* Similis locutio proverbialis est Diogen. VII. 61. *πρίν κε* (*κεν* VB) *δύο ἐχῖνοι εἰς φιλίαν ἔλθητον* (*ἔλθοιεν* Suid.) —: *ἐπὶ τοῦ ἀδυνάτου καὶ ἀνομοίου.*

ὑμεναιοῖ] Schol: *εἰς γάμους ἄγοιτο.* Cf. 1112. Theocr. XXII. 179. *ὑμεναιώσουσι δὲ κούρας | τάσδ'.* In Aeschyli Prom. 557. aliud significat *ὑμεναιοῦν*, sc. *ᾄδειν τὸν ὑμέναιον*, hymenaeum cantare. Photius, *Ὑμεναιοῦν: τὸ ᾄδειν τὸν ὑμέναιον, καὶ συνάπτειν τὸν γάμον.* Ceterum tenendum est subjunctivum hic esse *ὑμεναιοῖ*, non optativum. Sic 939. *κατορθοῖ.* Menand. IV. 93. *ὅταν — ἀξιοῖ.* IV. 177. *ὅταν — κακοῖ.* IV. 271. *διδοῖ.* Soph. Oed. R. 77. *δηλοῖ.* Herod. II. 13. *ἐπιδιδοῖ.* Dem. p. 170. *ἐπανορθοῖ.* p. 727. *ἀξιοῖ.* p. 785. *ζηλοῖ.* p. 1116. *ἀξιοῖ.* p. 1371. *ὅταν ἐξορκοῖ.* Isocr. p. 314 E. *ὅταν τις — ἀξιοῖ.* Sed in versu proximo *ὑμεναιοῖ* est optativus.

Schol. *ὑμεναιοῖ*: *Εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε παρὰ τὸ "ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, | οὐδὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν ἔχουσιν."*

1077. *ὡς ἡ σφονδύλη*] Insectum esse foetidum apparet. *Φεύγουσα* dicit quia vult docere non esse festinandum. Ceterum observandum quod dicit scholiastes, *ἄρχεται δὲ ἀδιανόητα λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος κατὰ τὸ τῶν χρησμῶν λοξόν*. BE. Schol: *σίλφη τίς ἐστιν ἡ σφονδύλη, βδέλλῃ προσομοία, δυσώδης ὄντως*. De *σφονδύλη* sive *σπονδύλη* (non differre enim videtur) v. Arist. H. A. V. 8. 3. VIII. 24. 6. IX. 34. 1. Theophr. H. Pl. IX. 14. Aelian. N. A. VIII. 13. XII. 19.

Schol. ὡς ἡ σφονδύλη: Σίλφη τίς ἐστιν ἡ σφονδύλη, βδέλλῃ προσομοία, δυσώδης ὄντως. ἄρχεται δὲ ἀδιανόητα λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος καὶ τῶν χρησμῶν τὰ λοξά (*τὸ τῶν χρησμῶν λοξόν*? cf. schol. ad 1078).

1078. *χὴ κώδων ἀκαλανθὶς*] Schol: *παρὰ τὴν παροιμίαν* "*ἡ κύων σπεύδουσα τυφλὰ τίκτει.*" — *ἔστι δὲ ἀκαλανθὶς εἶδος ὀρνέου.* Ridicule igitur Hierocles *κώδων ἀκαλανθὶς* pro *κύων* dicere fingitur, i. e. acalanthis garrule aut loquax, ut *κώδων* (quod proprie tintinnabulum significat) per appositionem addatur, ut *κέπφοι τρήρωνες* v. 1067. Sic fere explicant; sed quum vix avi conveniat *τὸ τυφλὰ τίκτειν*, ad sententiam eorum inclino qui *ἀκαλανθὶς* de cane intelligunt, ut schol. ad Av. 873. et Hesychius, qui et celerem canem (*ταχεῖαν κύνα*) et aviculam exponit. Proprium autem canum est coecos foetus edere, ut docet schol: *οὐδὲν τῶν ζῴων ὅτι μὴ κύων μόνον σπεύδουσα τὰς ὠδῖνας τοὺς κύνας τίκτει τυφλούς.* Itaque ambiguae significationis vocabulo fingitur hic uti Hierocles ad deridendum *τὸ ἀσαφὲς τῶν χρησμῶν*, ut ait schol. Sed istud *κώδων* vix sanum videtur. Corrigendum, ni fallor, *κὴγκύμων* (vel *χἠγκύμων*) *ἀκαλανθὶς* aut *κὠδίνουσ' ἀκαλανθίς*. V. annot. crit.

